Sophocles, K

ΤΑΙ ΤΟΥ

ΣΟΦΟΚΛΕΟΥΣ

ΤΡΑΓΩΔΙΑΙ ΕΠΤΑ.

SOPHOCLIS

TRAGOEDIÆ SEPTEM:

Nova VERSIONE Donatæ

SCHOLIISQUE VETERIBUS Illuſtratæ;

ACCEDUNT

NOTÆ perpetuæ, et Variæ LECTIONES,

Opera THOMÆ JOHNSON, *A. M.*

COLLEGII REGAL. CANTABRIG. aliquandiu è SOCIIS.

Acceſſere etiam

NOTÆ Selectæ et EMENDATIONES ex Codd. Variorum Doctorum Virorum, nuper editis.

VERSIO denique cum Eruditorum Interpretationibus collata eſt, et, unà cum SCHOLIIS plurimis in locis, caſtigata.

EDITIO prioribus longè accuratior, et auctior.

VOL. I.

ETONÆ, Excudunt M. POTE, et E. WILLIAMS;

Apud quos veneunt:

Veneunt etiam LONDINI, apud F. et C. RIVINGTON, GUL. GINGER et Filium, G. G. et J. ROBINSON, R. BALDWIN, H. GARDNER, G. WILKIE, LONGMAN et REES, T. HURST, J. WALLIS, VERNOR et HOOD, LACKINGTON et ALLEN.

MDCCXCIX.

L. S.

BENEVOLE LECTOR, quid in *Sophoclis* hac nova Editione prolatum ſit, paucis accipe.

I. In TEXTU GRÆCO exhibendo, Editionem *Johnſonianam* ſecuti ſumus. Illa autem Editio, cum omnibus *Sophoclis* exemplaribus editis, tum recentioribus, tum vetuſtioribus, quotquot erant melioris notæ, diligenter collata eſt. His noſtris operibus, plurimi Errores Typographici, qui in Textum gradatim ſub prælo irrepſerant, nunc ſublati ſunt.

II. Vix dici poteſt quam infinita SCHOLIORUM farrago in poſtrema editione, quæ prodiit *Lond.* 1758, in duobus Voluminibus 8vo, apparuit. Omnia ita vitiata et tranſpoſita erant, ut rudis indigeſtaque potius vocum moles, quam *Sophoclis* expoſitio viderentur. Hæc jam ſub incudem revocata, et maximo cum labore recenſita, nunc primùm ad ſuam paginam proprio magis juſtoque ordine diſponuntur. In reliquis expurgandis longiùs quidem elaboraviſſemus, ſi temporis anguſtiæ aliæque curæ non impediviſſent.

III. VERSIO *Johnſoniana* itidem cum Doctorum Interpretationibus, imò etiam ſæpiùs cum *Sophocle* ipſo, diligenter fuit collata; ut plurimis in locis priore emendatior, ad noſtri Poetæ mentem rectiùs exponendam conduceret. Verſio hæc calci operis, monitu

monitu Eruditorum, qui in honore ſemper habentur, ſubjicitur.

IV. Variæ LECTIONES ex *Aldo* et *Turnebo*, NOTÆ etiam ſelectæ in *Sophoclem*, partim ex Editione *Lond.* ſuprà dictâ, cæteriſque Monumentis, quæ ad Fabulas adornandas prodierunt, adjiciuntur; maximè verò ex Codd. *Joan. Burton*, Etonenſis, necnon *Benj. Heath*, Exonienſis (tanquam de fontibus purioribus) hauſtæ. Ex his eruditis Viris, Ille, magno cum honore, duos Oedipodas et Antigonen, *Oxon.* An. 1758, edidit, Hic etiam ſub eodem prælo 1762, ſuas *Notas* et *Emendationes* ad *Sophoclem* cæteroſque Græcos Tragicos illuſtrandos feliciter evulgavit.

In *Accentibus* porro et *Interpunctionibus* rectè affigendis (ad Græcos Scriptores intelligendos apprimè neceſſariis) curam haud levem impendimus; quod erudito candidoque lectori primo intuitu patebit.

Denique, quamvis conſitendum eſt, Errores aliquot Typographicos in tam magnam materiæ varietatem irrepſiſſe; ſperandum tamen eſt, (ſi qua fides ſummæ diligentiæ laboribuſque pænè infinitis adhibenda ſit) nos jam tibi tradituros eſſe editionem hujus *Tragici inter Græcos facilè Principis*, (ut Index præ ſe fert) *Prioribus longe accuratiorem et auctiorem.*

Vale, Lector Benevole, et his noſtris conatibus fave.

J. T.

ΤΟ ΓΕΝΟΣ
ΤΟΥ ΣΟΦΟΚΛΕΟΥΣ,
ΚΑΙ ΒΙΟΣ.

ΣΟφοκλῆς τὸ μὲν γένος ἦν Ἀθηναῖος, υἱὸς δὲ Σοφίλλου, ὃς ἔτε (ὡς Ἀριστόξενός φησι) τέκτων, ἢ χαλκεὺς ἦν· ἔτε (ὡς Ἴστρος) μαχαιροποιὸς τὴν ἐργασίαν· τυχὸν δὲ ἐκέκτητο δέλεαρ χαλκέας ἢ τέκτονας. Οὐ γὰρ εἰκὸς τὸν ἐκ τοιούτων γενόμενον, στρατηγίας ἀξιωθῆναι σὺν Περικλεῖ καὶ Θουκυδίδῃ, τοῖς πρώτοις τῆς πόλεως. Ἀλλ' ὅδ' ἂν ὑπὸ τῶν κωμῳδῶν ἄδηκτος ἀφείθη, τῶν δὲ Θεμιστοκλέους ἀποσχομένων. Ἀπιστεῖται δὲ καὶ τῷ Ἴστρῳ, φάσκοντι αὐτὸν ἐκ Ἀθηναίων, ἀλλὰ Φλιάσιον εἶναι. Πλὴν γὰρ Ἴστρῳ παρ' ὀδενὶ ἑτέρῳ τοῦτ' ἔστιν εὑρεῖν. Ἐγένετο δ' ὁ Σοφοκλῆς τὸ γένος Ἀθηναῖος, δήμου Κολωνῆθεν, καὶ τῷ βίῳ καὶ τῇ ποιήσει πρέπουσα φανῆς. Καλῶς τε ἐπαιδεύθη καὶ ἐτράφη ἐν εὐπορίᾳ, καὶ ἐν πολιτείᾳ, καὶ ἐν πρεσβείαις ἐξητάζετο. Γεννηθῆναι δὲ αὐτὸν φασιν ἑβδομηκοστῇ πρώτῃ Ὀλυμπιάδι κατὰ τὸ δεύτερον ἔτος, ἐπὶ ἄρχοντος Ἀθήνησι Φιλίππου. Ἦν δὲ Αἰσχύλου μὲν νεώτερος ἔτη δεκαεπτά, Εὐριπίδου δὲ παλαιότερος εἰκοσιπέντε. Διεπονήθη δὲ ἐν παισὶ καὶ περὶ παλαίστραν, καὶ μουσικήν, ἐξ ὧν ἀμφοτέρων ἐπεφανώθη. ὡς φησιν Ἴστρος. Ἐδιδάχθη δὲ τὴν μουσικὴν παρὰ Λαμπρίου· καὶ μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, Ἀθηναίων περὶ τρόπαιον ὄντων,

μετὰ λύρας γυμνὸς ἀληλιμμένος τοῖς παιανίζουσι τῶν ἐπινικίων ἐξῆρχε. Καὶ παρ' Αἰσχύλῳ δὲ τὴν τραγῳδίαν ἔμαθε, καὶ πολλὰ ἐκαινούργησεν ἐν τοῖς ἀγῶσι· πρῶτον μὲν καταλύσας τὴν ὑπόκρισιν τοῦ ποιητοῦ διὰ τὴν ἰδίαν ἰσχνοφωνίαν (πάλαι γὰρ καὶ ὁ ποιητὴς ὑπεκρίνετο) αὐτὸς δὲ καὶ τοὺς χορευτὰς ποιήσας ἀντὶ δώδεκα πεντεκαίδεκα, καὶ τὸν τρίτον ὑποκριτὴν ἐξεῦρε. Φασὶ δὲ, ὅτι καὶ κιθάραν ἀναλαβὼν, ἐν μόνῳ τῷ Θαμύριδι πολὺ ἐκιθάρισεν· ὅθεν καὶ ἐν τῇ Ποικίλῃ σοᾷ μετὰ κιθάρας αὐτὸν γεγράφθαι φασί. Σάτυρος δέ φησιν, ὅτι καὶ τὴν καμπύλην βαρβιτίαν αὐτὸς ἐπενόησε. Φησὶ δὲ Ἴστρος καὶ τὰς λευκὰς κρηπῖδας αὐτὸν ἐξευρηκέναι, αἷς ὑπεδύοντο οἵ τε ὑποκριταὶ καὶ οἱ χορευταί· καὶ πρὸς τὰς φύσεις αὐτῶν γράψαι τὰ δράματα· ταῖς δὲ μέσαις θίασον ἐκ τῶν παιδευομένων εὑρεῖν· καὶ, ἁπλῶς εἰπεῖν, τοῦ ἤθους αὐτοῦ τοσαύτη γέγονε χάρις, ὥστε πάνυ πρὸς ἁπάντων αὐτὸν σπουδάζεσθαι. Νίκας δὲ ἔλαβεν εἴκοσιν, ὡς φησι Καρύστιος· πολλάκις δὲ καὶ δευτερεῖα ἔλαβε, τριτεῖα δὲ ἐδεπώπωκε. Καὶ Ἀθηναῖοι δὲ αὐτὸν ἐτῶν ὅλα ἑξήκοντα πένθος, στρατηγὸν εἵλοντο, πρὸ τῶν Πελοποννησιακῶν ἔτεσιν ἑπτὰ, ἐν τῷ πρὸς Ἀναίαν πολέμῳ. Οὕτω δὲ φιλαθηναιότατος ἦν, ὥστε πολλῶν βασιλέων μεταπεμπομένων αὐτὸν, οὐκ ἠθέλησε τὴν πατρίδα καταλιπεῖν. Ἔσχε δὲ καὶ τὴν τοῦ Ἄλωνος ἱερωσύνην, ὃς ἥρως ἦν μετὰ Ἀσκληπιοῦ παρὰ Χείρωνι. Ἱδρύθη δὲ ὑπὸ Ἰοφῶντος τοῦ υἱοῦ μετὰ τὴν τελευτήν. Γέγονε δὲ καὶ θεοφιλὴς ὁ Σοφοκλῆς, ὡς ἐκ ἄλ-

λοις

λος, καθὰ Ἱερώνυμός φησιν ἐν τῷ περὶ τῆς χρυσῆς στεφάνης. Ταύτης γὰρ ἐξ ἀκροπόλεως κλαπείσης, κατ' ὄναρ Ἡρακλῆς ἐδήλωσε Σοφοκλεῖ, λέγων τὴν ὑπ' αὐτοῦ οἰκίαν ἐν δεξιᾷ εἰσιόντι ἐρευνῆσαι, ἔνθα ἐκρύπτετο. Ἐμήνυσε δὲ αὐτὴν τῷ δήμῳ, καὶ τάλαντον ἐδέξατο· τοῦτο γὰρ ἦν προκηρυχθέν. Λαβὼν δὲ τὸ τάλαντον, ἱερὸν ἱδρύσατο μηνὶ Ἡρακλέους. Φαίνεται δὲ καὶ παρὰ πολλοῖς ἡ πρὸς τὸν υἱὸν Ἰοφῶντα γενομένη αὐτῷ ποτε δίκη. Ἔχων γὰρ ἐκ μὲν Νικοστράτης Ἰοφῶντα, ἐκ δὲ Θεωρίδος Σικυωνίας Ἀρίστωνα, τὸν ἐκ τούτου γενόμενον παῖδα, Σοφοκλέα τοὔνομα, πλέον ἔσεργε. Καὶ πολλὰ ἐν δράμασι εἰσήγαγε τὸν Ἰοφῶντα αὐτῷ φθονοῦντα, καὶ πρὸς τοὺς φράτορας ἐγκαλοῦντα τῷ παιρὶ ὡς ὑπὸ γήρως παραφρονοῦντι. Οἱ δὲ τῷ Ἰοφῶντι ἐπείμησαν. Σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν, εἰ μὲν εἰμὶ Σοφοκλῆς, οὐ παραφρονῶ· εἰ δὲ παραφρονῶ, οὐκ εἰμὶ Σοφοκλῆς. Τότε τὸν Οἰδίποδα ἀναγνῶναι. Τελεύτησαι δὲ αὐτὸν Ἴστρος καὶ Νεάνθης φασὶ τοῦτον τὸν τρόπον· Καλλιπίδην ὑποκριτὴν ἀπὸ ἐργασίας ἐξ Ὀπούντος ἥκοντα παρὰ τοὺς χοὰς πέμψαι αὐτῷ σαφυλήν. Τὸν δὲ Σοφοκλέα λαβόντα, καὶ βαλόντα ῥᾶγα, ἔτι ὀμφακίζουσαν, εἰς τὸ στόμα, ὑπὸ τοῦ ἄγαν γήρως ἀποπνιγέντα τελευτῆσαι. Σάτυρος δέ φησι τὴν Ἀντιγόνην ἀναχινώσκοντα, καὶ ἐμπεσόντα περὶ τὰ τέλη κώλῳ μακρῷ, καὶ μέσην, ἢ ὑποσιγμὴν, πρὸς ἀνάπαυσιν μὴ ἔχοντι, ἄγαν ἀποτείνοντα τὴν φωνὴν, σὺν τῇ φωνῇ καὶ τὴν ψυχὴν ἀφεῖναι. Οἱ δὲ, ὅτι μετὰ τὴν τοῦ δράματος ἀνάγνωσιν, ὅτε νικῶν ἐκηρύχθη, χαρᾷ νικηθεὶς ἐξέλιπε. Τῶν δὲ παιρώων αὐτοῦ τάφων ἐπὶ Δεκέλειαν κειμένων πρὸ σταδίων τοῦ

τείχος ἔνδεκα, καὶ τὸν τόπον ἐπιτειχικότων Λακεδαιμονίων κατὰ τῶν Ἀθηναίων, ἐπείπερ οὐχ οἷόν τε ἦν αὐτὸν ἐκεῖ θάπτειν, Διόνυσος, κατ' ὄναρ ἐπισὰς Λυσάνδρῳ, ἐκέλευσεν ἐπιτρέψαι τεθῆναι τὸν ἄνδρα εἰς τὸν τάφον. Ὡς δὲ ὠλιγώρησεν ὁ Λύσανδρος, δεύτερον αὐτῷ ἐπέστη ὁ Διόνυσος, τὸ αὐτὸ κελεύων· ὁ δὲ Λύσανδρος πυνθανόμενος παρὰ τῶν Φυγάδων τίς εἴη ὁ τελευτήσας, καὶ μαθὼν ὅτι Σοφοκλῆς, κήρυγμα πέμψας, ἐξίδε θάπτειν τὸν ἄνδρα. Φασὶ δὲ, ὅτι καὶ τῷ μνήματι αὐτοῦ σειρῆνα ἐπέστησαν· οἱ δὲ χελιδόνα χαλκῆν. Ἐπιγεγράφθαι δὲ τῷ τάφῳ αὐτοῦ τάδε·

ΚΡΥΠΤΩ ΤΩΙΔΕ ΤΑΦΩ ΣΟΦΟΚΛΗΝ, ΠΡΩΤΕΙΑ ΛΑΒΟΝΤΑ
ΤΗΙ ΤΡΑΓΙΚΗΙ ΤΕΧΝΗΙ ΣΧΗΜΑ ΤΟ ΣΕΜΝΟΤΑΤΟΝ.

Ἴστρος δέ φησιν Ἀθηναίους, διὰ τὴν τοῦ ἀνδρὸς ἀρετὴν, καὶ ψήφισμα πεποιηκέναι, κατ' ἔτος ἕκαστον αὐτῷ θύειν. Ἔγραψε δὲ (ὥς φησιν Ἀριστοφάνης) δράματα ἑκατὸν τριάκοντα· τούτων δὲ νοθεύεται δεκαεπτά. Συνηγωνίσατο δὲ Αἰσχύλῳ, καὶ Εὐριπίδῃ, καὶ Χοιρίλῳ, καὶ Ἀριστέᾳ, καὶ ἄλλοις, καὶ Ἰοφῶντι υἱῷ. Τὸ πᾶν δὲ Ὁμηρικῶς ὠνόμαζε, τούς τε μύθους φέρει κατ' ἴχνος τοῦ Ποιητοῦ. Καὶ τὴν Ὀδυσσείαν δὲ ἐν πολλοῖς δράμασιν ἀπογράφεται. Παρεμμελογεῖ δὲ καθ' Ὅμηρον καὶ τὸ ὄνομα τοῦ Ὀδυσσέως·

" Ὀρθῶς δ' Ὀδυσσεύς εἰμ' ἐπώνυμος κακοῖς·
" Πολλοί γὰρ ὠδύσαντο δυσσεβεῖς ἐμοί."

ἠθοποιεῖ τε καὶ ποικίλλει, καὶ τοῖς ἐπινοήμασι τεχνικῶς χρῆται, Ὁμηρικὴν ἐκμαθόμενος χάριν. Ὅθεν εἰπεῖν λέγεται

γεσθαι Ἰωνικόν τινα, μόνον Σοφοκλέα τυγχάνειν Ὁμήρου μαθητήν· καὶ ἄλλοι μὲν γὰρ πολλοὶ μεμίμηνται τινας τῶν πρὸ αὐτῶν, ἢ τῶν καθ' αὑτούς· μόνος δὲ Σοφοκλῆς ἀφ' ἑκάστου τὸ λαμπρὸν ἀπανθίζει· καθ' ὃ καὶ μέλιττα ἐλέγετο. Ἔμιξε δὲ τοῖς αὐτοῦ ποιήμασιν εὐκαιρίαν, γλυκύτητα, τόλμαν, ποικιλίαν. Οἶδε δὲ καιρὸν εὖ μεῖρῆσαι, καὶ πράγματα, ὥστε ἐκ βραχέος κώλου ἤρκεσεν ὅλον ἠθοποιῆσαι τὸ πρόσωπον. Ἔστι δὲ τοῦτο μέγιστον ἐν ποιητικῇ δηλοῦν ἦθος, ἢ πάθος φησὶ γοῦν Ἀριστοφάνης, ὅτι κηρὸς ἐπεκαθέζετο τοῖς χείλεσιν αὐτοῦ· ἄλλοι δὲ Σοφοκλέους, τῷ μέλιτι τὸ στόμα κεχρισμένον. Φησὶ δὲ Ἀριστόξενος, ὡς πρῶτος τῶν Ἀθηνηθεν ποιητῶν τὴν Φρυγίαν μελοποιΐαν εἰς τὰ ἴδια ἁρμονία παρέλαβε, καὶ τῷ διθυραμβικῷ τρόπῳ καθέμιξε.

ΤΟΥ ΑΥΤΟΥ

ΣΟΦΟΚΛΕΟΥΣ

ΒΙΟΣ

ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ.

ΣΟφοκλῆς, Σοφίλου, Κολωνῆθεν, Ἀθηναῖος τραγικός. Τεχθεὶς κατὰ τὴν ογ' Ὀλυμπιάδα, ὡς πρεσβύτερος εἶναι Σωκράτους ἔτη ιζ'. Οὗτος πρῶτος τρισὶν ἐχρήσατο ὑποκριταῖς, καὶ τῷ καλουμένῳ τριταγωνιστῇ· καὶ πρῶτος τὸν χορὸν ἐκ πεντεκαίδεκα εἰσήγαγε, νέων πρότερον δυωκαίδεκα εἰσιόντων, Προσηγορεύθη δὲ μέλιττα διὰ τὸ γλυκύ· καὶ αὐτὸς ἦρξε

ἦρξε τῦ δρᾶμα πρὸς δρᾶμα ἀγωνίζεσθαι. ἀλλὰ μὴ σπαλο-
λογίαν. Ἔγραψεν ἐλεγεῖά τε καὶ παιᾶνας, καὶ λόγον κα-
ταλογάδην, περὶ τῦ χορῦ πρὸς Θέσπιν καὶ Χοίριλον ἀγω-
νιζόμενος. Παῖδες δὲ, ὃς ἔσχεν, ἤτοι, Ἰοφῶν, Λεωσθένης,
Ἀρίσων, Στέφανος, Μενεκλείδης. Τελευτῷ δὲ μετὰ Εὐ-
ριπίδην ἐτῶν ϛ'. Ἐδίδαξε δὲ δράμαλα ρκγ'· ὡς δέ τινες, καὶ
πολλῷ πλείω. Νίκας δὲ ἔλαβε κδ'.

ΤΠΟΣ

ΥΠΟΘΕΣΙΣ

ΑΙΑΝΤΟΣ ΜΑΣΤΙΓΟΦΟΡΟΥ.

Το δρᾶμα τῆς Τρωϊκῆς ἐστὶ πραγματείας, ὥσπερ οἱ Ἀθηνορίδαι, καὶ Αἰχμαλώτιδες, καὶ Ἑλένης ἁρπαγὴ, καὶ Μέμνων. Πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως, ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν. Καὶ κρινομένων περὶ τῶν ὅπλων, κρατεῖ Ὀδυσσεύς. Ὅθεν ὁ Αἴας τῆς κρίσεως μὴ τυχὼν, παρακεκινῆσθαι, καὶ διέφθαρθαι τὴν γνώμην· ὥστε ἐφαπλόμενος τῶν προιμνίων καὶ τέμνων, δοκεῖν τοὺς Ἕλληνας διαχειρίζεσθαι· καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας, ἀπάγει ἐπὶ τὴν σκηνήν. Ἐν οἷς ἐστὶ καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα· ὃν δήσας ἐμαστίγωσεν· ὅθεν καὶ τῇ ἐπιγραφῇ προσκεῖται ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ· ἢ πρὸς ἀντιδιασολὴν τοῦ Λοκροῦ Αἴαντος. Δικαίαρχος δὲ ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ ἐπιγράφει· ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς ΑΙΑΣ ἀναγέγραπται. Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ τὸν Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα τί ἄρα ποτε πράττει ὁ Αἴας· καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τιμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα, καὶ ἐπικομπάζοντα ὡς τῶν ἐχθρῶν ἀνηρημένων. Καὶ ὁ μὲν εἰσέρχεται ὡς ἐπὶ τὸ μαστιγοῦν τὸν Ὀδυσσέα. Παραγίγνεται δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονὸς, ὅτι προίμνια ἐσφάγησαν Ἑλληνικὰ, ἀγνοῶν δὲ τὸν δράσαντα. Ἔξεισι δὲ καὶ Τέκμησσα τοῦ Αἴαντος αἰχμάλωτος παλλακὶς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν προιμνίων ὅτι Αἴας ἐστὶν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ προίμνια. Μαθόντες οὖν παρ' ἀλλήλων τὸ ἀγνοούμενον, ὁ χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι Αἴας ταῦτ' ἔδρασε Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα προίμνια, ἀπολοφύρονται, καὶ μάλισα ὁ χορός. Ἐνθεῦθεν ὁ Αἴας προελθὼν, καὶ ἔμφρων γενόμενος, ἑαυτὸν ἀπολοφύρεται, καὶ τότε Τέκμησσα δεῖται παύσασθαι

τῆς

τῆς ὀργῆς. Ὁ δ' ὑποκριθεὶς πεπαῦσθαι, ἔξεισι ὅθεν καθάρσιόν ἕνεκεν, καὶ ἑαυτὸν διαχειρίζεται. Εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον καὶ πρὸς Ἀγαμέμνονα ὑπὲρ ἐῶντος θάπτειν τὸ σῶμα. Τὸ δὲ πέρας, θάψας αὐτὸν ὁ Τεῦκρος, ἀπολοφύρεται. Παρίστησι δὲ ὁ λόγος τῆς τραγῳδίας, ὅτι ἐξ ὀργῆς καὶ λύπης ἄκρας οἱ ἄνθρωποι εἰς μανίαν περιτρέπονται. Ὃ δὴ καὶ Αἴας πέπονθε, τῶν Ἀχιλλείων ὅπλων ἀποτυχών.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν τῷ ναυσάθμῳ κεῖται πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. Δαιμονίως δὲ εἰσφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν· Ἀπίθανον γὰρ τὸν Αἴαντα προϊέναι, εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν. ἐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα· ἐν ἀπορρήτῳ καὶ νυκτὸς τοῦ Αἴαντος δράσαντος. Θεᾶ ἂν ἦν τὸ ταῦτα διασαφῆσαι. Περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν· οἱ μὲν γάρ φασιν, ὅτι ὑπὸ Πάριδος τρωθεὶς ἦλθεν εἰς τὰς ναῦς αἱμορροῶν· οἱ δὲ, ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν· (σιδήρῳ γὰρ οὐκ ἦν τρωτὸς) καὶ ὕστερον τελευτᾷ· οἱ δὲ, ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστὶ καὶ Σοφοκλῆς. Περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα (ὅπερ ἐκάλυπτεν ἡ τοῦ Ἡρακλέους λεοντῆ) ἄτρωτον ἦν· τὸ δὲ μὴ καλυφθὲν (ὅπερ ἦν ἡ πλευρὰ) τρωτὸν ἦν. Τὸ κεφάλαιον δὲ τοῦ δράματος, Αἴαντος μανία καὶ τελευτή.

BRITISH 28JA85 MUSEUM

ΣΟΦΟΚΛΕΟΥΣ

[ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ]

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΘΗΝΑ.

ΟΔΥΣΣΕΥΣ.

ΑΙΑΣ.

ΧΟΡΟΣ ΕΚ ΣΑΛΑΜΙΝΙΩΝ ΝΑΥΤΩΝ.

ΤΕΚΜΗΣΣΑ.

ΑΓΓΕΛΟΣ.

ΗΜΙΧΟΡΟΣ.

ΤΕΥΚΡΟΣ.

ΜΕΝΕΛΑΟΣ.

ΑΓΑΜΕΜΝΩΝ.

Προλογίζει δὲ ἡ ΑΘΗΝΑ.

ΣΟΦΟΚΛΕΟΥΣ

ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ.

ΑΘΗΝΑ, ΟΔΥΣΣΕΥΣ, ΑΙΑΣ, ΧΟΡΟΣ.

ΙΑΜΒΟΙ.

ΑΘΗ. Ἀεὶ μὲν, ὦ παῖ Λαέρτου, δέδορκά σε
Πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον·
Καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ

1. Ἀεὶ μὲν, ὦ παῖ] Πάριξιν Ὀδυσσεὺς ἐπὶ τὴν σκηνὴν ἀγωνιῶν καὶ πολυπραγμονῶν, μή τι ἀπὸ ἐχθρῶν πάθῃ. Πάντα δὲ τὰ τῆς ὑποθέσεως συνεκτικῶς ἐδήλωσεν ἐν τῷ προοιμίῳ, περὶ τίνα ὁ λόγος, καὶ ὅτι ἡ σκηνὴ, καὶ τι πράττει ὁ Ὀδυσσεύς. Ἐν δὲ τῷ πεῖράν τιν' ἐχθρῶν, λείπει ἡ κατά. Ἤδη ἴχνος τι κατέθετο τῆς ὑποθέσεως, ἃς παρ' ἐχθρὸν ἥκει. Δεῖ δὲ τὰ τῆς ὑποθέσεως συνεκτικὰ εἶναι ἐν ἀρχῇ. Ἀεὶ ὁρῶ σε, ὦ Ὀδυσσεῦ, πεῖρα καὶ δόλῳ μετιόντα τοὺς ἐχθρούς. πεῖρα δὲ ἡ βλάβη, ὡς καὶ ἐν Δανάῃ· Οὐκ οἶδα τὴν σὴν πεῖραν· ἐν δ' ἐπίσαμαι, Τᾷ παιδὸς ὄντος τῷδ', ἐγὼ διόλλυμαι. Τὸ δ' ἀεὶ εἰπεῖν, ἀναφέρωσα εἰς ἐκεῖνο, ὅτι καὶ μετὰ Διομήδους κατάσκοπος γενόμενος ἐπὶ τοὺς Τρῶας, οὐκ ἐλαθεν αὐτὸν, ὡς αὐτὸς μαρτυρῶν φησι, Κλῦθί μοι αἰγιόχοιο Διὸς τέκος, ἴστέ μοι αἰεὶ Ἐν πάντεσσι πόνοισι παμίσασαι, ἐδεί σε κλύω. Δυσχεραίνει δὲ ἡ Ἀθηνᾶ τῷ Αἴαντι, ὅτε ἀπώσατο τὴν συμμαχίαν αὐτῆς. Ἄλλως· Ἀεὶ ὁρῶ σε, ὦ Ὀδυσσεῦ, τὴν παρὰ τῶν ἐχθρῶν σοι γινομένην βλάβην ζητοῦντα προυφαρπάσαι. Οἷον, ἐπιβουλεύει σοι τίς; σπεύδεις τὴν ἐπιβουλὴν τὴν κατὰ σὲ γινομένην αὐτῷ τῷ ἐπιβουλεύσαντι βλαβερὰν γενέσθαι· ἐκ μεταφορᾶς τῶν κυνηγῶν, οἳ τὰ μικρὰ θηρία φονεύσει, προφυλαττόμενοι τὴν ἐξ αὐτῶν ἰσομένην βλάβην. Πεῖρα δὲ Ἀττικῶς ὅλος καὶ τίχνη. Ὅθεν καὶ πειραταὶ, οἱ κατὰ θάλασσαν κακῆγες.

Ib. Ἀεὶ μὲν] τὸ προοίμιον προσφυκτικῶν, καὶ ἐνταῦθα πρίτισις.

Ib. Δέδορκα] οἰκείως ἔχησιν οἱ παρακείμενοι ἀντὶ ἐνεστώτων λαμβάνεσθαι· ὁ μὲν πάντες παρακείμενοι ὕστω λαμβάνονται. Ἀλλ' εἰσὶ μὲν οἱ ἐπὶ σημασίας ἐνεστῶτος ἀεὶ λαμβάνονται, ὡς ὁ δέδορκα, δέδοικα, πέφρικα, καὶ ἕτεροι. Εἰσὶ δὲ οἱ οὐδέποτε ἐπὶ ἐνεστῶτος λαμβάνονται, ἀλλ' ἀεὶ ἐπὶ παρεληλυθότος, ὡς ὁ πέποιθα, πεποίηκα, καὶ ἕτεροι. Εἰσὶ δὲ οἱ ἐνίοτε μὲν ἐπὶ ἐνεστῶτος, ἐνίοτε δὲ ἐπὶ παρεληλυθότος λαμβάνονται, ὡς ὁ πεποίημαι, οἷον πεποίημαι τινὰ φίλον, ἢ ἀντὶ τοῦ ποιοῦμαι, ἢ ἀντὶ τοῦ ἐποιησάμην.

2. Πεῖραν τινά] τυτίσει προσβολὴν καὶ ἐπιχείρησιν.

Ib. Πεῖραν] πειρῶμαι σοῦ καλῶς, ἀντὶ τοῦ, διὰ πείρας σε καλαλαμβάνω καλῶς· καὶ πειρῶμαι τῆς γνώμης σου εἰ μὴ μεταβέβληται, ἀντὶ τοῦ, θέλω διὰ πείρας καλαλαβεῖν αὐτήν· καὶ πειρῶμαι βλάπτειν σε, ἀντὶ τοῦ, ἐπιχειρῶ, ἀφ' ὧν πεῖρα ἦν δίδωσί τις τινὶ, ἢ λαμβάνει· καὶ ἡ προσβολὴ, καὶ ἐπιχείρησις, καθ' ὃ λέγεται ἐνταῦθα.

Ib. Πεῖράν τιν'] ἢ πειραθῆναι τῶν ἐχθρῶν, καὶ ὧν κατὰ σοῦ μηχανῶνται, προλαβεῖν ζητοῦντα, τῷ, σὲν ἢ παθεῖν, μαθεῖν, καὶ φυλέξασθαι. Ἢ ὅτως, ἁρπάσαι, καὶ συντόμως λαβεῖν πεῖραν τῶν ἐχθρῶν, τί καλὰ σοῦ μηχανῶνται.

Ib. Θηρώμενον] ἀντὶ τοῦ ἀνιχνεύοντα. Ἐπήνεγκε καὶ τὰ ἄλλα μεταφορικῶς· καὶ τὸ μετερχόμενον, ἀριθμοῦντα, ζητοῦντα, ἀκολουθοῦντα, τὰ ἴχνη τὰ ἐκείνου.

3. Ἐπὶ σκηναῖς,] ἀντὶ τοῦ παρὰ ταῖς σκη-

Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
Πάλαι κυνηγετοῦντα, καὶ μετρούμενον
Ἴχνη τὰ κείνου * νεοχάραχθ', ὅπως ἴδῃς
Εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον· εὖ δέ σ' ἐκφέρει
Κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.
Ἔνδον γὰρ ἀνὴρ ἄρτι τυγχάνει, κάρα
Στάζων ἱδρῶτι, καὶ χέρας ξιφοκλόνους.
Καί σ' οὐδὲν εἴσω τῆσδε ταπλαίνειν πύλης
Ἔτ' ἔργον ἐστίν, ἐννέπειν δ' ὅτου χάριν
Σπουδὴν ἔθου τήνδ', ὡς παρ' εἰδυίας μάθῃς.

* Aldus, ταχίνου.

ναῖς. Ἐπὶ σκηναῖς· Σκηνὴ ἡ πρόσκαιρος κατοικία, ἣν Ὅμηρος κλισιὴν λέγει· καὶ ἡ τῶν ἐραμαλιργῶν σκευή· ἦγον τὰ πρόσωπεῖα· οἱ ἐμβάται· αἱ τοιαῖδε στολαὶ, καὶ τἄλλα· καὶ ἀπὸ τούτων σκηνὴ πᾶσα ὑπόκρισις καὶ ὑπωλότης.

4. Ἔνθα τάξιν ἰσχάτην ἔχει] διὰ μέσου, τὸ Ἔνθα τάξιν ἰσχάτην ἔχει.

1b. Τάξιν ἰσχάτ'] ὅτι ἐν μὲν τῷ ἑνὶ μέρει Ἀχιλλεὺς ἦν τῇ στρατιᾷ· ἐν δὲ τῷ ἄλλῳ, Αἴας· φασὶ, ἵνα ὡς κρείττης τῶν ἄλλων τὴν ἰσχὺν φύλακις ὦσιν· ἐν δὲ τῷ μεταξὺ Ἀγαμέμνων καὶ Μενέλαος καὶ οἱ λοιποὶ στρατηγοί.

6. Ἴχνη] ἴχνος γίνεται, ἀπὸ τοῦ ἴω τὸ πορεύομαι σὺν τῷ χνῷς· ἦγον τὸ ἐν κινήσει καὶ ἰχνοῖ γινόμενον καὶ τυπούμενον.

1b. Νεοχάραχθ'] εὐφυῶς, ὁπόταν γὰρ νεωστὶ αἱ ἀποχαράξεις τῶν ζώων γίνωνται, μᾶλλον ἐπακολουθοῦσιν οἱ κυνηγέται, πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή. Νεοχάραχτα. Νεωστὶ κεχαραγμένα. Προσοχὴν δὲ ἐργάζεται τῷ ἀποστῆ περὶ τῶν ἐπιλωθησομένων.

7. Εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον] οὐκ ἀναγκαῖον ἦν πολυπραγμονεῖν ἔτι εἰ ἔνδον ὁ Αἴας. ἔνδον γὰρ. Ἀλλὰ λεγὲ διὰ τί τὴν σπουδὴν σαύτην ἔθου, ἵνα πᾶς ἐμοῦ μάθῃς τὰ ἀγνοούμενά σοι.

1b. Εὖ δὲ σ' ἐκφέρει.] ἔξω τῆς σκηνῆς τὸ Αἴαντος ἐπάγεται σε ἡ βάδισις τοῦ Αἴαντος ἦκεν κυνὸς εὐοσφρήτου, ἀπὸ τοῦ ἴχνους ζητοῦντα εἰ ἔνδον γέγονεν ὁ Αἴας. Προϊλωσίμαι γὰρ τὸς κυνηγέτας αἱ κύνες ἐπὶ τὰ ἐπαγόμενα. Παρ' ὃ καὶ ἐπακτῆρας Θέλουσιν ἔνιοι αὐτὸς καλεῖσθαι, ὡς ἐπαγομένης ὑπὸ τῶν κυνῶν. Ὅμηρος, " Πρὸ δ' ἄρ' αὐτῶν Ἴχνη ἐρευνῶντες κύ-" νες ἦισαν".

9. Ἔνδον γὰρ ἀνὴρ] Δεικνύει ἐνταῦθα ὅτι οὐκ ἦν ἐκεῖ ὁ Αἴας, ἀλλὰ ἄρτι ἦλθε.

10. Στάζων ἱδρῶτι] τοῦτο καθ' ὅλον καὶ μέρος. Τὸ μὲν στάζων, ὅλον· τὸ δὲ κάρα καὶ τὸ χέρας, μέρος. Καὶ οὐχ', ὥς τινες φασὶ, στάζων καὶ σαζόμενος, καὶ ἕζωθεν τὸ ἔχων λαμβάνουσι, λέγοντες ὅτω, σαζόμενος τὸ κάρα, καὶ ἔχων τὰς χεῖρας ξιφοκτόνους.

1b. Χέρας ξιφοκτόνους] ὅσον κατὰ τὴν ἀναλογίαν τοῦ ἀνθρωποκτόνου, καὶ ἀνθρωποκτόνος· Ἀνθρωπόκλονος γὰρ τὸ τροπαροξύτονον, ὁ ὑπὸ ἀνθρώπου φονευθείς. Ἀνθρωποκτόνος δὲ ὁ ἄνθρωπον φονεύσας. Ξιφόκτονος ὤφειλ' εἶναι, ὁ ὑπὸ ξίφους φονευθείς. Ξιφοκτόνος δὲ ὁ ξίφος φονεύσας· ὅπερ ἔχειν ἄτοπον. Ἐνταῦθα δὲ ξιφοκτόνους λέγει χεῖρας, τὰς διὰ ξίφους φόνον ἐργασαμένας.

11. Παπλαίνειν] ἀπὸ τοῦ ὄπτω τὸ βλέπω γίνεται παπλαίνω ποιητικῶς, καὶ σημαίνει τὸ ἐπιτηρῶ, καὶ σχάζομαι, καὶ περισκοπῶ.

11, 12. Οὐδὲν ἔτ' ἔργον ἐστίν] ἀντὶ τοῦ οὐκ ἀναγκαῖον ἐστίν.

12. Ἔργον ἐστὶν] τὸ ἔργον τρία δηλοῖ, τὴν χρείαν, τὴν δυσκολίαν, καὶ τὴν ἐνόχλησιν.

13. Ὡς παρ' εἰδυίας] εἰδέα, εἰδῶ τὸ γινώσκω, ὁ μέλλων εἰδήσω, ὁ παρακείμενος εἴδηκα,

ΟΔΥ. Ὦ φθέγμ' Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
Ὡς εὐμαθές σε, κἂν ἄποπ]ος ᾖς, ὅμως
Φώνημ' ἀκούω, καὶ ξυναρπάζω φρενὶ,
Χαλκοστόμῳ κώδωνος ὡς Τυρσηνικῆς.
Καὶ νῦν ἐπέγνως εὖ μ' ἐπ' ἀνδρὶ δυσμενεῖ
Βάσιν κυκλοῦντ' Αἴαντι τῷ σακεσφόρῳ.
Κεῖνον γὰρ, οὐδέν' ἄλλον, ἰχνεύω πάλαι.
Νυκτὸς γὰρ ἡμᾶς τῆσδε ὡρᾶγος ἄσκοπον
Ἔχει ϖεράνας, εἴπερ εἴργασαι τάδε.
Ἴσμεν γὰρ οὐδὲν τρανὲς, ἀλλ' ἀλώμεθα.

πε, καὶ κατὰ συγκοπὴν εἶδα, ἡ μετοχὴ ὁ εἰδὼς, οὗ εἰδότος· τὸ Θηλυκὸν ἡ εἰδυῖα, τῆς εἰδυίας. Ἐκ δὲ τοῦ εἶδα, εἴδης. Εἶδε, ϖροσθέσει τῆς καὶ γίνεται εἰδέναι τὸ ἀπαρέμφατον.

14. Ὦ φθέγμ'] ϖροοίμιον δεύτερον ϖροσφυητικὸν καὶ αὐτὸ, καὶ ἐνταῦθα ἡ ϖρότασις.

Ib. Ἀθάνας] ἡ Ἀθήνη καὶ ἡ Ἀθηναία, ϖοιητικῶς. Ἡ Ἀθηνᾶ δὲ κοινῶς.

Ib. Φιλτάτης ἐμοὶ] εἰκότως τοῦτ' εἶπε. δεῖ γὰρ τὸς συντετωτάτους, οἷος ὅτος, τὴν Ἀθηνᾶν ϖερὶ ϖλείσε ϖοιεῖσθαι, ϕρονήσεως ἕϕορον ὄσαν.

16. Καὶ ξυναρπάζω ϕρενὶ] ἤτοι ὀξέως συνίημι καὶ ἀντιλαμβάνομαι. Τῆς δὲ ϕωνῆς μόνης αἰσθάνεται ὡς ἰθάδος αὐτῷ ὔσης. Ἔσῃ μέντοι ἐπὶ τῆς σκηνῆς ἡ Ἀθηνᾶ· διὰ γὰρ τοῦτο χαρίζισθαι τῷ Θεατῇ. Προθεραπεύει δὲ τὴν Θεὸν ὁ Ὀδυσσεὺς, καὶ ὧτω λέγει τὰ Αἴαντος.

17. Κώδωνος] ἡ κώδων Θηλυκῶς, Ἀττικῶς. Κώδων δὲ καλεῖται τὸ ϖλατὺ τῆς σάλπιγγος· ἀϖὸ μέρους δὲ τὴν σάλπιγγα ϕησί. Πολλὰ δὲ εἴδη σαλπίγγων. Εἰσὶ γὰρ Λιβυςικαὶ σάλπιγγες, εἰσὶν Αἰγύϖτιοι, εἰσὶ Τυρσηνικαί. Πρῶτος δὲ Ἀριχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις, ἤγαγεν εἰς Ἕλληνας τὴν Τυρσηνικὴν σάλπιγγα. Ὁ δὲ νῦς, Καί σε τὸ ϕώνημα ἀκούω ἐξαιρέτως, ὡς Τυρσηνικῆς σάλπιγγος ὐξυφωνοτάτης ὔσης. Σακεσφόρος δὲ ὁ Αἴας, οὐχ ἁϖλῶς, ἀλλὰ κατ' ἐξοχήν. Ὅμηρος, "Αἴας "δ' ἐγγύθεν ἦλθε, ϕέρων σάκος, ἠΰτε ϖύργον." ϕησὶν δὲ τοῦτο τῷ Αἴαντος.

Ib. Κώδωνος] κώδων ἐτυμολογεῖται ἀϖὸ τοῦ κινεῖν ᾠδήν.

Ib. Ὡς Τυρσηνικῆς] τύτων γὰρ αἱ σάλπιγγες κρείτ]ες τῶν ϖαρ' ἑτέροις εὑρημένων· ἢ ὅτι ϖρῶτοι Τυρσηνοὶ τὴν σάλπιγγα εὗρον. Βέλτιον δὲ τὸ ϖρῶτον. Αἱ γὰρ τῶν Τυρσηνῶν σάλπιγγες ἐξαίρετόν τι τῶν ϖαρ' ἑτέροις εὑρημένων ἀϖοτέλεν μέλος, ὡς μόνον ἀκούσαντά τινα γνῶναι Τυρσηνικὴν εἶναι τὴν ἠχοῦσαν σάλπιγγα. Λέγει δὴ καὶ Ὀδυσσεὺς ἐνταῦθα ϖρὸς τὴν Ἀθηνᾶν, ὅτως ἀκούω τὸ σὸν ϕώνημα εὐμαθὲς καὶ εὐκατάληϖτον, καὶ ὀξέως νοῶ ὅτι σόν ἐςιν, εἰ καὶ ἀθέατος ὑϖάρχεις· ὥσϖερ καταλαμβάνω τὸ ϕώνημα τῆς Τυρσηνικῆς σάλπιγγος, ἀκούων ἠχοῦσαν αὐτήν δηλονότι.

18. Καὶ νῦν] κατασκευή.

19. Τῷ σακεσφόρῳ] οὐχ ὁϖλοφόρῳ ἁϖλῶς, ἀλλὰ κατ' ἐξοχήν· ἐξαίρετον γὰρ εἶχε ὁ Αἴας τὸ σάκος.

21. Ἄσκοπον] ἀνέλϖιςον, ἀϖροσδόκητον· ὃ γὰρ ἔςι συνιέναι τίνος χάριν ἐϖοίησε.

22. Ἔχει ϖεράνας] Ἰςέον δὲ ὅτι τὸ ἔχω ϖεράνας, ἐςὶ κατὰ σύνηθες Ἀττικὸν· λαμβάνεται δὲ ἀντὶ τοῦ ἐϖίρανε. Εἰς τὸ ῥῆμα τῆς μετοχῆς γὰρ ἐκλίνεται ὁ λόγος.

Ib. Εἴπερ εἴργασαι τάδε] τυτέςι, ἐάν εἰσιν εἰργασμένα ταῦτα τὰ ἔργα ϖαρ' ἐκείνῃ τῷ Αἴαντος, ὡς ἐδόθη ἡ ϕήμη.

23. Τρανὲς] σαϕὲς, ἀληθές. Καλῶς δὲ τοῦτο ἐϖοίησεν, ἵνα ἐϖικρεμὴς ᾖ ἔτι ἡ ὑϖόθεσις, καὶ τὸ ἄϖιςον εἰς ἀμφίγνοιαν ἄγηται. Διὸ ἐθιλοντὴς τοῦτον ὑϖέςην τὸν κίνδυνον, ἵνα γνῶσι τἀληθές,

Κἀγὼ 'θελοντὴς τῷδ' ὑπεζύγην πόνῳ.
'Εφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
Λείας ἁπάσας, καὶ κα]ηναρισμένας
'Εκ χειρὸς, αὐτοῖς ποιμνίων ἐπισάταις.
Τήνδ' ἔν ἐκείνῳ πᾶς τις αἰτίαν τρέπει*.
Καί μοι τὶς ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
Πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει,
Φράζει τε, καὐδήλωσεν. Εὐθέως δ' ἐγὼ
Κατ' ἴχνος αἴσσω, καὶ τὰ μὲν σημαίνομαι,
Τὰ δ' ἐκπέπληγμαι, κὐκ ἔχω μαθεῖν ὅτῳ.

* ALDUS, νέμει.

φθαρθὶς, πάντων τὴν αἰτίαν τῷ γεγονότος εἰς αὐτὸν ἀναγόντων.

Ib. 'Αλώμιθα] τῇ διανοίᾳ. Οἰόμενοι τῶτον φαῦτα ποιῆσαι ἀπὸ τῦ θεαθῆναι ὑπό τινὸς κατασκόπε ξιφηφόρον ἐν τῷ πεδίῳ νυκτός. Ἔνιοι δὲ ἀπιστεῖν, διὰ τὸ μαινομένε τὸ ἔργον δοκεῖν· ἐκεῖνος γὰρ ἐν τοῖς σώφροσι.

Ib. 'Αλώμιθα] ἁλῶμαι τὸ πλανῶμαι, ἀφ' ἧ ἄλη ἡ πλάνη, καὶ ἁλύειν τὸ ἔν τινι χρείᾳ γενόμενον τινὰ ἀπορεῖν. Καὶ ἀλύσα κόμη, ἡ ἀτακτῦσα. Καὶ πλανωμένη.

26. Λείας ἁπάσας] τὰ ποίμνια, τὰ βοσκήματα λείας φησίν. Ἔνθεν καὶ λῃστὴς κατὰ τὸ κύριον. Ὅμηρος, "Λῃΐδα τ' ἐκ Πελίε "συνελάσαμεν."

Ib. Κατηναρισμένας] ἄκυρον. Τὸ γὰρ σκυλεύειν, ἐναρίζειν. Ὅτι τὰ ἔναρα, σκῦλα, πωρὰ τὸ ἀρηρέναι, καὶ ἐντὸς αὐτῶν εἶναι ἡμᾶς. Καὶ τὸ παρ' Ὁμήρῳ, πωῦτόν ἐςιν, "Ἠτοι βελ- "τίρν ἐς κατ' ὄρια θῆρας ἐναίρειν." Πῶς γὰρ οἷόν τέ ἐςι σκυλεύειν τὸς λέοντας, εἰ μὴ εἴη καὶ ἐπὶ ἀλόγων ζῴων τὸ σκυλεύειν; Καλλίμαχος ἐπὶ τῆς λεοντείας δορᾶς,---"τὸ δὲ "σκύλον ἀνδρὶ κυλύπτρη Γιγνόμενον νιφετῦ, "καὶ βελέων ἔρυμα."

27. Ἐπισάταις] τοῖς ποιμέσι. Καλῶς δὲ τῦτο, ἵνα μὴ παραγένοιτό τις ἀπαγγέλλων τὸ σαφές. Πόθεν ἦν αὕτη ἡ ὑπόνοια; ὅτι εἶδέ τις αὐτὸν ἐν τῷ πεδίῳ πηδῶντα μετὰ τῦ ξίφος γεῶσι βαινομένε ὑπὸ τῦ αἵματος.

28. Τήνδ' ἦν] βάσις.

31. Φράζει] κατασκευὴ τῆς βάσεως.

32. Καὶ τὰ μὲν] κατὰ τινα μὲν, σημεῖ- ομαι ὡς αὐτός ἐςιν ὁ ἐράσας· κατά τινα δὲ, εἰς ἔκπληξιν πίπτω καὶ ἀπορίαν, ἃ δυνάμε- νος συνιέναι τὸν ἐράσαντα. Σώφρων γὰρ ὁ Αἴας· τὸ δὲ ἔργον, μαινομένε καὶ παρα- πλήγος. Οἱ δὲ λέγοντες, τὰ μὲν τῶν ἰχνῶν, ἃ καλῶς λέγυσι.

Ib. Καὶ τὰ μὲν σημαίνομαι] ἤγων σημα- τίζομαι, διὰ σημείων γινώσκω. Οἷον, ση- μεῖα ἐμαυτῷ τινα συντίθημι ἀπὸ τῦ ἴχνες. Τὰ δὲ ἀπορῶ. Τοιῦτον γὰρ συμβαίνει ἐπὶ τῶν ἰχνευτὰς, ἐπισταλτομένων τῶν ἰχνῶν· διὰ δὲ τὴν μανίαν δυσίχνευτος καὶ ἐπιλελαγμένη ἡ βάσις γέγονε τῷ Αἴαντος. Καὶ ὅλως Οὐυσ- σεὺς ἀναμένει τὸ ἀκριβὲς γνῶναι, ἵνα μὴ δο- κοίη κατ' ἐχθρῶ προκεπές τι πράξειν.

33. Ὅτῳ] οἱ Ἀτλικοὶ ἀντὶ τῦ ὑποπλαπλικῷ ἄρθρε τῆς γενικῆς τῶν ἑνικῶν τῦ ᾧ, καὶ ἀντὶ τῦ ὑποτακτικῦ τῆς δοτικῆς τῦ ᾧ, τὸ ὅτῳ λέγυσι, καὶ τὸ ὅτῳ, συντιθέντες τὸ προτακτικὸ ἄρθρα τὸ τῦ, καὶ τὸ τῷ μετὰ τῦ ὁ. Τύτοις ἀκολυθήσαντες οἱ ποιηταὶ καὶ ἐπὶ τῶν πληθυντικῶν τῦτο ποιῦσι· λέγυσι γὰρ ὅτων ἀντὶ τῦ ὧντινων, καὶ ὑτίος ἀντὶ τῦ εἰσὶν. Ἐπὶ δὲ τῶν αἰτιαλικῶν ἀδέποτε τὸ τοιῦ- το γίνεται, ὅτι παρὰ τοῖς Ἀτλικοῖς, ὅτι παρὰ τρισὶ ποιηταῖς.

34. Καιρὸν

Καιρὸν δ' ἐφήκεις· πάντα γὰρ ταύτ' ἔν πάρος,
Τά τ' εἰσέπεμπα, σῇ κυβερνῶμαι χερί.
ΑΘΗ. Ἔγνων, Ὀδυσσεῦ· καὶ πάλαι φύλαξ ἔβην
Τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.
ΟΔΥ. Ἦ καὶ, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;
ΑΘΗ. Ὡς ἔστιν ἀνδρὸς τῇδε τἄργα ταῦτά σοι.
ΟΔΥ. Καὶ πρὸς τί δυσλόγιστον ὧδ' ἦξεν χέρα;
ΑΘΗ. Χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.
ΟΔΥ. Τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν;
ΑΘΗ. Δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.
ΟΔΥ. Ἦ καὶ τὸ βλῆμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν;
ΑΘΗ. Κἂν ἐξέπραξεν, εἰ καθημέλησ' ἐγώ.

34. Καιρὸν δ' ἐφήκεις] εὐφυῶς ἄρχεται τῆς ὑποθέσεως ὁ Ποιητὴς, ὥστε πρωΐσαι τὸ ὧν διὰ τῆς Ἀθηνᾶς. Θεραπεύει δὲ Ὀδυσσεὺς τὴν Ἀθηνᾶν, ἵνα καὶ ἐν τοῖς ἔξῃς ἔχῃ αὐτὴν εὐμενῆ.

36. Ἔγνων] προκατάσκευασις καὶ δύγησις τῆς ὑποθέσεως.

Ib. Ἔγνων, Ὀδυσσεῦ] ταῦτα πρὸς τὰ ἐξ ἀρχῆς, ἵνα μὴ δόξῃ ἀγνοεῖν ἡ Θεὰ τὸ πρᾶγμα.

38. Ἦ καὶ, φίλη] ἐν τοῖς ἀμοιβαίοις κατὰ βραχὺ ἐνλέγεται ἡ ὑπόθεσις. Πυνθάνεται δὲ πρῶτον εἰ ἆρα πρὸς καιρὸν πονεῖ· εἰ γὰρ αὐτός ἐστιν ὁ τὸν φόνον δράσας, πρὸς καιρὸν ἂν εἴη πονῶν ὁ Ὀδυσσεύς· τὸ δὲ ἐν τῷ, ὡς ἔστιν ἀνδρὸς, ἀντὶ τοῦ ὄντως καὶ ἀληθῶς, κεῖται.

39. Τἄργα ταῦτα] τὸ σοὶ, ἢ παγκάπασιν ἐργὸν, ἀλλὰ καὶ τινα χρείαν παρέχει, εἴτις ἀκριβῶς σκοποίη. Ἐπειδὴ γὰρ ὁ Ὀδυσσεὺς, ὃς ἐστιν ὁ πράξας, μαθεῖν ἐβούλετο, διὰ τοῦτο Ἀθηνᾶ πρὸς τὴν ἐρώτησιν τοῦτο φησὶν, ὡς σαῦτα τὰ ἔργα τῷ Αἴαντός ἐστί σοι τῷ μεμὶ τούτου μαθεῖν ζητοῦντι. Εὑρήσεις δὲ τοῦτο πολλαχῆς προϊόν.

40. Καὶ πρὸς τί] οἷον πρὸς ποῖον σκοπὸν ἔφορῶν ἦξεν ἀντὶ τοῦ ἧξε, καὶ ἐκίνησεν ὥτω χέρα δυσλόγιστον.

Ib. Δυσλόγιστον] ἤγουν δυσκαλανόητον, δυσσυλλόγιστον. Ἔστι δὲ ἀντὶτῆς ἐπιρρήματος, ἀντὶ τοῦ δυσλογίστως, ὥσπερ ταχὺς ἦλθε ἀντὶ τοῦ ταχέως.

Ib. Καὶ πρὸς τί δυσλόγιστον] ἐπύθετο πρῶτον εἰ αὐτὸς ὁ δράσας, εἶτα καὶ τὴν αἰτίαν πυνθάνεται. Τὸ δὲ δυσλόγιστον, ὅμοιον τῷ, πρᾶγος ἄσκοπον. Ἀγνοεῖ γὰρ ἔτι τὴν μανίαν.

42. Ἐπεμπίπτει] οἱ λέγοντες τὸ ἐπιμπίπτειν ἀντὶ τοῦ ἐπιβάλλειν, ἵνα συντάξωσι τὴν αἰτιατικὴν, τἀληθὲς ἀγνοοῦσιν· ἀλλ' ὥσπερ φαμὲν, πολεμῶ σοι πόλεμον, καὶ ἦλθον ἐνταῦθα καλλίστην πορείαν· τὸ γὰρ ἐλθεῖν ἐνταῦθα καλλίστην πορείαν λέγω. Οὕτω καὶ νῦν, ἐπεμπίπτει ταῖς ποίμναις τήνδε τὴν βάσιν, τοῦτ' ἔστι, τίνος ἕνεκα ἐπὶ ταύταις ἔρμῃ ὁρμὴν τινὰ, τὸ διαφθεῖραι λέγω αὐτάς. Ἄλλως· ταῖς ποίμναις ἐπεμπίπτει, ἀντὶ τοῦ ἐπὶ ταῖς ποίμναις, τοῦτ' ἔστι κατὰ τῶν ποιμνίων. Βάσιν δὲ εἰκότως εἶπε, ὡφειλεν εἰπεῖν. Ὁ δὲ καὶ τὴν ὑπόθεσιν αὐτῷ δῆλον δηλῶσαι, ἐπεμπίπτει λέγει· ταιῶτο καὶ τὸ ἔκειρε φόνου, κυκλοῦντα βάσιν.

43. Δοκῶν ἐν ὑμῖν] τοῦτο καθ' ὅλον καὶ μέρος. Τὸ μὲν φοκῶν ὅλον· τὸ δὲ χεῖρα, μέρος.

44. Ἦ καὶ τὸ] τὸ τῶν ὅπλων, ἆρα αὕτη ἡ βλὴ καὶ κατὰ τῶν Ἀργείων ἦν, ὥτω μεγάλη δηλονότι οὖσα;

45. Κἂν ἐξεπράξατο, εἰ κατημέλησ' ἐγώ] γράφεται καὶ, ἐξέπραξεν.

46. Ποιαῖσι

ΟΔΥ. Ποίαισι τόλμαις ταῖσδε καὶ Φρενῶν θράσει;
ΑΘΗ. Νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
ΟΔΥ. Ἦ καὶ παρέσῃ, κἀπὶ τέρμ' ἀφίκεσο;
ΑΘΗ. Καὶ δὴ 'πὶ δισσαῖς ἦν στραηγίσιν πύλαις.
ΟΔΥ. Καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
ΑΘΗ. Ἐγώ σφ' ἀπείργω, δυσφόρους ἐπ' ὄμμασι
Γνώμας βαλοῦσα, τῆς ἀνηκέστου * χαρᾶς·
Καὶ πρός τε ποίμνας ἐκβρέπω, σύμμικτά τε
Λείας, ἄδαστα βυκόλων φρυάγματα.
Ἔνθ' εἰσπεσὼν ἔκειρε πολύκερων φόνον
Κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ' ὅτε

* Aldus, ἀνικάτου.

46. Ποιαῖσι τόλμαις] ἐρωτᾷ ὁ Ὀδυσσεύς, πῶς μόνος ὢν πρὸς πλῆθος ἐδύνατο μάχεσθαι, ἤγουν τίνες ἦσαν αἱ τόλμαι, αἷς ἐθάῤῥει, καὶ τί ἦν τὸ θράσος τῶν φρενῶν, δι' ἃ ἐθάῤῥησε ποιῆσαι τοῦτο.

48. Ἦ καὶ παρέσῃ] ἀντὶ τοῦ ἐπλησίασεν ἡμῖν, καὶ ἐπὶ τὸ τέρμα τῆς ὁδοῦ ἐληλύθει ἀφίκεσο.

49. Στραηγίσιν πυλαῖς] ταῖς τῶν σκηνῶν.

50. Ἐπέσχε] Ἐπέχω τὸ κωλύω, καὶ ἐπίσχει ἡ οἰκία τοσοῦτον διάστημα, ἀντὶ τοῦ ἐπικρατεῖ. Καὶ ἐπίσχει τὸ διάσκαλε τάξιν.

Ib. Μαιμῶσαν] γράφεται καὶ, ὀψῶσαν.

51. Ἐγώ σφ' ἀπείργω] ὅτι προσκορὲς ἦν διηγηματικῷ εἶδει τὸ πᾶν διεξελθεῖν. Τὸ δὲ ἐξῆς, ἐγώ σφ' ἀπείργω τῆς ἀνηκέστου χαρᾶς. Χαρὰν φησι τὴν ἐπὶ τῷ δοκεῖν τοὺς Ἕλληνας ἀνῃρῆσθαι. Ταύτης ἓν αὐτὸν τῆς χαρᾶς ἀπῆρξα, δυσφόρους γνώμας ἐμβαλοῦσα τοῖς ὄμμασι. Καλῶς δὲ εἶπε γνώμας· οὐ γὰρ κλέψαι φησὶ τὴν ὄψιν, ὡς μὴ ὁρᾶν, ἀλλ' ἐπ' αὐτῇ γνώμην δύσφορον ἐπιβαλεῖν, ὡς οἴεσθαι ἰδεῖν τὰ μὴ ὄντα· τοῦτο δὲ οὐ τῶν ὀφθαλμῶν ἁμάρτημα, ἀλλὰ πολὺ πρότερον τῆς διανοίας.

Ib. Ἐγώ σφ'] τοῦτ' ἔστιν, οὐ μόνον ἐκώλυσα τότε τοῦ φονεῦσαι ὑμᾶς, ἀλλὰ καὶ νῦν κωλύω μὴ θεωρεῖν σε.

Ib. Δυσφόρους] εὔφορον τὸ ἐλαφρὸν, δύσφορον, τὸ δύσκολον φερόμενον, ἀπὸ τούτου εὐφόρως, ἀντὶ τοῦ εὐχερῶς, παρ' Ἱπποκράτει, ἀπὸ τοῦ εὐκόλου φέρειν, ᾧ ἐναντίον τὸ δυσφόρως, ἤγουν δυσβαστάκτως. Ἐνταῦθα δὲ δυσφόρους γνώμας λέγει τὰς κακῶς φερομένας, καὶ μὴ εὐοδουμένας, ἢ παραφόρους.

Ib. Ἐπ' ὄμμασιν] ἐπειδή φησιν ἡ παροιμία, γῆς ὁρᾷ καὶ νῆς ἀκούει. Ὁ δὲ Αἴας ὑπ' Ἀθηνᾶς τὸν νῆν καλεισίσιος, διὰ τοῦτο φησὶ τὸ δυσφόρους ἐπ' ὄμμασι γνώμας βαλοῦσα, τοῦτ' ἔστι, τὸν νῆν αὐτοῦ διαφθείρασα, ὥστε ὁρῶντα μηδὲν αἰσθάνεσθαι, πάσχοντος τὸ αἴτιον τῆς ὁράσεως, ἀλλ' οὐ τῆς ὁράσεως.

52. Χαρᾶς] χαρὰν δὲ λέγει, ἣν εἶχεν ὁ Αἴας ἐπὶ τῷ δοκεῖν ἀνῃρῆσθαι τοὺς Ἕλληνας.

53. Σύμμικτά τε] καὶ τὰ ἐξῆς περιφραστικῶς τὰ βυκόλια.

54. Λείας, ἄδαστα] οὐ δεῖ πρὸς τὸ λείας ἔξωθεν τὸ ἀπὸ λαμβάνειν, ἀλλ' ὕστω λέγειν, πρὸς τὰ σύμμικτα φρυάγματα τῶν βυκόλων, τὰ ἄδαστα τῆς λείας, ἤτοι τὴν ἀμέριστον λείαν.

Ib. Ἄδαστα] ἀδιαίρετα, ἀμέριστα. Πιθανὸν δὲ καὶ πρὸς τὸ πλῆθος· ἐλάσσονα γὰρ εἶναι εἰκὸς τὰ μεμερισμένα.

55. Ἔκειρε] ἀντὶ τοῦ κείρων ἔπιπτεν.

56. Κύκλῳ ῥαχίζων] κατὰ πάντα τόπον τῆς ἐπαύλεως σφάζων καὶ διακόπτων, διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ ῥάχιν γίνεσθαι. Ἐκ μεταφορᾶς καὶ τοὺς μεγάλως κακοεργοῦντας, ῥαχίτας φαμέν.

57. Δισσοὺς

Δισσὸς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
Ὅτ' ἄλλοτ' ἄλλον, ἐμπίπλων, στρατηλατῶν·
Ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις
Ὤτρυνον, εἰσέβαλλον εἰς ἔρκη κακά.
Κἄπειτ' ἐπειδὴ τῆδ' ἐλώφησεν φόνῳ,
Τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν,
Ποίμνας τε πάσας, εἰς δόμους κομίζεται,
Ὡς ἄνδρας, ἐχ ὡς εὐκέρων ἄγραν, ἔχων·
Καὶ νῦν κατ' οἴκους συνδέτους αἰκίζεται.
Δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
Ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῆς.

57. Δισσὸς Ἀτρείδας] πιθανῶς τάττει τὰ ὀνόματα εἶπεν. Κατ' αὐτῶν γὰρ πλεῖων ἡ ἀγανάκτησις, ὡς τῆς ἀδικίας προκαθαρξαμένων. Τὸ δὲ τῷ Ὀδυσσέως ἐταμιεύσατο τὸν Αἴαντι, ἵνα καὶ μεῖζον ᾖ τὸ πάθος αὐτῷ φανερῶς παραπαίοντος. Κἄπειδὴ γέλοιον προελθόντα τὸν Αἴαντα λέγειν καὶ παρησχολῆν τοῖς Διαταῖς, ἃ προειρήκει πόντα ἡ Ἀθηνᾶ.

Ib. Αὐτόχειρ κτείνειν ἔχων] γράφεται παρῶν.

Ib. Αὐτόχειρ κτείνειν] αὐτοχείρως ἔδει εἰπεῖν, πρὸς δὲ τὸ ἔχων ἐπήνεγκε. Καὶ τὸ, Ὅτ' ἄλλοτ' ἄλλον δὲ, ἀσυνδέτως εἰρηκέ.

58. Ὅτ' ἄλλοτ' ἄλλον] ποτὲ δὲ ἄλλοτε ἔθηκει κτείνειν ἑστερχόμενος ἄλλον ἀπὸ τῶν στρατηλατῶν· ἦγεν τῶν βασιλέων Ἀγαμέμνονος καὶ Μενελάου.

Ib. Ἐμπίπλων] γράφεται ἱμπίσιων, ἢ ἱμπίπτων.

Ib. Ἐμπίπτων] οἱ γράφοντες ἱμπίπτων, ὀ καλῶς γράφουσι· βραχὺ γὰρ ὀφείλει εἶναι τὸ ῐ, ὡς ἐν τῇ τετάρτῃ ὂν χώρᾳ.

Ib. Φοιτῶντα) ἀντὶ τοῦ μαινόμενον. φοῖτος γὰρ ἡ μανία. Ἡ περιεχόμενον ἐν τοῖς ποιμνίοις διὰ τὴν μανίαν. Λέγει γὰρ, μανιάσι νόσοις. Ἢ ἀναστρεφόμενον ἐν τῇ μανίᾳ.

Ib. Μανιάσιν νόσοις] ταυτὸν τὸ, εἰς ἔρκη κακά. Ἢ ὕστερον λέγει, ἐγὼ δὲ φοιτῶντα καὶ ἀλόγως ὁρμῶντα κατ' ὑμῶν ἄνδρα, ὤτρυνον, εἰσέβαλλον εἰς ἔρκη κακὰ, ἐν μανιάσι νόσοις, τοῦτ' ἔστιν, ὃν ἄλλως ἐποίησα αὐτὸν δυσιυχῆσαι· (τοῦτο γὰρ ἐστι τὸ εἰς ἔρκη κακά) ἀλλ' ἢ ἐν τῷ ποιῆσαι αὐτὸν μαινόμενον.

Ib. Εἰς ἔρκη κακά] γράφεται, ἐς ἐρινὺν κακήν.

61. Ἐλώφησεν] ἐπαύσαλο ἀπὸ τῶν ὑποζυγίων, ὅθεν καὶ τὸ εὐλόφως φέρειν.

62. Τοὺς ζῶντας] τοὺς ζῶντας τῶν βοῶν δήσας ὡς αἰχμαλώτους ἀνδρας, ἄγει, καὶ τὰ λοιπὰ πείθεται· πιθανὸν δὲ καὶ τοῦτο προειρῆσθαι, ἵνα ὅταν εἴπῃ ἡ Τέκμησσα περὶ τοῦ κριοῦ, προεπισαίμιθα τοῦτο.

Ib. Συνδέσας] συνδεῖν τὸ ἁμαρτάνειν τὰς χεῖρας δεσμεῖν.

63. Κομίζεται] κομίζω τὸ φέρω· κομίζομαι δὲ τὸ λαμβάνω.

64. Εὐκέρων] εὐκέρων ἄγραν, ἤγουν εὐφυῶς ἔχουσαν ἐπὶ τοῖς κέρασι, τυτέστι κερασφόρων· καὶ εὐκέρως ταῦρος ὁ καλὸς κέρατα ἔχων.

65. Δείξω δὲ καὶ σοὶ] Πιθανὴ ἡ παρέμβασις τοῦ Αἴαντος· ὅτω γὰρ μεῖζον γίνεται τὸ παράθος τῆς τραγῳδίας τῶν Διατῶν, νῦν μὲν παραφρονοῦντα, ὀλίγῳ δ' ὕστερον ἔμφρονα θεωμένων· καὶ ἵνα ἴδωσιν ὁ Ὀδυσσεὺς ἐξέπη τοῖς ἄλλοις Ἕλλησιν· ὅτω δὲ καὶ ἡ εὐνοια τῆς Ἀθηνᾶς ἐνδείκνυται εἰς τὸν Ὀδυσσέα.

67. Θροῆς] Θροῶ τὸ λίγω ποιητικῶς, καὶ Θροῶ τὸ θορυβῶ κοινῶς.

Θαρσεῖν δὲ μίμνε, μηδὲ συμφορὰν δέχε
Τὸν ἄνδρ'· ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
Αὐγὰς ἀπείρξω, σὴν τροσοψιν εἰσιδεῖν.
Οὑτὸς, σὲ τὸν τὰς αἰχμαλώτιδας χέρας
Δεσμοῖς ἀπευθύνοντα, τροσμολεῖν καλῶ.
Αἴαν᾽ φωνῶ· σεῖχε δωμάτων τάρος.
ΟΔΥ. Τί δρᾷς, Ἀθάνα; μηδαμῶς σΦ᾽ ἔξω κάλει.
ΑΘΗ. Οὐ σῖγ᾽ ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς *;

* Aldus, ἄρῃς.

68. Συμφορὰν δίγα] τυτέσι, μὴ ἰδὼν τὸν ἄνδρα τὸν Αἴαντα δέξῃ συμφορὰν οἰκείαν. Ἦγων βλέπων αὐτὸν τοιᾶσδε διακείμενον μὴ λυπηθῇς ἐπ᾽ αὐτῷ. Ἄλλοι δὲ ὅτως ἐξηγοῦνται, μὴ συμφορὰν δίχα τὸν ἄνδρα, τυτέσι μὴ εἰνῇς παθεῖν τι κακὸν ἐξ αὐτοῦ.

69. Ἐγὼ γὰρ] ἐγὼ γὰρ διεγραμμένας ποιήσασα τὰς αὐγὰς τῶν ὀμμάτων αὐτοῦ ἀπείρξω θεάσασθαι τὴν σὴν τρόσοψιν.

Ib. Ἀποστρόφους] εἰς τὰς (τὰ) ὀπίσω ἐγραμμένας. Διάστροφοι ὀφθαλμοί, οἱ τῶ μαινομένῳ, καὶ οἱ ἐπ᾽ ἄλλο βλέποντες, εἶτα κατ᾽ ἄλλο δοκοῦντες βλέπειν. Ἀπόστροφοι δὲ, οἱ ὀπισθεν ἐγραμμένοι.

71. Οὑτος] ἀποστροφὴ πρὸς τὸν Αἴαντα.

72. Ἀπευθύνοντα] Εὐθύνω τὸ κατ᾽ εὐθεῖαν ἄγω, καὶ κυβερνῶ, καὶ τὸ κολάζω. Καὶ ἀπευθύνω ἐπὶ τῶν αὐτῶν ὁμοίως.

Ib. Προσμολεῖν] τὸ προσμολεῖν ἐκ ἀπὸ τῦ μολεῖν μολῶ γίνεται· ἄχρηστον γὰρ τῦτο, ἀλλ᾽ ἀπὸ τῦ μόλω.

75. Οὐ σῖγ᾽ ἀνέξῃ] σίγα ἔπμα, ἀντὶ τῦ σιῶπα, καὶ σῖγα ἐπίρρημα ἀντὶ τῦ σιωπηλῶς, ὅπερ ἔχει βραχεῖαν τὴν λήγουσαν.

Ib. Οὐ σῖγ᾽ ἀνέξῃ] τὸ σίγα, τὸ μὲν προστακτικὸν σπουδειακὸν ὄν, παροξύνεται, ὡς τὸ, Σίγα νῦν ἕως, καὶ μὴν ὡς κυρεῖς ἔχων. Καὶ παρ᾽ Εὐριπίδῃ, Σίγα, σιώπα. γίνεμον δ᾽ ἴσης᾽ ὄχλον. Τὸ δὲ ἐπιρρήμα προχαϊκὸν ὄν, προπερισπᾶται, ὡς ἐνταῦθα, καὶ παρ᾽ Αἰσχύλῳ, "Οὐ σίγα μηδὲν τῶνδ᾽ ἐρεῖς κατὰ πτόλιν". Τὸ μέντοι ἀρεῖς, ἐκ ἄρῃς ὀφείλει γράφεσθαι ἐπὶ ἀορίστω, ἀλλ᾽ ἀρεῖς, ἐπὶ μέλλοντος. ὁ μὲν γὰρ ἀόριστος ὡς ἐπὶ τὸ πλεῖστον φύσει ἢ θέσει μακρᾷ παραλήγεται· ὡς ἐπὶ τὸ πλεῖστον δὲ εἴρηται διὰ τὸ ἐπῆνεσα, καὶ ἐγέλασα, καὶ ἦρσα, καὶ ἔφρασα, καὶ ὅσοι λοιποὶ ἀόριστοι ἀπὸ μελλόντων γίνονται, βραχείᾳ συλλαβῇ παραληγομένων. Ὁ δὲ μέλλων τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων τὰ ἀμεταβόλα τηρεῖ μετὰ συσολῆς τῆς παραληγύσης καὶ περισπωμένην τόνον. Ὥσπ᾽ ἐπειδὴ ἡ ἕκτη τῦ ἰάμβυ χώρα, ἢ ἰάμβῳ, ἢ πυρριχίῳ ἐκφέρεται, ἃ χρὴ ἄρῃς γράφειν, ὡς ἐν πολλοῖς τῶν βιβλίων εὕρηται. (μακρὸν γὰρ ὂν τὸ ᾱ, τὸν τῦ μέτρυ διαφθείρει κανόνα) ἀλλ᾽ ἀρεῖς, διὰ τὸ ἴαμβον εἶναι τὸν τοιῦτον μέλλοντα. εἰ δέ τις εἴποι, ὡς ἐπειδὴ ὁ ἥρα ἀόριστος, μεταβὰς εἰς ὑπολακλικὸν συνίζησε τὴν παραλήγουσαν κατὰ τὸν κανόνα, ἴσω, ὅτι πάντες οἱ ἀόριστοι κᾆν τε εἰσύλλαβοι ὦσι, κᾆν τε τρισύλλαβοι, τὴν μὲν κλιτικὴν ἔκτασιν κινηθείσης ἀποβάλλυσι, κᾆν τε συλλαβικὴ ἴσι, κᾆν τε χρονική (οἷον ἔτυψα, ἐὰν τύψω. ἦκουσα, ἐὰν ἀκούσω· εἶδον ἰδών· ἦλθον ἐλθών. πλὴν τῦ εἶπον εἰπών, καὶ ἦκον ἥκων, ἦγον ἐλθών) τὴν δὲ παραλήγουσαν μακρὰν ἔχουσι, πλὴν τῶν εἰρημένων. Καὶ τὸ ἄρῃς ἂν εἰ καὶ συνίζησε τὴν κλιτικὴν ἔκτασιν, ἀλλὰ τὴν φυσικὴν διεφύλαξε μακρότητα. Οὐ μόνον δὲ τὸ ἄρῃς, ἀλλὰ καὶ τὸ ἄρον. Διὸ καὶ προπερισπᾶται, ὅτι δὲ μακρά εἰσι φύσει καὶ ἀμφότερα, δῆλον ἐντεῦθεν, Μηδ᾽ ὄγκον ἄρῃς μηδὲν εἰσινος πλέον. Ἀλλ᾽ ἄρον ἔχω, καὶ μάλιστα μὲν μίσθ.

ΟΔΥ. Μὴ πρὸς θεῶν, ἀλλ' ἔνδον ἀρκείτω μένων.
ΑΘΗ. Τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ' ἦν;
ΟΔΥ. Ἐχθρός γε τῷδε τἀνδρὶ, καὶ τανῦν ἔτι.
ΑΘΗ. Οὐκοῦν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν.
ΟΔΥ. Ἐμοὶ μὲν ἀρκεῖ τοῦτον εἰς * δόμους μένειν. 80
ΑΘΗ. Μεμηνότ' ἄνδρα φανερῶς οὐκ εἶς ἰδεῖν;
ΟΔΥ. Φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέσην ὁκνῳ †.
ΑΘΗ. Ἀλλ' ὑδὲ νῦν σε μὴ παρόντ' ἴδῃ τέλας.
ΟΔΥ. Πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐταῖς ὁρᾷς;
ΑΘΗ. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα. 85
ΟΔΥ. Γένοιτο μέν τ' ἂν πᾶν, θεοῦ τεχνωμένου ‡.
ΑΘΗ. Σίγα νῦν ἕως, καὶ μέν' ὡς κυρεῖς ἔχων.

* Ald. ἐν δόμοις. † Turn. ἰδεῖν. ‡ Ald. ἂν, πᾶν θεῶ τεχνωμένῳ.

76. Μὴ πρὸς θεῶν] παραιτεῖται Ὀδυσσεὺς ὡς κωμῳδοῦντος τὸν ποιητὴν δειλίαν τῷ ἥρωϊ, (ὕστω γὰρ ἀφαιρεθείη τῆς τραγῳδίας τὸ ἀξίωμα) ἀλλὰ τὸ εὐλαβὲς ἐνδείκνυται. Ἔμφρονος γὰρ ἦν τὸ τῷ μεμηνότι παραχωρεῖν· ὅρα γὰρ οἷον ἦν, προσελθόντα ἐκεῖνον διάσασθαι τὸν νεκρόν.

77. Τί μὴ γίνηται] μὴ τί γένηται φοβῇ; οὐχ ὁ αὐτὸς ἦν καὶ πρότερον ἄνθρωπος; ἀλλ' ὠδὲν ὑμᾶς εἰργάσαλο κακὸν ἡμῶν ἐπιμιλημένων.

Ib. Πρόσθεν οὐκ] ἡ σύνταξις, οὐκ ἦν καὶ ἔζιν ὅδε καὶ ὅτος, ἦγεν ὁ Αἴας, ἀνὴρ ὁ πρόσθεν· ἦγεν, οὐκ ἔζι τοιοῦτος οἷον ἐπίζασο πρότερον, φρενῶν καὶ λογισμῶ μέτοχος, ἀλλα μαινόμενος, ὥζε οὐκ ἂν ἐπιγνοίη σε.

Ib. Πρόσθεν οὐκ ἀνὴρ] πράτραν μὲν οὐκ ἦν ὅτος ὁ ἀνὴρ αὐτὸς ἐκεῖνος ὃς ἔζι καὶ τανῦν.

78. Ἐχθρός γε τῷδε ἀνδρὶ] ναὶ, αὐτὸς ἐκεῖνος ἐζὶν, ἀλλ' ὅμως ἐχθρὸς ἦν ἐμοὶ καὶ πρότερον, καὶ τανῦν ἔτι μᾶλλον, ἐχθρὸς ἐζὶ μοι.

Ib. Τῷδε τἀνδρὶ] δεικλικῶς, ἀντὶ τοῦ ἐμοῦ τῷ Ὀδυσσεῖ.

79. Οὐκοῦν γέλως ἥδιστος] σκληρὸν μὲν τὸ λέγειν τὸ ἡπεχγελᾶν τοῖς ἐχθροῖς, ἀλλὰ θέος ἐζιν, οὐκ εὐλαβούμενον τὸ νεμεσητὸν· ἄλλως τε καὶ παραξύνεσα τὸν Ὀδυσσέα φησίν.

80. Ἐμοὶ μὲν ἀρκεῖ] μέτριον διεφυλάχθη τὸ τοῦ Ὀδυσσέως ἦθος, διὰ τὸ μὴ ἐντρυφᾶν τοῖς κακοῖς.

Ib. Εἰς δόμους] ποιητικῶς εἴρηται, ἀντὶ τοῦ ἐν δόμοις.

81. Μεμηνότ' ἄνδρα ὁρᾶν] ἀντὶ τοῦ φοβεῖ. ποικίλως γὰρ τίθησι τὸ ὁρᾶν ἀντὶτοῦ φοβεῖσθαι.

82. Φρονοῦντα γάρ νιν] ἐκπλήρου τὸ οἰκεῖον παρέκειται, καὶ ὃ χρὴ τὰ τοῦ Ὀδυσσέως φρονιμώτερα οἴεσθαι τῶν τῆς Ἀθηνᾶς· ἀλλ' ἐκείνη σκοπεῖν, ὅτι ἡ μὲν μετὰ παῤῥησίας ἐναλέγεται, ὡς θεός· ὁ δὲ, ὑπεισαλμένως, ὡς θνητὸς, τὸν κηδὸν ὁρᾷ, ὅτι ὁμόσε χωρῆσαι τῇ μανίᾳ τοῦ ἐχθροῦ οὐκ ἀρμόζει. Φρονοῦντα γὰρ αὐτὸν οὐκ ἂν ἐξέζην δι' εὐλάβειαν. Τὸ δὲ νῦν ἐκζῆναι, οὐ τῷ Αἴαντι, ἀλλὰ τῇ μανίᾳ.

85. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα] εἰ καὶ βλέποντα τὰ βλέφαρα αὐτοῦ, ποιήσω μὴ ἐδορκέναι.

Ib. Βλέφαρα] ἐνταῦθα τοὺς ὀφθαλμοὺς, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον· βλέφαρα γὰρ κυρίως οἱ τοὺς ὀφθαλμοὺς περιέχοντες ὑμένες.

87. Σίγα νῦν] τὸ νῦν τοῦτο, εἰ καὶ ἀντὶ τοῦ δὴ ἐζὶν, ἀλλ' ἔχει καὶ τινα ἔμφασιν κυρικὴν ὥσπερ φαμὲν καὶ τὸ ὅτε, τὸ τὴν αἰτίαν δηλῶν· τοῦτο γὰρ οὐ μόνον ἀντὶ τοῦ ἐπεὶ ἐζὶν, ἀλλὰ καὶ καιρὸν δηλοῖ.

ΟΔΥ. Μένοιμ' ἂν· ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.
ΑΘΗ. Ὦ ξένος, Αἴαν, δεύτερόν σε προσκαλῶ·
Τί βαιὸν ὄντως ἐντρέπῃ τῆς συμμάχου;
ΑΙΑ. Ὦ χαῖρ', Ἀθάνα, χαῖρε, διογενὲς τέκνον,
Ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
Στέψω λαφύροις, τῆσδε τῆς ἄγρας χάριν.
ΑΘΗ. Καλῶς ἔλεξας· ἀλλ' ἐκεῖνό μοι φράσον,
Ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
ΑΙΑ. Κόμπος πάρεστι, κἀκ ἀπαρνοῦμαι τὸ μή.
ΑΘΗ. Ἦ καὶ πρὸς Ἀτρείδαισιν ἤχμασας χέρα;
ΑΙΑ. Ὡς ὄπροτ' Αἴανθ' οἵδ' ἀτιμάσασ' ἔτι.
ΑΘΗ. Τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.
ΑΙΑ. Θανόντες, ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.

88. Μένοιμ' ἂν] ἰσέον ὅτι τὸ τυχεῖν καὶ τὸ τυγχάνειν μετὰ μετοχῆς τάσσονται καὶ λαμβάνονται ἀντὶ τοῦ κατὰ τύχην. δεῖ δὲ εἰδέναι ὅτι ἐπὶ τῶν τομάτων εἰς τὸ ῥῆμα τῆς μετοχῆς ὁ λόγος ἀναλύεται, οἷον ἔλαθε ποιήσας ἀντὶ τοῦ ἐποίησε, καὶ ἔτυχεν ἀναλώσας ἀντὶ τοῦ ἀνήλωσεν.

Ib. Ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν] τὸ ὢν ἐνταῦθα ἀναλύεται εἰς ἀπαρέμφατον, τὸ δὲ τυχεῖν ᾧ συναιρώσεται, ἦγον ἤθελον δ' ἂν εἶναι ἐκτός.

89. Ὦ ξένος] διὰ τοῦ ξένος καὶ τοῦ Αἴας, ἐμσσὴ ἡ κλῆσις· ἢ ὅτι καὶ πρότερον ἐκάλεσεν αὐτὸν, ὅτε καὶ Ὀδυσσεύς φησι, τί δρᾷς, Ἀθάνα; ἢ ὡς καὶ πρότερον, ὁπότε ἐδόκει συλλαμβάνειν αὐτῷ πρὸς τὴν ἀναίρεσιν.

90. Τί βαιὸν ὄντως] ὀλίγον. Ἀντὶ τοῦ ὅλως. Δύμμαχον δὲ αὐτὴν νομίζει, ὡς καὶ ἐν τοῖς ἑξῆς φησιν ὡς εὖ παρέστης.

Ib. Τί βαιὸν] Βαιὸν τὸ μικρόν. Λέγεται δὲ ἐνταῦθα ἀντὶ τοῦ οὐδέν. Ἔχει δὲ τὸ πᾶν ὄντως, τί δ' ὅλως ἐνίρεπε, ἦγον ἐπισρέφῃ ὄντως ἐμοὶ φιλονότι τῆς συμμάχου.

91. Ὦ χαῖρ', Ἀθάνα] ἐπέγνω μὲν τὴν Ἀθηνᾶν· τὰ δὲ ἑξῆς, τοῦ παραπαίοντος· ὅτω γὰρ ἂν προκύψειν ἡ ὑπόθεσις. Οὐ παντελῶς δὲ ἀπώλλυτο αὐτοῦ τὸ ἡγεμονικὸν, ἀλλ' ἡ μανία γέγονε περὶ τὸ λογιστικόν. ἐμέμνητο μὲν γὰρ ὡς ἐχθρὸς ἀνειλών, περὶ τὸ πρόσωπον δὲ ἐσφάλλετο, ὅτι ποίμνια ἀντεῖλε, καὶ διελογίζετο ἄνδρας ὠνῃκέναι.

92. Ὡς εὖ παρέστης] ἦγον παρασάτις, καὶ βοηθὸς ὑπῆξας ἐμοὶ, ἵνα τοὺς ἐχθροὺς ἀνέλω.

96. Κἀκ ἀπαρνοῦμαι τὸ μή] Ὤφειλεν εἰπεῖν ὃ λέγω τὸ ἔχει, ἐπεὶ δὲ ἄρνησιν ἔχει τὸ ἔχει, λέγει τὸ ἀρνοῦμαι, ἵν' ᾖ, ἀρνούμενος λέγω, τοῦτο δὲ σύνηθες καὶ παρὰ τοῖς κοινοῖς.

Ib. Κἀκ ἀπαρνοῦμαι] αἱ δύο στερήσεις ἐνταῦθα ἀντὶ μιᾶς καταφάσεως· μία γὰρ στέρησις τὸ ὦ, καὶ ἑτέρα τὸ ἀπαρνοῦμαι.

97. Ἤχμασας] σὺν πλήμμῃ ἐκίνησας.

98. Ὡς ὄπροτ' Αἴανθ' οἵδ'] ἐὰν διασυνθῇ τὸ οἵ, ἔχει ἐπὶ τῶν Ἀτρειδῶν· ἐὰν δὲ ψιλὸν, τὸ οἷδα ἀντὶ τοῦ ἐπίσαμαι.

100. Θανόντες ἤδη] οἱ θανόντες ἤδη ἀφαιρείσθωσαν τὰ ἐμοὶ προσήκοντα ὅπλα. Αἴρομαι καὶ ὁ παραλαλικὸς ἠρόμην ἦρα, καὶ τὸ προστακτικὸν ἀφαίρει ἀφαιρείσθω, ἀφαιρείσθον, ἀφαιρείσθων, ἀφαιρείσθε, ἀφαιρείσθωσαν, καὶ κατὰ συγκοπὴν ἀφαιρείσθων πλεοναζομένου τοῦ ι. Ἔστι γὰρ ἡ συνήθεια αὕτη τῶν Ἀττικῶν.

Ib. Τἄμ' ἀφαιρείσθων] καλῶς τὰ ἐμὰ ἔφη, ἀντὶ τοῦ τὰ ἀνήκοντά μοι, ἃ ἄξιά με λαβεῖν, ὡς ἰδίων ἀπεσπασμένων.

ΑΘΗ. Εἶεν. Τί γὰρ δὴ πᾶις ὁ τοῦ Λαερτίου,
Πᾶ σοι τύχης ἔσηκεν; ἢ πέφευγέ σε;
ΑΙΑ. Ἦ τὸ πίτριπλον κίναδος ἐξήρε μ' ὅπου;
ΑΘΗ. Ἔγωγ' Ὀδυσσέα τὸν σὸν ἐνσάτην λέγω.
ΑΙΑ. Ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
Θακεῖ· θανεῖν γὰρ αὐτὸν ὅτι πω θέλω.
ΑΘΗ. Πρὶν ἂν τί δράσῃς, ἢ τί κερδάνῃς * πλέον;
ΑΙΑ. Πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκίου στέγης.
ΑΘΗ. Τί δῆτα τὸν δύστηνον ἐργάσῃ κακόν;
ΑΙΑ. Μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.

* Turn. κερδανεῖς.

101. Τί γὰρ] τὸ γὰρ οὐκ ἔχει κατασκευαστικόν, ἀλλ' ἔχει κάλλος τῷ λόγῳ, ἐν ἀρχῇ ἐννοίας τι θέμενον, ᾧ καὶ οἱ λογοποιοὶ χρῶνται πολλαχῶ.

102. Πᾶ σοι τύχης ἔσηκεν; ἢ πέφευγέ σε;] οὐχ ὡς διαξέλλουσά φησιν, ὡς ἂν εἴποι τις, ἔθηνεν, ἢ πέφευγέ σε; ἀλλὰ παροξύνουσα· Φησὶ γάρ, πέφευγε δή σε ὁ Ὀδυσσεύς.

103. Τὸ πίτριπλον κίναδος] τὸ ἐξῶλες θηλύ· καὶ πανοῦργον· κίναδος γὰρ ἡ ἀλώπηξ. Πάνυ δὲ καταλοιδορεῖ τὸν Ὀδυσσέα ὡς ἐχθίστου.

Ib. Ἐξήρε μ' ὅπου] τῆς τύχης ἐστί, δηλονότι.

Ib. Ἦ τὸ πίτριπλον] εἰ καὶ δοκεῖ τὸ πίτριπλον κίναδος, εὐθεῖα, διὰ τὸ ῥᾳδίως ὕστερα συντάσσεσθαι· ἀλλ' οὐκ ἔστιν ὕστως, ἀλλ' ἔστιν αἰτιατικὴ πρὸς εὐθεῖαν προσχωρῆσα, ὥσπερ καὶ παρὰ τῷ Κωμικῷ, οἱ τὸν ὠρανὸν Δίγονλις ἀναπείθουσιν ὡς ἐστι πνιγεύς. Καὶ πάλιν. Ψύλλαν ὁπόσους ἄλλοιτο τὰς αὐτῆς πόδας, εἰ καί τινες τῶς ἀμαθῶν τὴν διὰ πρόθεσιν λαμβάνουσιν ἔξωθεν. Ἔστι δὲ τὸ ὠρανὸν, αἰτιατικὴ πρὸς εὐθεῖαν τὸ πνιγεὺς προσχωρῆσα. Οὕτω δὴ καὶ τοῦτο. Προῖὼν δὲ εὑρήσεις αὐθις τήνδε τὴν σύνταξιν, Ἀλλὰ καὶ τὸ, Ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση; καὶ τὸ, Σὺ δ' ἀνταμύσῃ τοῦτον ὡς τεθνᾶσιν, οὐχ ἑτέρα ἐστί. Μὴ μόνον δὲ παρὰ ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς πολλὰ τοιαῦτα εὑρήσεις.

Ib. Κίναδος] τὸ πίτριπλον κίναδος, ὡς πίθηκος λαμβάνεται τὸ πίτριπλον, ἤγουν τὸ κίναδος τὸ πίτριπλον, τυτέστι τὸ πανοῦργον θηρίον, καὶ πιπερίδης ἄξιον.

104. Ἔγωγ' Ὀδυσσέα] οἱ Ἀττικοὶ ἐν τοῖς λόγοις τοῖς δεσμίοις ἀποκρίσεως διὰ τοῦ ναὶ, λέγουσι τὸ ἔγωγε, ἢ μᾶλλον, ἢ τοιοῦτό τι, καὶ ἀρκοῦνται τούτοις ἐν οἷς δὲ τὸ οὐ ἀμύζει ἐν τῇ ἀποκρίσει, λέγουσι τὸ μὰ ἀπωμοτικὸν, καὶ ἀρκοῦνται τούτῳ.

Ib. Τὸν σὸν ἐνσάτην] ἀντὶ τοῦ ἐχθρὸν καὶ ἀντίπαλον. Ἤτοι, κατὰ πάντα ἐνσάμενόν σοι, ἢ ἰδικῶς ἐπὶ τῆς κρίσεως μόνον, οἷον τὸν ἀντίδικον· κυρίως δὲ ἐνσάτης, ὁ ἐν τῇ οἰκίᾳ ἀντισήκων τινὶ, ὡς εἰ λέγοι τὶς, τὸν Οἰδίποδα τοῦ Λαΐου ἐνσάτην γεγενημένον.

105. Ἥδιστος] καθ' ἡδονήν μοι.

Ib. Δεσμώτης] δεσμώτης λέγεται καὶ αὐτὸς ὁ δέσμιος, ὡς ὁ δεσμώτης Προμηθεύς. Καὶ ὁ δεσμῶν, ὡς Κρατῖνος ἐν πυτίνῃ, Ἐπὶ τῶν δεσμοφυλάκων. ὄψει γὰρ αὐτὴν ἐκτὸς ἐ " πολλῷ χρόνῳ παρὰ τοῖσι δεσμώτησι κατα- " πιπλημένην."

108. Πρὶν ἂν δεθεὶς] ἐστέον ὅτι πρὶν ἂν δεθεὶς πρὸς τὸν κίονα τοῦ ἑρκίου τῆς στέγης, ἀποδίδοται πρὸς τὸ, μάστιγι πρῶτον τὰ νῶτα φοινιχθεὶς θάνῃ.

Ib. Κίον' ἑρκίου] ὁ κίων ἀρσενικῶς, παρὰ δὲ τοῖς Ἴωσιν ἡ κίων θηλυκῶς. καὶ πολλὰ ἕτερα ἀρσενικῶς γραφόμενα θηλυκῶς ὅτοι προφέρουσιν.

110. Μάστιγι πρῶτον] ἐντεῦθεν ἡ ἐπιγραφὴ τῶ

ΑΘΗ. Μὴ δῆτα τὸν δύσηνον ὧδέ γ' αἰκίσῃ.
ΑΙΑ. Χαίρειν, Ἀθάνα. τἄλλ' ἐγώ σ' ἐφίεμαι·
Κεἴνος δὲ τίσει τήνδε, κἀκ ἄλλην δίκην.
ΑΘΗ. Σύ δ' ἔν, ἐπειδὴ τέρψις ὧδέ * σοι τὸ δρᾶν,
Χρῶ χειρὶ† φείδου μηδὲν ὧνπερ ἐννοεῖς.
ΑΙΑ. Χωρῶ πρὸς ἔργον· τοῦτό σοι δ' ἐφίεμαι,
Τοιάνδ' ἀεί μοι σύμμαχον παρεσάναι.
ΑΘΗ. Ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση;
Τούτου τίς ἄν σοι τἀνδρὸς ἦν προνοίστερος,
Ἢ δρᾶν ἀμείνων εὑρέθη τἀ καίρια;
ΟΔΥ. Ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτείρω δέ νιν

* Aldus, ἥδε. † Turn. ὧδέ.

τῷ δράματος, ἐ πρότερον φονεύω αὐτὸν πρὶν ἂν μαχέσῃ.

112. Χαίρειν, Ἀθάνα, τἄλλα] τὸ ἦθος τῆς ἀπαγγελίας ἀρχαῖον· ἔστι δὲ νῦν τὸ χαίρειν ἀντὶ τοῦ χαρίεντος ἐμοὶ λέγεις. Φησὶ δὲ ὡς κατὰ τἀ ἄλλα εἶκων τῇ Θεᾷ, τοῦτο δὲ ἀντιβαίνων. Ὑπεροπλικὸν δὲ τὸ ἦθος αὐτοῦ ἐντεῦθεν ἐνδείκνυται ὁ ποιητὴς, ἐπεὶ πάνυ πρόσκειται ὁ ἀκροατὴς τῷ Αἴαντι διὰ τὴν συμφορὰν, καὶ μονονυχὶ καλεπαίνει τῷ ποιητῇ, ἵνα δόξῃ ἀξιοπαθεῖν ὁ Αἴας, μὴ ὑποτείλαμένος τῷ δαίμονι.

Ib. Χαίρειν, Ἀθάνα] Ἐγώ σοι ἐφίεμαι, ὦ Ἀθάνα, χαίρειν κατὰ τἀ ἄλλα, ὅσα μὴ κελεύεις, κατὰ τοῦτο μόνον δὲ οὐκ εἰσακούσομαί σου, ὦ Ἀθάνα, κατὰ τἀ ἄλλα μὲν ὑπείκω σοι ὥστε χαίρειν, ἀντὶ τοῦ ἴνα χαίρῃς.

Ib. Χαίρειν, Ἀθάνα] ἤγουν, ἄλλα λίγε, καὶ ὑπακούσομαί σοι. Εἰκότως δὲ εἶπε τὸ χαίρειν. Ὅταν γὰρ τις εἰπών τι εἰσακουσθῇ, διὰ τὸ τὸ θέλημα αὐτοῦ πεπληρῶσθαι ἥδεται.

Ib. Ἐφίεμαι] Ἐφίεμαι τὸ ἐπιθυμῶ, καὶ ἐφίεμαι τὸ ἐνδίδομαι ποιητικῶς, ἀφ' οὗ ἐφετμὴ ἡ ἐνδολὴ, ἐφίεμαί σε, ἀντὶ τοῦ εὐνοῶ σοι, καὶ ὑπείκω σοι, σύμβολον γὰρ ἡ προσαγόρευσις τῆς εὐνοίας.

Ib. Ἐγώ σ' ἐφίεμαι] ἐφίεμαί σε εἰς τἀ ἄλλα κελεύειν μοι καὶ χαίρειν, ὡς πειθομένῳ μοι· εἰς τοῦτο δὲ μόνον οὐκ ἀκούσομαί σου.

115. Ὥσπερ ἐννοεῖς] γράφεται ἐννέπει.

Ib. Χρῶ χειρὶ] ἤγουν ἀπόλαυε τῆς χειρὸς πρὸς τὸ σὸν θέλημα, ὅσον ἔξεστι, τοῦτον κράζων.

Ib. Φείδου μηδὲν] μηδενὸς φείδου ἀπὸ πάντων ὧν ἐννοεῖς. Ἢ καὶ ἄντως, χρῶ τῇ σῇ χειρὶ, μηδαμῶς φείδου, καὶ ἀκριβολογοῦ τῶν ἔργων ὥσπερ ἐννοεῖς.

117. Παρεσάναι] παρέσεσθαι ἀκόλουθος ἐστὶ τῷ, καὶ παρέσεσθαι τίς τινι, αὐτὸ τοῦτο συμμαχεῖ, ἀφ' οὗ ὁ παρεσάτης, προέσται δὲ ὁ ἔμπροσθεν ἑστάμενος καὶ βοηθῶν τοῖς ὀπίσθεν, ἀφ' οὗ προσάτης.

118. Ὁρᾷς, Ὀδυσσεῦ] παιδευτικὸς ὁ λόγος καὶ ἀποῤῥητικὸς ἁμαρτημάτων. Καὶ διὰ τοῦτο ἐπίτηδες καὶ τῷ Ὀδυσσεῖ, καὶ τῷ Θεατῇ ὑπέδυσε τὸν Αἴαντα, δηλῶν ὡς ὁ πρότερον φρόνιμος καὶ πρακτικὸς νῦν ἐξέστη διὰ τὸ θυμαχῆσαι. Καὶ τοῦτο δὲ Ὁμήρου παίδευμα, ὅτι ἐφ' οἷς αὐχοῦσί τινες, τούτων στερεῖσθαι παρὰ θεῶν, ὡς καὶ Θάμυρις, τῆς μουσικῆς· καὶ Νιόβη, τῶν τέκνων.

119. Προνοίστερος] ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ νοῦς γίνεται εὔνους, καὶ ἀπὸ τῆς ἴν καὶ τοῦ νοῦς ἔννους ὁ φρόνιμος. Καὶ ἀπὸ τοῦ α καὶ τοῦ νοῦς ἄνους ἢ ὁ ἀνόητος, ἢ ὁ μηδ' ὅλως ἔχων νοῦν· ἀπὸ δὲ τῆς πρὸ καὶ τοῦ νοῦς πρόνους ἄχρηστον, ἀφ' οὗ προνοίστερος σφηκιλικὸν, ὁ μᾶλλον προνέμενος ἢ ὁ προνοητικώτερος.

112. Ἔμπης,

Δύσηνον ἔμπης, καίπερ ὄντα δυσμενῆ,
Ὅθ' ἕνεκ' ἄτῃ συγκατέζευχθαι κακῇ,
Οὐδὲν τὸ τότε μᾶλλον ἢ τὸ μὴ σκοπῶν.
" Ὁρῶ γὰρ ἡμᾶς ὠδὲν ὄντας ἄλλο πλὴν
" Εἴδωλ', ὅσοι περ ξῶμεν, ἢ κύφην σκιάν."
ΑΘΗ. Τοιαῦτα τοίνυν εἰσορῶν, ὑπέρκοπον
Μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεὸς ἔπος,
Μηδ' ὄγκον ἄρῃς μηδέν', εἴτινος πλέον
Ἢ χειρὶ βρίθεις, ἢ μακρᾷ πλήτῃ βάρει *.
" Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
" Ἀπαλα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
" Θεοὶ φιλοῦσι, καὶ συγῶσι τοὺς κακούς."

* Turn. βάθει.

122. Ἔμπης, καίπερ] τὸ ἔμπης καὶ τὸ καίπερ σύνδεσμοι εἰσὶν ἐναντιωμάτικοι, καὶ λαμβάνονται ἐντεῦθεν ἐκ παραλλήλου.

Ib. Ἔμπης] Ἴωνες ἔμπης φασὶν, Ἀτθικοὶ δὲ ἔμπας καὶ ἔμπα.

124. Ἢ τὸ μὴ σκοπῶν] οἷον ἀφορῶν εἰς τὰ ἀνθρώπινα τὰ πάντων κοινά.

125. Ὁρῶ γὰρ ἡμᾶς] πρὸς τὸ Πινδαρικὸν, " Τί δέ τις; τί δὲ ὕτις; σκιᾶς ὄναρ ἄνθρωποι". Ἀντὶ ἀνυπάρκτων τὸ ἀνυπαρκτότερον. Ἐνταῦθα μέντοι ὁ λόγος ἐστὶν ἐγγυτέρω τῆς ἀληθείας ἤπερ τὸ Πινδαρικὸν. Ὁ μὲν γὰρ Πίνδαρος ἐν τοῖς ἀσυχάτοις πεποίηται τὴν ὑπερβολὴν, ὁ δὲ ἐν τοῖς φαινομένοις καὶ δοκοῦσιν, οὐχ ὑπάρχουσι δὲ κατὰ ἀλήθειαν. Ὁ δὲ Ὅμηρος δὲ ἐγὼ αὐτάρκως τοῦτο δεδήλωκεν, " Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώπουο."

126. Εἴδωλ'] Εἴδωλα τὰ φαινόμενα ἐν τῷ ἀέρι φαντάσματα, ἅπερ ἅμα τῷ φανῆναι ἀφανίζονται ἀχαλᾶ ὄντα καὶ ἀβέβαια.

127. Τοιαῦτα] ὡς τὸς μεγαλαύχους οὕτω θεοὶ κολάζουσι, καὶ πρὸς αὐτὸς ὠδὲν ἐστὶ τὸ ἀνθρώπινον. ὅτι δὲ ὁ Αἴας τοιοῦτος, προϊόντες εὑρήσομεν.

Ib. Ὑπέρκοπον] ἀντὶ τοῦ ὑπέρκομπον. Φασὶ τὸν Αἴαντα τρίτον ἠσθηκέναι περὶ τὸς θεούς. Πρῶτον μὲν, ἐκβαλεῖν τοῦ ἅρμα τὴν Ἀθηνᾶν, βοηθοῦσαν αὐτῷ συμμαχοῦσαν Ἕκτορι, ἀπαλεῖψαι τὴν γλαῦκα τὴν ἐγγεγραμμένην τῷ ὅπλῳ αὐτοῦ ἐξ ἔθους πατρῴου· τρίτον, ὅτι οὐκ ἐπείσθη τῷ πατρὶ συμβουλεύοντι πιθέσθαι τοῖς θεοῖς.

129. Ὄγκον] Ὄγκος διχοῦ λέγεται, τὴν ἔπαρσιν, ἤγουν ὑπερηφανίαν, καὶ τὸ βάρος.

130. Χειρὶ] δυνάμει.

Ib. Βρίθεις] τὸ βρίθω, κοινῶς, τὸ βαρῶμαι σημαίνει, ἐντεῦθεν δὲ ὑπερέχεις.

131. Ὡς ἡμέρα] γνωμικὸν καὶ τοῦτο.

Ib. Ὡς ἡμέρα] τὸ ὡς ἀντὶ τοῦ ὅτι ἐνταῦθα καὶ ἀντὶ τοῦ καθὰ νοητέον. Καὶ τὸ μὲν ἀντὶ τοῦ καθὰ ὕτω νοητέον, ἅπαντα τὰ ἀνθρώπινα κλίνει καὶ πίπτει, καὶ ἀνάγει καὶ ἀναφέρεται, καθάπερ ἡμέρα ἀρχομένη τι καὶ πάλιν λήγουσα, τοῦ μὲν ἡλίου, ὁπότε πρὸς τὰ κάτω χωρεῖν, λήγουσαν ταύτην παρασκευάζοντος· ὁπότε δὲ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω πάλιν ἄπτεσθαι, ἀρχομένην δεικνύντος καὶ φαίνουσαν. Οὐδὲν γὰρ ἄλλο ἡμέρα ἢ παρουσία ἡλίου, ὥσπερ καὶ τἐναντίον ἡ νὺξ ἀπουσία. Εἰ δὲ ἀντὶ τοῦ ὅτι, πρὸς τὸ ἄνω συνάψεις, ὅτι ἡμέρα καὶ καιρὸς εἰς ἅπαντα τὰ ἀνθρώπινα κλίνει καὶ μεταβάλλει, καὶ ἄνάγει καὶ ἀναφθοῖ, ὅσπερ καὶ Φίλων φησὶ, τύχης γὰρ ἀναθμητότερον ὠδὲν, ἄνω κάτω τὰ ἀνθρώπεια μετατιθούσης.

132. Τὸς δὲ σώφρονας] Ἤγουν, τὸς ἀριστὰ μεταχειριζομένους τὰ σωφρονεῖν γὰρ ἐπὶ πάντων

σφ

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡΟΣ.

Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου·
Σὲ μὲν εὖ πράσσοντ' ἐπικαίρως·
Σὲ δ' ὅταν πλαγὰ Διὸς, ἢ ζαμενὴς
Λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
Μέγαν ὄκνον ἔχω, καὶ περιφόβημαι,
Πτηνῆς ὡς ὄμμα πελειάς.
Ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς,

σης ἀριστῆς λέγεται] οἱ Θησεῖ φιλᾶσι, εἰσὶν ἀκλινεῖς δηλονότι, καὶ βέβαιοι. Λέγεται δὲ τὸ σωφρονεῖν καὶ ἐναντίον ἐστὶ τῷ μαίνεσθαι· τὸ μαίνεσθαι δὲ λέγεται καὶ ἐπὶ τῶν ἀμέτρως χρημάτων ἐρώντων, καὶ ἐπὶ τῶν φιλοδόξων καὶ φιληδόνων, ὥστε τὸ σωφρονεῖν οὐ τῷ φιληδονεῖν μόνον ἐστὶν ἐναντίον, ἀλλὰ καὶ τῷ φιλοδοξεῖν, καὶ τῷ φιλοχρηματεῖν. Τὸ δὲ τούτοις ἐναντίον, ἐφ' οἷς πᾶσα κακία περιέσαλται, ἐπὶ πάσης ἀρετῆς οἰκείως ἂν λέγοιτο.

134. Τελαμώνιε παῖ] πιθανῶς αὐτῷ ὁ χορὸς ἐσκεύασαι ἀπὸ Σαλαμινίων ἀνδρῶν· τοῦτο μὲν, παῤῥησιαζομένων ὡς ἐλευθέρων· τοῦτο δὲ, συμπαθῶς ἐχόντων, ὡς πολιτῶν, καὶ αἰδημόνως λαλούντων, ὡς ὑπηκόων· ἐ γὰρ πιθανὸν ἐξ Ἀχαιῶν εἰσάγειν, καὶ διὰ τὸ μὴ συνάχθεσθαι, καὶ διὰ τὸ μὴ προσκρούειν τῷ βασιλεῖ. Τὸ δὲ τῶν αἰχμαλώτων, κηδεμονικὸν μὲν, ὡς Αἰσχύλος ἐν Θρῄσσαις· ἐ μὴν εὐπρόσωπον. Ὅρα γὰρ οἷον τὸς αἰχμαλώτως ἐπιτιμᾷν τῷ Μενελάῳ πιθανὴ δὲ καὶ ἡ εἰσοδος· ἀκούσας γὰρ ὁ Ὀδυσσεὺς παρὰ τῆς Ἀθηνᾶς, δείξω δὲ καὶ σοὶ τήνδε τὴν περιφανῆ νόσον, ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν Ὀρόῃς, καὶ μαθὼν τὸ σαφὲς, δεδήλωκε τοῖς Ἀχαιοῖς. Ταύτης δὴ τῆς φήμης ἀκούσαντες οἱ Σαλαμίνιοι παραγεγόνασι, μηδέπω ὑπὸ τῆς εὐνοίας πεπεισμένοι ὡς αὐτὸς εἴη ὁ πράξας, ἀλλ' ἀπιστοῦντες, καὶ ὑπὸ ἐχθρῶ πεπλάσθαι οἰόμενοι. Ὁ δὲ πῶς, Σῶ μὲν εὖ πράσσοντος, ἐν χαρᾷ ἐσμὲν. Καὶ τὸ ἀνάπαλιν. Τὸ δὲ ὅλον, ἐν σοὶ ἐσμέν. Τὰ δὲ πράγματα νῦν τῷ Αἴαντος

φαύλα εἶσι. καὶ ὐκ ἐνεχώρει αὐτῷ δικηγήσασθαι τὰ ἀνδραγαθήματα.

135. Σαλαμῖνος ἔχων βαθρὸν ἀγχιάλου] τὸ Θεμιστοκλέους, τὸ ἱδρυσμα. Ἀντὶ τοῦ δι' ὃν ἵζαται ἡ Σαλαμὶς. Οὐ πάντως δὲ αἱ ἀγχίαλοι, καὶ ἀμφίαλοί εἰσιν. Οἷα ἐστὶ καὶ ἡ Ἀλεξάνδρεια, ἀγχίαλος μὲν, ὐκ ἀμφίαλος δέ. Αἱ δὲ νῆσοι, καὶ ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι.

136. Σὲ μὲν εὖ πράσσοντ' ἐπιγαίρω] ἀντὶ τοῦ συγχαίρω. Τυπίσιν, σῶ μὲν εὖ πράσσοντος. ἢ ὥτως, ὡς σὲ μὲν εὖ πράσσοντα ἐπιχαίρω, ἵνα λείπῃ ἡ εἰς.

Ib. Ἐπιχαίρω] ὡς ἐπὶ τὸ πολὺ ἐπὶ κακῶ λαμβάνεται· νῦν δὲ ἐπὶ καλῶ κεῖται, τῆς ἐπὶ πρὸς τὸ σὲ συντασσομένης. Ὅπερ καὶ εἰς τὸ ἐπιβῇ πωίησις. Βούλεται δὲ εἰπεῖν, ὅτι καὶ τὴν εὐτυχίαν καὶ τὴν δυστυχίαν αὐτοῦ οἰκείαν λογίζεται.

137. Σὲ δ' ὅταν] ἐπί σε δὲ, καὶ τὰ ἑξῆς.

Ib. Ζαμένης] ἀντὶ τῆ δυσμενής.

138. Ἐπιβῇ] ἀπὸ κοινῆ το ἐπιβῇ. Εἰς σὲ δὲ ὅταν νόσος ἐπιβῇ. Κακόθρους δὲ, οἷον ἰσχναὶ καὶ τὸ ἑξῆς.

140. Πτηνῆς ὡς] τοῦτο γὰρ τὸ ζῶον πάνυ δειλόν. Εἰκότως δὲ εἶπε τὸ ὄμμα. Ὁπόταν γὰρ αἰσθομένη τινὸς φόβου καμμύῃ τὰς ὀφθαλμὰς, παλλομένη ἐστὶν αὐτῆς τὴν καρδίαν φράσαι.

Ib. Πτηνῆς ὡς ὄμμα] ἐπεὶ περιττὸς τὸ ζῶον· ὄμμα δὲ πελειάς περιφρασικῶς ἡ πέλεια.

141. Ὡς καὶ τῆς] μὴ λάβῃς εἰς τὸ νυκτὸς ἑξωθεν

Μεγάλοι θόρυβοι κατέχυσ' ἡμᾶς
Ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱππομανῆ
Λειμῶν' ἐπιβάντ', ὀλέσαι Δαναῶν
Βοτὰ, καὶ λείαν,
Ὅπερ δορίληπτος ἔτ' ἦν λοιπὴ,
Κτείνοντ' αἴθωνι σιδήρῳ.
Τοιάδε λόγυς ψιθύρυς πλάτων *
Εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεὺς,
Καὶ σφόδρα πείθει· περὶ γὰρ σὲ νῦν
Εὔπειστα λέγει· καὶ πᾶς ὁ κλύων

* Aldus, πλάσσων.

ἔξωθεν ἐπὶ, ἀλλὰ πρὸς τὸ θόρυβοι σύντασσε. Ἐπειδὴ γὰρ ταῦτα νύκτωρ γέγονεν, ἄρις ἂν ἔχοι λέγειν τῆς νυκτὸς τετυχὸς τὸς θορύβυς. Μὴ διςάσῃς δὲ, εἰ πρὸς τὸ φθεμένης, ὑπὲρ ἴσι παρωχημένυ χρόνυ, τὸ νῦν συντάσσεις. Διὰ γὰρ τὸ πάνυ ἀρτίως καὶ μὴ ἐκ πολλῆ γεγονέναι τὴν φθίσιν, τὸ νῦν τίθεσαι, τὸ σύνεγγυς τῆς φθίσεως παριςῶν.

Ib. Ὡς καὶ τῆς νῦν] ὡς καὶ τῆς παρελθούσης νυκτὸς ἐν φόβῳ γεγόναμεν ἐπὶ τῇ σῇ ἐυσκλείᾳ. Πιθανὸς δὲ ἐκ ἐλέγχει τὸν βασιλέα ὡς ἡμαρτηκότα, ἀλλὰ τὴν δυσπραγίαν προσίλαβεν ὡς ἀπὸ τῆς εἱμαρμένης. Πάνυ δὲ εὖνοι ἔντες, ἀπιςοῦσι ταῖ ὑπολαμβάνουσι αὐτὸν ὑπὸ τῶν ἐχθρῶν συκοφαντεῖσθαι. ἐν δέει δὲ καθίςηκα, ὅταν ἤ τι τοιῶτον περὶ σέ.

143. Τὸν ἱππομανῆ] τοῦτο ἢ πρὸς τὸ λειμῶνα νέει· (ἱππομανὲς γὰρ λειμὼν, ἐν ᾧ ἵπποι μαίνονται καὶ βακχεύουσιν) ἢ μὴ σύναπται πρὸς τὸν λειμῶνα, ἵν ᾖ τὸ ἱππομανῆ πρὸς τὸ σὲ, ὕτως, ἐπὶ τὸν λειμῶνα βάντα σέ. Ποταπὸν; ἱππομανῆ, ἤτοι μεγάλως καὶ σφοδρῶς μαινόμενον καὶ Συμμίμενον· ἐν' ᾖ παρεμπλόκιον τῷ βύπαις, ἀντὶ τῦ μίγας παῖς, ἢ ἱππομανῆ, τὸν ἱππικόν.

Ib. Σὲ τὸν ἱππομανῆ] τινὲς τὸν μεγαλομανῆ ἐξεδέξαντο, ὡς βόπειται· ἤτοι τὸν μεγάλως μαινόμενον. Ἀλλ' ἐκ ἐπίςευσεν ὁ χορὸς, ὅτι ἐμαίνετο ὁ Αἴας. Σὲ τὸν ἵππους μαινόμενον καὶ ἱππικήν. Ἀλλ' οἱ νησῶται ἐχ ἱππομανῆσιν, ἀδ' ἱππήλατοί εἰσιν αἱ νῆσοι. Τὸ ἱππομανῆ τοίνυν πρὸς τὸν λειμῶνα ἐκλήπλεγε. Ἄλλως· ἱππομανῆ ἢ αὐτὸν λέγει τὸν Αἴαντα, ὡς μεγάλως μαινόμενον, ἀπὸ μεταφορᾶς. (ἡ γὰρ τῶν ἵππων μανία χαλεπωτέρα ἐςίν) ἢ ἐπὶ ἵπποις μαινόμενον. Τὸ γὰρ ἵππος ἐπὶ μεγάλυ τάσσεται, ὡς ἱπποσύλινον, καὶ ἱππογνάμονα, τὸν μεγαλογνάμονα· ἢ ἐπὶ τῶ λειμῶνος, οἷον τὸ ἐυανθῆ, ἐφ' ὃν οἱ ἵπποι μαίνονται. ἢ τὸν ἄγαν μεμηνότα καὶ ἀνθῶντα καὶ ἐνυβρίζοντα τῇ χλόῃ, διὰ τὸ πλῆθος.

144. Λειμῶν] λειμὼν ὁ ὕδασι κατειρύτος τόπος· ἀπὸ τῦ λείβω, ἀφ' ὃ καὶ λιβάδιος. Λειμανιὰ δὲ, ἡ ἐν τῷ λειμῶνι χλόη.

147. Αἴθωνι σιδήρῳ] λαμπρῷ.

148. Τοιάδε λόγυς] ὁ γὰρ Ὀδυσσεὺς, ἰδὼν ἐνίκησεν εἰδὼς ὁ Ὀδυσσεὺς, πλάττεται ψευδεῖς λόγυς, ἀκύσας μᾶλλον ὡς ἴης σὺν νεοῤῥάντῳ ξίφει. Καλῶς δὲ καὶ τὸ ψιθύρυς λόγυς, ἀντὶ τῦ διαβόλυς, ὡς διὰ πανυργίαν ἀδεῶς ἢ λέγοντος· ἀλλὰ πρὸς ἓν ἕκαςον ἐξαπαλῶντα λάθρᾳ.

150. Περὶ γὰρ σῶ νῦν εὔπειςα λέγει] ὅτι ἐν ἀτυχίᾳ καθίςηκας ὀλιγανόρι τῆς ἥττης χάριν. Ἢ ἐπὶ μίγας εἶ, εἶχες τὸν φθόνον συμπράτλοντα.

Ib. Περὶ γὰρ] εἰκότως εἶπε τὸ νῦν, παριςῶσα τὴν ἐνεςῶσαν αὐτῷ ἔχθραν πρὸς τὸς Ἕλληνας, καὶ μάλιςα τὸς αὐτῶν πρώτυς, ἰδικηκότας αὐτὸν τῇ περὶ τῶν ὅπλων κρίσει· ὥςε δ' κατ'

Τῦ λέξανδρος χαίρει μᾶλλον,
Τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
" Τῶν γὰρ μεγάλων ψυχῶν ἰεὶς
" Οὐκ ἂν ἁμάρτοι· κατὰ δ' ἄν τις ἐμὲ
" Τοιαῦτα λέγων, οὐκ ἂν πείθοι·
" Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
" Καίτοι σμικροὶ, μεγάλων χωρὶς,
" Σφαλερὸν πύργυ ῥῦμα πέλονται·
" Μετὰ γὰρ μεγάλων βαιὸς ἄρις' ἂν
" Καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικρῶν."
Ἀλλ' ὁ δυνατὸν τὸς ἀνοήτυς
Τέτων γνώμας προδιδάσκειν.
Ὑπὸ τοιέτων ἀνδρῶν θορυβῇ·
Χ' ἡμεῖς ὀδὲν σθένομεν πρὸς ταῦ-

αὐτῶν ἀκούειν, εἰ καὶ ψευδῆ, ἀλλ' ὡς ἀληθῆ δεχόμενοι ἥδονται.

154. Τῶν γὰρ μεγάλων ψυχῶν] τροπικῶς, ὡς ἐπὶ τῶν τοξευόντων κατὰ μεγάλυ σώματος, οἳ οὐκ ἁμαρτάνυσι. πιστὰ δὲ τοῖς ἀκούσι τὰ κατὰ τῶν μεγάλων διὰ τὸν φθόνον. Πίνδαρος, " Ὄφον δὲ λύγοι φθονερῶσι ἄπτεσθαι δ' ἐσλῶν, " χερόνεσσι δ' οὐκ ἐρίζει".

Ib. Τῶν γὰρ] μὴ λάβῃς ἔξωθεν τὸ κατὰ εἰς τὸ μεγάλων, ὥς τίνες τῶν ἐμαθῶν, ἀλλ' οὕτω λέγε, ὁ γάρ τις ἐνλονότι ἁμάρτοι τῶν μεγάλων ψυχῶν, ἰεὶς καὶ πίμπων κατ' αὐτῶν λόγυς ἐνλονότι ἐχθίσυς. Εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τοξευόντων. Ὅταν γὰρ μέζων ὁ σκοπὸς ᾖ, ἧκισα τότε ἀποτυγχάνυσιν. Οἱ δὲ προστιθέντες τῷ ἰεὶς τὸ λόγυς, ἁμαρτάνυσι, μὴ εἰδότες τὰ μέτρα τῶν στίχων. νοεῖται δὲ τὸ λόγυς κατὰ συνεκδοχὴν ἀπὸ τῦ λέγων.

155. Κατὰ δ' ἄν τις ἐμὲ] τῦ δημοτικῶ καὶ εὐτελῦς.

157. Πρὸς γὰρ τὸν ἔχοντα] λείπει τὸ εὖ.

Ib. Ὁ φθόνος] εἰκότως τὸ ἕρπει ἐπὶ φθόνυ εἴρηκε, δίκην ὄφεως. Ἐπὶ τότε γὰρ τὸ ἕρπειν λέγεται, τὸς φθονημένυς βλάπτοντος.

158. Καίτοι σμικροὶ] πάνυ αἰτημόνως ὁ χορὸς ἐξελέγχει τὴν ἀδικίαν τῶν Ἑλλήνων· ὁ τότο ἀντικρυς ποιεῖ, ἀλλὰ φιλῶς γνωμολογῶν· βέλτιαι γὰρ ἐπιλιμᾶν ὅτι κακῶς πράττυσι κεθαιρῶντες τὸν Αἴαντα, καὶ ἑαυτοῖς ἀσυμφόρως. Φησὶ γὰρ ὅτι ἀσθενὴς φυλακὴ τοῖς μικροῖς ἄνευ τῶν μεγάλων. Τῦτο δὲ τείνει καὶ ἐπὶ τὸν Αἴαντα, ὅτι ἐνηδήσονται αὐτῦ.

159. Σφαλερὸν ῥῦμα] ἀντὶ τῦ ἀσθενὴς φυλακή.

162. Ἀνοήτυς] ἰσέον, ὅτι ἴδιόν ἐςι τῶν ἀνοήτυς τὸ φρονεῖν. Τοῖς δὲ φρονοῦσιν ἴδιον, τὸ διαθρεῖν λίαν.

162. Ἀλλ' ὁ] τῦτο διπλῶς λέγε, ἀλλ' ὁ δυναῖδν τὸς ἀνοήτυς προδιδάσκειν γνώμας τότων, ἤγυν τὴν περὶ τότων διάνοιαν. Τῦτ' ἔςιν, ὠδεῖς ἂν δύναιτο διδάσκειν τὸς ἀσυνέτυς Ἕλληνας τότυς τὸς λόγυς, ὡς δεῖ πρὸ πολλῦ στε πείθεσθαι τὸς μεγάλυς· καὶ πάλιν, ὁ δυνατὸν προδιδάσκειν τὸς κατὰ τὰς γνώμας ἀνοήτυς

τ᾽ ἀπαλέξασθαι, σὲ χωρὶς *.
Ἀλλ᾽, ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ᾽ ἀπέδραν,
Παλαγῶσιν, ἅτε πτηνῶν ἀγέλαι
Μέγαν αἰγυπιὸν ὑποδείσαντες·
Τάχ᾽ ἄν, εἰ ξαίφνης εἰ σὺ φανείης,
Σιγῇ πτήξειαν ἄφωνοι.

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ.

Ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις

* Aldus, ἄναξ.

ἀνοήτως τούτων. ἦγεν, τὴς μωρὲς τὴν διάνοιαν, καὶ μηδὲν τούτων ὧν ἔφην αἰσθανομένης.

166. Ἀπαλέξασθαι] ἄλεξω ἀλεξήσω, αὔξω αὐξήσω, ἴψω ἰψήσω, ἰνιςῶτες καὶ μέλλοντες. Οἱ γράφοντες ἀπαλλάξασθαι, ἁμαθεῖς τῶν μέτρων· χρὴ δὲ ἀπαλέξασθαι γράφειν, ἵν᾽ ἔχῃ ὀρθῶς.

167. Ἀλλ᾽ ὅτε] τὸ πᾶν οὕτως, Ἀλλὰ γὰρ ὑποδείσαντες οἱ Ἀχαιοί σε, ἦγεν φοβηθέντες, ὅτι δὴ ἀπέδραν τὸ σὸν ὄμμα, παλαγῶσιν, ἦγεν δορυβῶσι, καθὰ ἀγέλαι πτηνῶν, ἀποφυγοῦσαι μέγαν αἰγυπιόν. Ἄλλως· ἡ σύνταξις οὕτως· ἀλλ᾽ εἰ φανείης σὺ τούτοις ἐξαίφνης, τάχ᾽ ἂν πτήξειαν καὶ φοβηθεῖεν ἄφωνοι ἐν σιγῇ, τοῦτ᾽ ἔςιν, ὑπὸ τῷ φόβῳ σιγὴν καὶ ἀφωνίαν ἴσχυσιν, ὑποδείσαντες καὶ φοβηθέντες ἅτε καὶ καθὰ ἀγέλαι πτηνῶν μέγαν αἰγυπιὸν καὶ ἀετὸν, ὑποδείσασαι ὀκνοῦσι. Παταγῶσι γὰρ καὶ δορυβῶσιν, ὅτι ἀπέδραν καὶ ἀπέφυγον τὸ σὸν ὄμμα. Καὶ μὴ νομίσῃς λέγειν τὸν χορὸν τοῦτο, διότι ἐξέφυγον οἱ Ἕλληνες τὸ τοῦ Αἴαντος ξίφος, καὶ οὐκ ἀπώλοντο, μανέντος καὶ πρὸς τὰς πείρας χωρήσαντος· πῶς γὰρ ἔλεγεν ἂν ὅπερ οὐκ ἠπίσταλο, ἀλλ᾽ ὕςερον ὑπὸ Τεκμήσσης καὶ αὐτοῦ Αἴαντος ἔμαθεν ἐληθέντος εἰς αἴσθησιν; ἐνδεικνύμενος δὲ τὸ τοῦ Αἴαντος, φοβερὸν τοῦτο φησὶν οἱ δὲ τὸ γὰρ ἀργὸν λέγοντες, ἀγνοοῦσι τὴν σύνταξιν. Καὶ γὰρ ζιζῆσι μὲν πρὸς τὸ παταγῶσι. Τὸ δὲ ἅτε πτηνῶν ἀγέλαι, ἀσυνδέτως ἐκφέρουσι. Τὸ δὲ ὅτε, ἐνταῦθα ἀντὶ τοῦ ὁπότε ἐςὶν. Ἐπειδὴ καθολικῶς, ὡς ἔφαμεν, ὁ λόγος ἀπὸ τοῦ χοροῦ λέγεται· ἢ μὴ λάμβανε πρὸς τὸ πτηνῶν ἀγέλαι τὸ ὑποδείσασαι, ὡς ἔφαμεν, ἀλλ᾽ ἐκ τοῦ ἀπέδραν, ἀποδρᾶσαι κατὰ συνεκδοχὴν τόσι, ἵν᾽ ᾖ, ἀποδράσαι μέγαν αἰγυπιόν.

168. Ἅτε πτηνῶν ἀγέλαι] Σημειωτέον τῷ ἀγέλαι ἐπάγαγεν ἀρσενικὴν μετοχὴν τὴν ὑποδείσαντες, πρὸς τὸ νοητόν. Ἐν γὰρ ταῖς ἀγέλαις εἰσὶ καὶ ἄρσενες καὶ θήλειαι. Ὁ γῆς, διὰ τοῦτο κομπάζουσί σε ἀφανῶς ὄντος ὡς πτηνῶν ἀγέλαι παταγοῦντες, καὶ τοῦτο εἰς τὸν κενὸν ψόφον.

Ib. Παταγῶσιν] πάταγος δὲ ἑνὸς τ. Ὁτοτοβοῦ δὲ τὸ αὐτὸ, διὰ δύο.

Ib. Πτηνῶν ἀγέλαι] ἀντὶ τοῦ ὄρνιθες· ἵνα τὸ ὑποδείσαντες καταλλήλως ἐπάγοιτο.

169. Αἰγυπιὸν] κδος ἀετὸς ὁ αἰγυπιὸς, ὃν φασιν ἐν μισθαρίῳ εἶναι ἀετὸν καὶ γυπός. ὡς καὶ τὸ ὄνομα μαρτυρεῖ.

171. Πτήξειαν] Κανόνισον, πλήσσω, ὁ μέλλων πτήξω, ὁ ἀόριςος ἔπληξα. Ἡ μετοχὴ, ὁ πτήξας, τοῦ πτήξαντος, καὶ τὸ εὐκτικὸν κοινῶς μὲν, πτήξαιμι, αἰολικῶς δὲ πτήξειαμ, πτήξιας, πτήξει. τὸ τρίτον τοῦ ωλῃθ. πτήξειαν, ἀντὶ τοῦ φοβηθείησαν.

172. Ἦ ῥά σε] ὁ χορὸς, οὔπω πεπιςευκὼς ὅτι Αἴας τὰ πεφυλλημένα διεπράξατο, ἀλλ᾽ οἰόμενος ὑπό τινος ὀργῆς Θεῶν τοιοῦτον τὴν φήμην γεγενῆσθαι, πωιῦται πρὸς τὴν φήμην τὸν λόγον.

Ib. Ταυροπόλα] ἢ ὅτι ἐν Ταύροις τῆς Σκυθίας τιμᾶται· ἢ ἀπὸ μέρους, τῶν πομπίων ἢ περοςάτις· ἢ ὅτι ἡ αὐτὴ τῇ σελήνῃ ἐςὶ, καὶ ἐποχεῖται ταύροις. Ἢν καὶ ταυροπὰν ἀναμάζουσιν. τὸ ἐξῆς, ἦ ῥά σε ταυροπόλα ὥρμησεν ἐπὶ βοῦς ἀγελαίους. Τὰς πολλὰς γὰρ τῶν μαινομένων ἐκ σελήνης νοσεῖν ὑποτίθενται, διὰ

(Ὦ μεγάλα φάτις, ὦ
Μᾶτερ αἰσχύνας ἐμᾶς)
Ὥρμασε πανδάμως ἐπὶ βῶς ἀγελαίας, 175
Ἦπε τινὸς νίκας ἀκάρπωτον χάριν,
Ἥ ῥα κλυτῶν ἐνάρων
Ψευσθεῖσα δώροις, ἦτ' * ἐλαφηβολίαις.

* Aldus, εἶτ'.

ἢ τυκτευτῶν διεπάζειν φασμάτων. Ἄλλως. τὴν μὲν ἀναίρεσιν τῶν ποιμνίων ὁ χορὸς ποιεῖται ὑπὸ Αἴαντος γενέσθαι, οὐκ ἐξ ἰδίας δὲ προνοίας.

Ib. Ἥ ῥά σε] εἰκότως Ἄρτεμιν καὶ Ἄρην καὶ τὸν ὑπεργὸν αὐτῶν Ἐνυάλιον αἰτίας τῶν παρόντων ἡγεῖται κακῶν, ἅτε πολεμικοὺς θεούς, καὶ βεβιασθησόμενος ἴσως ὧν αὐτῷ πρὸς μάχην, καὶ μὴ πως αὐτὸν τυχόντας ὧν ἔδει. Ταῦτα δὲ ἦν θυσίαι καὶ ἀναθήματα. Οἴεται δὲ καὶ ἐν ἐλαφηβολίαις καὶ κυνηγεσίαις συμμαχῆσαι αὐτῷ τὴν Ἄρτεμιν, (τότων γὰρ ἔφορος ἡ θεὸς) καὶ διὰ τὸ μὴ ἀντιτυχεῖν χάριτος, ὀργισθῆναι αὐτῷ. Μὴ λάθῃς δὲ ἔξωθεν εἰς τὸ χάριν, διὰ, ὥς τινες φασὶν ἀπαλώμενοι, πρὸς τὴν αἰτιατικήν. Οὐ γὰρ μόνον ἐψεύσθημεν τῶδε, φαμὲν, ἀλλὰ καὶ τόδε, ὥσπερ καὶ, μέτεσί μοι τῶδε, καὶ μέτεσί μοι τόδε· ὃ μόνον δὲ ἂν φαμὲν τὸ ψεύδεσθαι, ἀλλὰ καὶ πρὸς ἐοτικὴν πλαγιάζομεν, ὡς ἔχει κἀνταῦθα· πρῶτον γὰρ εἰς αἰτιαλικὴν συνέταξε, ψευσθεῖσα χάριν ἀκάρπωτον λέγων, εἶτα πρὸς ἐοτικὴν ἐπλαγίασε, κλυτῶν ἐνάρων ψευσθεῖσα δώροις.

Ib. Ἥ ῥά σε] διὰ μέσου οἱ δύο στίχοι ἔτοι (?). τὸ δὲ ἔξῆς, ἦ ἡ Ἄρτεμις ὥρμησέ σε πανδήμους ἐπὶ βῶς. Τὸ πᾶν τοιοῦτόν ἐστι, ἦ ἡ Ἄρτεμις τῇ Διὸς ἡ Ἐυγάτηρ παρώρμησέ σε ἐπὶ τὰς πανδήμους βῶς τὰς ἀγελαίας, ἢ διὰ χάριν τινὸς νίκης ἀκιρδῆ, ἢ διὰ ὅπλων ψευσθεῖσα, ἢ ὃ Ἐνυάλιος ἐτίσατο λῴδην· ἐ γὰρ οἰκοθεν ἔχῃς ἐπὶ τὰ ἀριστερά.

173. Ὦ μεγάλα φάτις] διὰ μέσου ἡ ἀναφώνησις, ὦ θαυμαστὴ φήμη, ἥτις ἐγέννησάς μοι ταύτην τὴν αἰσχύνην. Καιρὸν γὰρ (φησὶν) ὑπῆρξε περὶ τῷ Αἴαντος.

175. Πανδάμως] ἢ πᾶς παντὸς τοῦ δήμου, ἢ πᾶς συνηγμένως.

Ib. Πανδάμως] Πάνδημος πανήγυρις, ἢ συναθροισθεῖσα ἀπὸ παντὸς δήμου· πάνδημος πόρνη ἢ ὁ βωλόμενος σύνεσιν ἀπὸ τοῦ δήμου· πανδήμως δὲ βῶς ἐνταῦθα, ὧν μετέχει πᾶς ὁ δῆμος τῶν Ἀχαιῶν.

Ib. Ἐπὶ βῶς] Ἆρα ἡ Ταυροπόλα Ἄρτεμις ἡ Ἐυγάτηρ τοῦ Διὸς ὥρμησέ σε ἐπὶ τὰς βῶς τὰς ἀγελαίας τὰς πανδήμους, ἢ διὰ χάριν τινὸς νίκης ἀκιρδῆ καὶ ἀχάριστον καὶ ἀθυσίαστον, ἢ ψευσθεῖσα ἡ Ἄρτεμις καὶ μὴ τυχοῦσα ἐν τοῖς δώροις καὶ κίρδεσι τῶν ἐνδόξων σκύλων, ἢ μὴ τυχοῦσα ἐν ταῖς ἐλαφηβολίαις, ἤγουν, ὃ μετεῖχε θυσιῶν ἐκ τῶν γινομένων ἐλαφηβολιῶν, καὶ διὰ τοῦτο ὥρμησέ σε ἐπὶ τὰς βῶς τὰς πανδήμους τὰς ἀγελαίας, ἢ ὁ χαλκοθώραξ Ἄρης, ψευσθεὶς δώρεις κλυτῶν ἐνάρων ἢ ἐλαφηβολίαις, ὥρμησέ σε ἐπὶ τὰς βῶς τὰς ἀγελαίας, ἢ ποίαν μορφὴν ἔχων κατὰ σὲ ἔνεκα κοινῆς συμμαχίας, ἀπίδωκέ σοι βλάβην ὁ Ἐνυάλιος ἐν νυκτεριναῖς μηχαναῖς.

176. Ἦπε] τὸ πε ὁ μόνον ἐηλοῖ τόπον, ἀλλὰ καὶ ἀντὶ τοῦ ἴσως τίθεται, ὥσπερ ἀλλοί τι πολλοὶ μαρτυροῦσι, καὶ Φιλόστρατος, λέγων ἐν ταῖς εἰκόσιν ὧδε; Ὀκνοῦντές πε οἱ Θηβαῖοι ἄρξαι μάχης.

Ib. Ἦπε τινὸς νίκας] ἢ διὰ χάριν τινὸς νίκης. Ἀκάρπωτον δὲ, ἧς καρπὸν οὐκ ἐδέξατο. Οἴονται ἐκ τούτων αὐτὸν ἱμμανῆ εἶναι. Ἆρα ἂν (φησὶ) χαριζομένη σοι τὸ νικᾶν, καρπὸν καὶ ἀπαρχὰς οὐκ ἐδέξατο τῆς νίκης· ἢ, ἀπὸ κυνηγεσίων δῶρα ἐ λαβοῦσα· ὡς καὶ Ὅμηρος ἀπολελησμένης τινός φησι, καὶ δίκην παρίχοντας τῆς λήθης.

178. Ψευσθεῖσα] ἐψευσάμην ἐγώ τινα. ἐψεύσθην δὲ ὑπὸ τινός.

170. Ἢ

Ἢ χαλκοθώραξ, ἤ τιν' Ἐνυάλιος
Μομφὰν ἔχων
Ξυνῷ δορὸς, ἐννυχίοις μαχαναῖς,
Ἐτίσαλο λώβαν.

ΑΝΤΙΣΤΡΟΦΗ.

Οὔπολε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ,
Παῖ Τελαμῶνος, ἔβας,
Τόσσον * ἐν ϖοίμναις † ϖῖηνῶν. 185
Ἦκοι γὰρ ἂν θεία νόσος· ἀλλ' ἀπερύκοι
Καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
Εἰ δ' ὑποβαλλόμενοι
Κλέπ]ϐσι μύθϛ οἱ μεγάλοι βασιλῆς ‡,
Ἢ τᾶς ἀσώτϛ Σισυφιδᾶν γενεᾶς, 190

* Aldus, Τόσον. † Ald. ϖοίμναισι. ‡ Ald. βασιλεῖς.

179. Ἢ χαλκοθώραξ, ἤ τιν' Ἐνυάλιος] διαφέλλει τὸν Ἄρια ἀπὸ τῆ Ἐνυαλίν, ὡς ἕτερον δαίμονα ὑπηργὸν τᾶ μείζονος Διῆ. Καὶ ἔπλον ἐκ τῶν συνδέσμων, δηλῶται γὰρ ὁ ἄρης ἐκ τῆ χαλκοθώραξ. Ἢ καὶ ὁ Ἄρης μεμφόμενός σοι ὡς ἀπαρχὰς δορὸς ἐ λαβῶν, ἐτίσατό σε τᾶς λώβης τᾶς εἰς αὐτὸν γενομένης λήθης. Ἐτίσατο δὲ ἐννυχίοις μηχαναῖς ἐπὶ σῶ τεύτης τᾶς νυκτὸς. Πιθανῶς δὲ πλείονας αἰτίας τιθίασιν ἀπεφῆνλες. οἱ γὰρ ϛοχαζόμενοι ἐ καθ' ἓν ἔγανλαι.

180. Μομφὰν] ἦγεν μεμφόμενός σοι, διὰ τὸ ἴσως ἐν ϖολέμῳ συμμαχῆσαι, καὶ μὴ τυχεῖν θυσίας εἰς ἀμοιβήν. Τὸ δὲ ἐννυχίοις εἶπε, διὰ τὸ ἐν νυκτὶ γενίσθαι τὴν μανίαν αὐτῷ.

187. Ζεὺς] καλεῖ γὰρ ἐνταῦθα ὁ χορὸς τὸν Δία, ἵνα ἐϖανορθώσῃ τὸν νῶν αὐτᾷ τῷ Αἴαντος. Ἀλληγορεῖται γὰρ ὁ Ζεὺς εἰς ϖολλά τινα, καὶ ϖρὸς τύτοις, εἰς τὸν νῶν ψυχικῶς.

Ib. Φοῖβος] καλεῖ δὲ καὶ τὸν Φοῖβον Ἀπόλλωνα, ἵνα τὸ λογιςικὸν τῆ νῶ Αἴαντος τὸ σκοτισθὲν ὑπὸ τῆς μανίας φωτίσῃ. Ἀλληγορεῖται γὰρ ὁ Ἀπόλλων, εἰς τὸν ἥλιον.

188. Ὑποβαλλόμενοι] ϖεισθόμενοι, ἢ ὑποβλήτως λέγοντες· ἢ ἰδιαποιησάμενοι. Εἰ δὲ ὐκ ἔ]ιν ἀληθῆ ταῦτα ἀλλὰ ϖεπλασμένα ὑπὸ τῆ βασιλέως, ἢ Ὀδυσσέως.

189. Βασιλῆς] τῦτο Ἀτλικῆς ἐςὶ διαλέκλε, τὸ τρέπειν τὴν ει διφθογγον εἰς η. Οἱ βασιλῆς γὰρ λέγυσι καὶ οἱ ἱππῆς. Καὶ τὸ ϗδὴ ϖαρ' Ὁμήρῳ ἀντὶ τῦ ἤπίςατο, τῆς αὐτῆς ἐν διαλέκτε, σαφίςερον τῦτο δείκνυσιν.

190. Τᾶς ἀσώτϛ] τῆς ἐξώλως καὶ σώζισθαι μὴ δυναμένης.

Ib. Ἢ τᾶς] τινὲς εἰς τὸ τᾶς ἀσώτϛ Σισυφιδᾶν γενεᾶς, τὸ ὁ ἄρθρον λαμβάνυσιν ἐξωθεν, λέγυλες, οἱ μεγάλοι βασιλεῖς, καὶ ὁ ὑπάρχων τῆς ἀσώτϛ Σισυφιδᾶν γενεᾶς Ὀδυσσεύς, ἕως ἀχθέντας αὐτὸς ἐάσας, ἔτω λέγει. Ἐὰν δὲ ὑποβαλλόμενοι μύθϛ οἱ μεγάλοι βασιλεῖς κλέπλυσι καὶ ἀπαλῶσι τὸς ἀσώντας, καὶ ὑπάρχυσιν οἱ μῦθοι τῆς ἀσώτϛ γενεᾶς τῶν Σισυφιδῶν, ἦγεν τῷ ϖανέργῳ Ὀδυσσεῖ ἐκ Σισύφε τὸ γένος καταγόντος, καὶ τὰ ἑξῆς. Κυρίως δὲ ἄσωλος, ὁ τὸν ϖατρῷον κακῶς δαπανήσας κλῆρον. Λέγεται δὲ Ἀντίκλειαν τὴν Ὀδυσσέως μητέρα ἀπὸ Ἀρκαδίας εἰς Ἰθάκην ἐρχομένην ϖρὸς γάμον Λαέρτη, ὑπὸ Σισύφε κατὰ τὴν ὁδὸν ἐντυχόντος ἐφθάρθαι.

Ib. Σισυφι-

Μὴ μή μ' ἄναξ,
Ἐθ' ὧδ' ἐφάλοις κλισίαις ὄμμ' ἔχων,
Κακὰν φάτιν ἄρῃς *.

ΕΠΩΔΟΣ.

Ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπᾳ μακραίωνι
Στηρίζῃ ποτὲ ταῦδ' ἀγωνίῳ σχολᾷ,
Ἄταν ὐρανίαν φλέγων.

* ALDUS, ἄρῃ.

Ib. Σισυφιδᾶν] γράφεται Σισυφίδα. Λέγεται γὰρ ἡ Ἀντίκλεια ἀποσελλομένη ἀπὸ Ἀρκαδίας ἐπὶ Ἰθάκην πρὸς Λαέρτην ἐπὶ γάμον, κατὰ τὴν ὁδὸν Σισύφῳ συνελθεῖν, ἐξ ἧς ἦν φύσει ὁ Ὀδυσσεύς. Ὁ δὲ Σισύφος, Κορίνθου βασιλεύς, πανοῦργος ἀνήρ· περὶ ἧς φησιν Ὅμηρος· "Ὃς κίρδιστος γένετ' ἀνδρῶν." Ὅστις ὑπὸ τὰς ὄνυχας καὶ τὰς ὁπλὰς τῶν ζώων ἑαυτῷ μονογράμματον ἔγραψε τὸ ὄνομα αὐτοῦ. Αὐτόλυκος δὲ κατ' ἐκεῖνο καιρὸν ἐκέκτητο κλεπτοσύνην θ' ὅρκῳ τε. Καὶ αὐτὸς τὰ κλαπτόμενα παρ' αὐτοῦ τὴν μορφὴν ἤλλασσε. Κλέψας δὲ καὶ Σισύφου θρέμματα, καὶ μεταβαλὼν ὁμοίως ἐκ ἔλαθε τὸν Σίσυφον. Ἐπέγνω γὰρ αὐτὰ διὰ τῶν μονογραμμάτων. Ἐπὶ τούτοις δὲ ἐξευμενιζόμενος τὸν Σισυφον, ἐξένισεν αὐτὸν, καὶ τὴν θυγατέρα αὐτῷ Ἀντίκλειαν συγκατέκλινεν αὐτῷ, καὶ ἔγκυον ἐξ αὐτοῦ γενομένην τὴν παῖδα συνώκισε Λαέρτῃ. Διὸ Σισύφου ὁ Ὀδυσσεύς.

191. Μὴ μή μ' ἄναξ] τὸ πλῆρες, μὴ μή μοι. Ὁ δὲ νοῦς, εἰ δὲ πλάσσουσι ταῦτα καὶ ἐκ ἀληθείᾳ συνέδρασας, μηκέτι κρυπτόμενος ἐν σαῖς ἐφάλοις κλισίαις κακὴν φάτιν ἄρῃ καὶ περιποιήσῃ, ἤτοι ἐπάρῃς, αὐξήσῃς ἀπὸ σῶ, ἀλλὰ πρόελθὼν δεῖξον ψευδῆ τὰ λογοποιούμενα. Τὸν δὲ Ὀδυσσέα Σισύφου συγγενῆ φησὶ Σοφοκλῆς καὶ ἐν Συνδείπνῳ,

" Ὦ πάντα πράσσων, ὡς ὁ Σίσυφος πολύς
" Ἐνηλὸς ἐν σοὶ πατὴρ πατήρ".

Καὶ Αἰσχύλος ἐν Ὁπλων Κρίσει,

" Ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος,
" Τῆς σῆς λέγω τοι μητρὸς, ἣ σ' ἐγείναλο".

Καὶ Εὐριπίδης ἐν Κύκλωπι

" Χαῖρ', ὦ ξέν'. ὅστις δ' εἶ φράσον, πάτραν τε σήν.
" Ἰθακὸς Ὀδυσσεὺς, γῆς Κεφαλλήνων ἄναξ.
" Οἷδ' ἀνδρα κρόταλον, δριμὺ Σισύφου γένος."

Φαίνεται δὲ τὸ κακόηθες αὐτῷ καὶ διὰ τῆς γενέσεως.

194. Ἀλλ' ἄνα ἐξ ἑδράνων] ἀνάσα ἐκ τῶν θρόνων, ὅπου πολὺν χρόνον σεαυτὸν ἐνεκρίκεις, τὴν ἐκ τοῦ ὐρανοῦ πεμφθεῖσαν ἄτην αὔξων, καὶ οἷον, ἐμπυρίμενος ὑπὸ τῆ πάθους, καὶ ἐν ἀγωνίᾳ πολλῇ ὤν.

Ib. Ἄνα] ἀπὸ τῆς ἄνα προθέσεως, νοεῖται τὸ ἀνάσα ῥῆμα κατὰ ἀποκοπήν. Ἀνιςάω, ἀνιςῶ. Καὶ ἡ μέσχη, ὁ ἀνιςάων, ὁ ἀνιςῶν, τοῦ ἀνιςάοντος, τοῦ ἀνιςῶντος. Καὶ ὁ παραπατικὸς, ἀνίσαον ἀνίσων· ἀνίσαις, ἀνίσας· ἀνίσαι, ἀνίσα· καὶ τὸ προσλακλικὸν, ὠνάσαι, ἀνάσα. Καὶ κατὰ ἀποκοπὴν, ἄγα. Ἀναβίβασμ. τοῦ τόνου.

Ib. Ὅπᾳ μακραίωνι σχολῇ] ὅπου σχολῇ μακραίωνι σχολῇ. Ὁ ἴσι πολυχρονίῳ, βραδὺν τὸν ἀγῶνα ἐμποιοῦσι σοι. Μακραίων δὲ αὐτοῖς δοκεῖ διὰ τὴν εὐνοιαν.

195. Ἀγωνίῳ σχολᾷ] ἤγουν ἐναγωνίῳ. Ἐνταῦθα γὰρ διατρίβοντες τοῖς Τρωσὶ πολεμοῦμεν· ἢ ἀγωνίῳ τῇ ἀγωνίαν καὶ φόβον ἐμποιούσῃ σχολῇ καὶ διατριβῇ. Διὰ τὸ εἰς μῆκος τοσοῦτον τετάσθαι τὸν πόλεμον, καὶ ὑποψίαν εἶναι τοῖς Ἕλλησιν ἐκ τούτου, ὡς ἀ πολιορκήσομεν οἰκαδε.

196. Ἄταν ὐρανίαν] τὴν ἐκ τοῦ ὐρανοῦ πεμφθεῖσαν. Ἤγουν μετέωρον καὶ μεγάλην. Φλέγων δὲ, ζωπυροῦν. ἀνεγείρων.

197. Ἐχθροῖς

Ἐχθρῶν δ' ὕβρις ὧδ' ἀτάρβητα
Ὁρμᾶται ἐν εὐανέμοις βάσσαις,
Πάντων καγχαζόντων γλώσσαις
Βαρυάλγητ'· ἐμοὶ δ' ἄχος ἔσακε.

ΤΕΚΜΗΣΣΑ, ΑΙΑΣ, ΧΟΡΟΣ.
ΑΝΑΠΑΙΣΤΟΙ.

ΤΕΚ. Ναὸς ἀρωγοὶ τῆς Αἴαν[τ]ος,
Γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν,
Ἔχομεν σοναγὰς οἱ κηδόμενοι
Τᾶ Τελαμῶνος τηλόθεν οἴκω.
Νῦν γὰρ ὁ δεινὸς, ὁ μέγας, ὠμοκρα[τ]ὴς
Αἴας, θολερῷ
Κεῖται χειμῶνι νοσήσας.

197. Ἐχθρῶν δ' ὕβρις] ἡ δὲ τῶν ἐχθρῶν ὕβρις τῶν ταῦτα ἐπὶ σοὶ λεγόντων, ὅτω μᾶλλον ἀφοβὸς ἐσι καὶ ἀδεῶς εἰς τὸ βλασφημεῖν σε, διὰ τὸ μὴ φαίνεσθαί σε τοῖς Ἀχαιοῖς.

1b. Ἀτάρβητα] ἀντὶ τοῦ ἀταρβήτως, ἀνειμένως.

198. Ἐν εὐανέμοις βάσσαις] τυλίσειν ἐν ἐκείνοις τοῖς τόποις ὅπου τὰ ὑπὸ σᾶ ἀνηρημένα ποίμνια ὀφῶλες ἐπεγγελῶσιν. Ἢ ἐν εὐανέμοις βάσσαις, οἷον ἐν εὐδίῳ καιρὸν ἔχοντες διαβάλλωσι.

199. Καγχαζόντων] γελώντων.

200. Βαρυάλγητ'] βαρία καὶ ἀλγεινά.

201. Ναὸς ἀρωγοὶ] ἕξεισι Τέκμησσα, καὶ διδάσκει τὸν χορὸν, ὅτι Αἴας ἐσὶν ὁ σφάξας τὰ ποίμνια. Πυνθάνεται δὲ παρὰ τῶ χορῶ, ὅτι Ἑλληνικὰ ἦν τὰ σφαγέντα. Ἑκατέρος τὸ ἀγνοούμενον μανθάνει. Ἡ δὲ Τέκμησσα, αἰχμάλωτος γυνὴ τῶ Αἴαντος. Πιθανῶς δὲ ἔξεισιν. Οὐ γὰρ ἐπὶ πολὺ δεῖ ἀπολοφύρεσθαι τὸν χορὸν, ἀλλὰ προκόπλειν τὰ τῆς ὑποθέσεως. Ἡ δὲ διάθεσις εὖ ἔχει τῷ ποιητῇ. Ἐπεὶ γὰρ ἄπεσι Τεῦκρος, καὶ ὁ Εὐρυσάκης ἔτι νήπιος, Τέκμησσα κατολοφύρεται. Οὐ γὰρ ἕτερον πρόσωπον γνήσιον τῷ Αἴαντι. Αἱ δὲ τοιαῦται γυναῖκες ὑπολίθινται εὐνοιαν πρὸς τοὺς δισπότας, ὡς Βρισηὶς πρὸς Ἀχιλλέα.

202. Γενεᾶς χθονίων] διὰ τὸ τὴν Σαλαμῖνα συνῆφθαι τῇ Ἀττικῇ, καὶ περισπάδασον τοῖς Αθηναίοις αὐτὴν κτήσασθαι. Πρὸς εὔνοιαν ἂν τῶν ἀκροωμένων τοῦτο φησίν. Ἡ ἐπὶ ἰξ Αἰγίνης ἐλθὼν ὁ Τελαμὼν ἐβασίλευσε Σαλαμῖνος. Ἡ δὲ Αἴγινα, τῆς Ἀττικῆς.

204. Τηλόθεν οἴκω] μακρὰν γὰρ Φρυγία Σαλαμῖνος. Ἢ, οἱ πρὸ πολλοῦ κηδόμενοι, καὶ οὐχὶ νῦν μόνον. Ἢ, οἱ τηλόθεν ὄντες, ὅ ἐσι ξένοι κατὰ γένος, καὶ ὅμως τῷ Τελαμῶνος οἴκῳ φειδόμενοι, εἰ καὶ μὴ προσήκομεν.

1b. Τᾶ Τελαμῶνος τηλόθεν] ἢ πρὸς μόνον τὸν χορὸν νοητέον, διὰ μέσου τὸ ἔχομεν σοναγὰς λαμβάνοντας (ὅτος γὰρ πατρόθεν τῷ Αἴαντι ὑποχείριος ἦν, καὶ διὰ τοῦτο μᾶλιστα πάντων τότε ἱκήτευτο) ἢ συμπαραλαμβάνει καὶ τὴν Τέκμησσαν, ὡς αὐτὴν μετὰ τῆ χορῶ κηδομένην τῷ Αἴαντος, ἅτε γαμετὴν οὖσαν αὐτῷ. Οἱ δὲ λέγοντες τὸ τηλόθεν ἀντὶ τοῦ ἀπὸ Τροίας, φροντίζοντες Σαλαμῖνος, τἀληθὲς ἁγιοῦσιν. Οὐδεὶς γὰρ λόγος ἐνταῦθα τῆς Σαλαμῖνος. Ἠπάτηνται δὲ ἀπὸ τοῦ λέγειν, τῷ Τελαμῶνος οἴκω. Τὸ δὲ ἔσι τοιοῦτον. Οἱ φροντίζοντες τῶν Αἴαντος πραγμάτων τοῦ Τελαμῶνος, τηλόθεν ἔκπαλαι.

205. Ὠμοκρατὴς Αἴας] ὁ δυσπέπαντον καὶ αἰτιώνυμον ἔχων πάθος. Ἢ, ὁ ὠμὸς καὶ καρτερὸς. ἢ, ὁ ὑπὸ ὠμότητος κακοπαθήμενος. ἢ, ὁ γενναῖος, ὁ καὶ τῶν ὠμῶν κρατεῖν δυνάμενος.

208. Τί

ΧΟΡ. Τί δ' ἐνήλλακ[ται τῆς ἀμερίας
Νὺξ ἥδε βάρος,
Παῖ τῦ Φρυγίᾳ Τελεύτανλος,
Λέγ', ἐπεί σε λέχος δοριάλωλον
Στέρξας ἀνέχει θήριος Αἴας,
Ὥς ἐκ ἂν ἄϊδρις ὑπείποις.

ΤΕΚ. Πῶς δῆτα λέγω λόγον ἄῤῥη[ον;
Θανάτῳ γὰρ ἴσον βάρος * ἐκπεύσῃ.
Μανίᾳ γὰρ ἁλὸς ἡμῖν ὁ κλεινὸς
Νύκ[τερος Αἴας ἀπελωβήθη.

* Ald. Turn. in marg. πάθος.

208. Τί δ' ἐνήλλακται] τί αὐτῦ περὶ τὴν ἡμερινὴν ὄχλησιν γέγονε βάρος; οἷον, ἐν τίνι γέγονεν ὁ Αἴας βάρει, ὥστε ἀλλοῖος γενέσθαι πρόσθεν ἢ κατὰ τὴν ἡμέραν; τί αὐτῷ βάρος ἐνήλλακται αὕτη ἡ νύξ.

Ib. Τί δ' ἐνήλλακ[ται] μὴ εἴπῃς τὸ ἐνήλλακται ἀντὶ τῦ ἐναλλαγμένως ἠγεγκεν, ὡς τινες οἴονται, συντάσσειν ἐθέλοντες πρὸς τὸ βάρος· ἀλλ' ἀντὶ τῦ ἐναλλάγη. ὥσπερ φαμὲν, ἠλλοιώθην ἀλλοίωσιν, καὶ μετεβλήθην μεταβολὴν, ὕτω κἀνταῦθα εἰκὸν εἰπεῖν, τίνα ἐναλλαγὴν ἥδε ἡ νὺξ ἐνήλλακται τῆς ἀμερίας καὶ τῆς ἡμερινῆς καταςάσεως. Ὁ δὲ ἀντὶ τῦ εἰπεῖν ἐναλλαγὴν, βάρος εἶπε, δεικνὺς τὸ τῆς ἐναλλαγῆς δυσχερές. Ὥσπερ γὰρ βαρὺ φορτίον ἢ ἐυάμεθα φέρειν, ὕτω καὶ τὴν ἀπροσδόκητον μεταβολήν. Εἰ μὲν ἂν συνάψεις πρὸς τὸ ἀμερίας τὸ ἐνήλλακται, τὸ ἀμερίας ἀντὶ τῦ περὶ αὐτῆς ἡμερινῆς καταςάσεως νοήσεις. Εἰ δὲ τὸ βάρος πρὸς τὸ ἀμερίας ἐρεῖς, τὸ ἀμερίας ἀντὶ τῦ τῆς νῦν ἡμερινῆς καταςάσεως νοήσεις. Τῦτο δὲ εἰποις ἂν διὰ τὸ ἅμα πρωὶ τὴν περὶ τὸ Αἴαντος κακὸν φήμην τάττες ἀκῆσαι, κἀντεῦθεν βάρος λύπης δεδέχθαι. Ὥστε ἡ κατὰ τὴν νύκτα συμβᾶσα ἐναλλαγὴ, τῆς μετ' ἐκείνην ἡμέρας ἦν.

Ib. Τῆς ἀμερίας] γράφεται τῆς ἀημερίας, ἀντὶ τῦ, τῆς ἀηδῦς φορᾶς· καὶ ἔςιν ὁ νῶς, οἷον βάρος ἔλαβεν αὕτη ἡ νὺξ ἀπὸ τῆς πρωτέρας ἀηδίας.

211. Ἐπεί σε λέχος] ἐπεί σε ἔχει ὁ Αἴας, δοριάλωτον ςέρξας τὸ λέχος σῦ· ἢ ἄλλως· ἐπεί σε ἀνέχει ὁ Αἴας, τὸ δοριάλωτόν σε ςέρξας λέχος.

Ib. Δοριάλωτον] Δοριάλωτος, ὁ δορὶ ἁλωτός.

212. Ἀνέχει] ἀντὶ τῦ ἔχει. Παρέλκει γὰρ ἡ ἀνά. Ἄμεινον ςέρξασαν γράφειν. Ἢ, ἀνέχει, ἀντὶ τῦ ὠνυσῦ, τιμᾷ.

Ib. Θήριος] ὁ ἁρμητικός. Θήριον δὲ ἑδέτερος, πόλις, ἡ καὶ Σύβαρις.

213. Ἄϊδρις] τὸ ὑπείποις ἀντὶ τῦ προείποις. Εἰς ταύτην γὰρ τὴν σημασίαν τῷ ὑπείποις χρῶνται ἅπαντες. Ἡ γὰρ ὑπὸ ἀντὶ τῦ πρὸ, ὡς ἔχει καὶ τὸ ὑποτίμησις.

Ib. Οὐκ ἂν ἄϊδρις] ἦγον, ὥστε ἐκ ἂν λαλήσεις ὡς ἀπαθὴς καὶ ἄγνως.

214. Λόγον ἄῤῥητον] κακόφημον, μηδὲ λέγεσθαι ὀφείλοντα.

216. Ἡμῖν ὁ κλεινὸς] τὸ ἡμῖν ἐ πανελῶς ἀργὸν, ἀλλ' ἔχει καί τινα χρείαν, εἴπερ συνάψεις εἰς τὸ ὁ Αἴας ἡμῖν. Φίλτρον γὰρ ἐμφαίνει καὶ σχέσιν τὸ ἐμοὶ καὶ ἡμῖν, ἔνθα ἂν εὕρητε ὕτως κείμενον. Ὁ δὴ καὶ εὑρήσεις ἔν τε ποιηταῖς καὶ λογοποιοῖς πολλαχῦ, ἀκριβῶς σκοπῶν. Τὸ δὲ νύκτερος, ἢ πρὸς τὸ ἀπελωβήθη σύνταςσε, ἢ πρὸς τὸ ἁλός.

Ib. Μανίᾳ γὰρ] τὸ κεφάλαιον τῦ κακῶ πρῶτον ἐκτίθεται, ὅτι ἐφύβρισε καὶ ἐργάσατο μανίᾳ περιπεσών.

217. Ἀπελωβήθη] ἀντὶ τῦ ἐφύβρισε καὶ ἐργάσατο. Ἢ ὕτως, ἐνυβρίσθη καὶ λωβητὸς γέγονε.

220. Κάν-

Τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
Χειροδαΐκλα σφάγι' αἱμοβαφῆ,
Κείνῳ χρησήρια τανδρός.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Οἵαν ἐδήλωσας ἀνδρὸς
Αἴθωνος ἀγγελίαν
Ἄτλαστον, ὦδε φευκτὴν *,
Τῶν μεγάλων Δαναῶν
Ὑποκληζομέναν †,
Τὰν ὁ μέγας μῦθος ἀέξει.
Ὤμοι, φοβοῦμαι τὸ προσέρπον.
Περίφαντος ἀνὴρ
Θανεῖται παραπλήκτῳ
Χερὶ, συγκαπλὰς
Κελαινοῖς ξίφεσιν ‡ βοτάς;

* Ald. φευκτάν. † Ald. ὑποκληζομέναν. ‡ Ald. ξίφεσι.

220. Κείνῳ χρησήρια] ἃ διεχρήσατο ἐκεῖνος, τὰ τολμήματα καὶ πράξεις. Ἢ τὰ διεφθαρμένα ποίμνια, παρὰ τὸ διαχρήσασθαι αὐτά. Δηλοῖ δὲ ἡ λέξις καὶ τὸ μαντεῖον, καὶ τὸν χρησμὸν, καὶ τὸ ἱερεῖον.

221. Οἵαν ἐδήλωσας] ὃ τὸ οἵαν δηλοῖ πακὴν, ἀλλ' ὁ λόγος ἐμφαίνει τοῦτο.

222. Αἴθωνος] διαπύρου, θερμῆ ἐν ταῖς μάχαις. Ἢ τὸ θάρσος νῦν ἐπὶ τῷ παρακεκινηκότος κεῖσθω.

1b. Ἀγγελίαν] ἀγγελία τινὸς λέγεται, ἢν ἄν ἀγγείλῃ τις ὑπ' ἐκείνου πεμφθείς, καὶ ἣν εἴπῃ τις περὶ ἐκείνου ἐχ ὑπ' αὐτοῦ ἀποσταλείς. Μεγάλην ἀγγελίαν ἐκεῖνον τῷ ἀνδρὸς τοῦ Αἴαντος ἐδήλωσας ἡμῖν. Λέγω ἀγγελίαν ἄτλητον δεῖ φευκτήν. Ἦν ὁ μέγας μῦθος τῶν μεγάλων Δαναῶν αὐξάνει φημιζομένην.

223. Ἄτλαστον] ἤγουν ὑ φόρητον, ἀλλ' ἀνυποιόητον τοῖς ἀκούσι, καὶ μάλιστα τοῖς φίλοις. Ἦν ὑ δύνανται τις φυγεῖν, καὶ μὴ καταχλασθῆναι τῷ ἀκούσματι.

225. Ὑποκληζομέναν] φημιζομένην ὑπὸ τῶν Ἑλλήνων, ὑ Θέθεν.

226. Τὰν ὁ μέγας μῦθος] ἣν ἀγγελίαν πᾶς λόγος αὐξεῖ. Πρὶν μὲν γὰρ μόνοι οἱ Ἕλληνες ἔλεγον ταῦτα περὶ Αἴαντος, ἡμεῖς δὲ ἠπιστοῦμεν. Νῦν δὲ καὶ ἡμεῖς ἐγνωμεν.

227. Ὤμοι, φοβοῦμαι] τὸ ἐκ τούτου φησὶν ἀποβησόμενον. Εἰκὸς γὰρ τὸν τῶ ἐξεπικότα μηδὲ ἑαυτῷ ἀνασχίσθαι. Οὐ γὰρ (φησὶ) φοβοῦμαι μὴ τιμωρηθῇ ὑπὸ τῶν βασιλέων.

1b. Ὤμοι, φοβοῦμαι τὸ προσέρπον] οἴμοι, φοβοῦμαι τὸ ἐρόμενον· ὅτι ὁ περιφανὴς ἀνὴρ ὁ Αἴας, κατακτὰς καὶ φονεύσας σὺν κελαινοῖς ξίφεσι τὰ βοτὰ καὶ τοὺς βοτῆρας καὶ τοὺς ἱπποπομπούς, θανεῖται καὶ αὐτὸς δηλονότι ὕστερον παραπλήκτῳ χειρὶ, ἤγουν διὰ τῆς αὐτοῦ ἰδίας χειρὸς τῆς μανικῆς.

228. Περίφαντος] φανερός. ἴσιν ὅτι ταῦτα ἑαυτὸν διαθήσει.

229. Παραπλήκτῳ] τῇ μανικῇ. Παραπλὴξ γὰρ ὁ μανικός.

Καὶ βοτῆρας ἱπποπόμπους.

ΑΝΑΠΑΙΣΤΟΥ.

ΤΕΚ. Ὦμοι· ἐκεῖθεν * ἐκεῖθεν ἆρ' ἡμῖν
Δεσμῶτιν ἄγων ἦλυθε ποίμναν·
Ὧν τὰ † μὲν εἴσω ‡ σφάζ' ἐπὶ γαίας,
Τὰ δὲ, πλευροκοπῶν, δίχ' ἀνερρήγνυ.
Δύο δ' ἀργίποδας κριοὺς ἀνελών,
Τῷ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
Ῥιπ]εῖ θερίσας· τὸν δ' ὀρθὸν ἄνω
Κίονι δήσας,

* Ald. κεῖθεν. † Ald. τὴν. ‡ Ald. ἴσω.

232. Βοτῆρας ἱπποπόμπους] τὰς μεγάλως φυλάττουσας τὰς ποιμένας· ἔστι γὰρ ἐνόμιζον καὶ ποιμένας αὐτῶν ἀνηγορεύοντο.

Ib. Βοτῆρας] τὰς τὴν ποίμνην φυλάσσοντας λέγει κύνας, ὡς καὶ προϊὼν ἐρεῖ. Τὸ δὲ βοτῆρας καὶ ἱπποπόμπους ἐκ παραλλήλου. Καταχρηστικῶς δὲ τὸ ἱπποπόμπους εἶπεν. Ἱπποπόμπος γὰρ, ὁ τῶν ἵππων νομεύς. Ἡ ἱπποπόμπης τὰς μεγάλης νομεῖς καὶ φύλακας τῶν ποιμνίων. Ἵππος γὰρ τὸ μίγα παρ' Ἀττικοῖς, ὥσπερ καὶ τὸ βῶς. Καὶ τῷ μὲν ἑνὸς παράδειγμα τὸ βώπαις· τῷ δὲ ἑτέρῳ, τὸ ἱππόβοινος καὶ ἱππόβοκολος.

233. Ὦμοι· ἐκεῖθεν] ὡς οἰκτρῶσα τὰ ἔξω ἡ Τέκμησσα ἠγνόει· δεῖ δὲ τὸν χορὸν τὰ μὲν ἔνδον ἀπ' αὐτῆς γνῶναι, τὴν δὲ, ἀπὸ τῶ χορῶ τὰ ἔξω.

234. Ἄγων ἦλυθε ποίμναν] ὅρα ἵνα μὴ διαμάρτῃς, εἰ πρὸς τὸ ποίμνην ἐνικὸν ὄν, τὸ μὲν καὶ τὰ δὲ ἀποδίδωσιν. ὥσπερ γὰρ λέγομεν αἰτίαν ἐπάγει ὁ δεῖνα τῷ δεῖνι, τὰ μὲν ὡς προδότῃ, τὰ δὲ ὡς συκοφάντῃ, κατὰ τὸν αὐτὸν τρόπον γίνεται καὶ ἐνταῦθα. Καὶ ἕτερα μύρια τοιαῦτα εὑρήσεις παναταχῆ. Μαρτυρεῖ δὲ καὶ τὶς τῶν λογοποιῶν λέγων ὕτω, Καὶ ζημίας, τὴν μὲν, ἀπὸ τῶ ἀργεῖν τὴν χεῖρα, τὴν δέ, ὡς ἀπὸ τῆς τῶ ὀφθαλμῶ καχεξίας. ἄλλως τε καὶ ποίμνην εἶπεν, ὅ ἐστιν εἶδος περιστερικόν. Καὶ πάλιν ἐν τῇ διαιρέσει, τὸ ὧν προϊταξει. Δεικνὺς ὅτι ἡ ποίμνη, πλῆθος δηλοῖ ὥσπερ γένος τῶν ὕστερον. Λέγει δὲ καὶ ὁ Λιβάνιος πω, κατὰ τὸ σχῆμα τοῦτο, Εἰ φίλῳ, τῷ μὲν χαριοῦμαι, τὸν δὲ προσλήψομαι.

235. Ὧν τὰ μὲν] εἰ πρὸς τὸ ποίμνην ἐνικὸν ὄν, τὰ μὲν καὶ τὰ δὲ ἀποδίδωσι, δίον ποιμνῶν εἰπεῖν· ὥσπερ γάρ φαμεν, αἰτίαν ἐπάγει ὁ δεῖνα τῷ δεῖνι, τὴν μὲν ὡς προδότῃ, τὴν δὲ ὡς συκοφαντῶντι (καὶ ἕτερα μυρία ἔχεις εὑρεῖν τοιαῦτα παναταχῆ, ζητῶν) ὕτω καὶ ἐνταῦθα. Μαρτυρεῖ δὲ καί τις τῶν λογοποιῶν ὕτω λέγων, Καὶ ζημίας, τῆς μὲν ἀπὸ τῆ τὴν χεῖρα ἀργεῖν, τῆς δὲ ἀπὸ τῆς τῶ ὀφθαλμῶ καχιξίας. Ἄλλως τε εἰ καὶ ποίμνην εἶπεν, ἀλλ' ἐν τῇ διαιρέσει τὸ ὧν προσίταξι, δεικνὺς τὸ ποίμνην πλῆθος δηλῶν καὶ ὥσπερ γένος ὂν τῶν ὕστερον. Φησὶ δέ πω καὶ Λιβάνιος, Εἰ φίλῳ, τῷ μὲν χαριοῦμαι, τὸν δὲ προσλήψομαι· οἱ δὲ γράφοντες, ὧν τὴν μὲν, καὶ τὰς δὲ πλευροκοπῶν, ἀγνοῦσι τὸ μέτρα.

236. Πλευροκοπῶν] κατὰ τῶν πλευρῶν τύπτων.

237. Δύο δ' ἀργίποδας] ἀντὶ τῶ λευκόποδας. Ἴσως τὸν μὲν ἕνα, ἐνόμιζεν Ὀδυσσέα, τὸν δ' ἄλλον, Νίσορα, ἢ Μενέλαον.

238. Τῷ μὲν κεφαλὴν καὶ γλῶσσαν] ἴσως τοῦτον ἐνόμιζε Νίσορα, ὡς ψευδομαρτυρήσαντα κατ' αὐτῦ.

241. Μίγνυ

Μέγαν ἱπποδέτην ῥυτῆρα λαῶν
Παίει λιγυρᾷ μάστιγι διπλῇ·
Κακὰ δεννάζων ῥήματ', ἃ δαίμων,
Κἀδεὶς ἀνδρῶν, ἐδίδαξεν.

ΑΝΤΙΣΤΡΟΦΗ.

ΧΟΡ. Ὥρα τιν' ἤδη κάρα κα-
λύμμασι κρυψάμενον,
Ποδοῖν κλοπὰν ἀρέσθαι·
Ἢ θοὸν εἰρεσίας
Ζυγὸν ἑζόμενον,
Πον]οπόρῳ ναὶ μεθεῖναι.
Τοίας ἐρέσσουσιν ἀπειλὰς

241. Μέγαν ἱππodέτην ῥυτῆρα λαῶν παίει] διπλώσας τὸν χαλινὸν, παίει τὸν κριὸν, ὡς λιγυρᾷ καὶ ὀξυφώνῳ μάστιγι· ἱππodέτην δὲ ῥυτῆρα, χαλινὸν μέγαν· μέγαν δὲ, πρὸς τὸ πικρότερον καθάψασθαι τῷ ἰχθῦϊ.

243. Κακὰ δεννάζων] ἀντὶ τοῦ βλασφημιῶν. Περιςέλλει δὲ καλῶς τὸν λόγον, φάσκουσα τὰ ῥήματα μὴ εἶναι τοῦ Αἴαντος, ἀλλὰ θεῶν τινος ὑποβολῆ. Δαίμονα δέ φησι τὴν μανίαν. Δεννάζων δὲ, ἀπὸ τοῦ δεινὸν, δεινάζω καὶ δεννάζω, ὡς φαεινὸς, φαεννός.

Ib. Κακὰ δεννάζων] τὸ δεννάζω ἀπὸ τοῦ δεινὸν γέγονε, τροπῇ τοῦ ι εἰς ν. δέννος γὰρ ἡ δοιδορία.

245. Ὥρα τιν'] ὥρα τινὰ ἡμῶν (ἀντὶ τοῦ ἔκαιρον ἡμῶν) προειλκυσάμενον τὴν ἰσθῆτα, τοῖς καλύμμασι τὴν κεφαλὴν κρυψόμενον. Ὁρῶν δὲ ὁ χορὸς, ὅτι ἐν μεγίστῳ κακῷ ἐςιν Αἴας, τὸ μὲν κατὰ τὴν νόσον, τὸ δὲ, κατὰ τὴν ἀπειλὴν τῶν βασιλέων, διαπορεῖται τί πρακτέον αὐτῷ, πότερον ἐγκαλυψαμένης φεύγειν ὁποιαοῦν, ἢ ἀποπλεῖν ἐπιβάντας ἐπὶ τῶν νεῶν. Καὶ ὐκ ἔςι μὲν μικρὸν, τὸ ἐᾶσαι Αἴαντα τὴν προςάτην ἀπαλλαγῆναι· ἀλλὰ σημαίνουσι διὰ τούτων ἔςιν ὅτι τὰ ἐν ποσὶ δεινὰ· ἰώθασι γὰρ αἱ ἀπορῦντες ἐξ ἀρχῆς τοιαῦτα προσφέρεσθαι.

Ib. Ὥρα] ὥρα τινὰ ἤδη τοι κράτα κρυψάμενον, κλοπὴν ποδοῖν αἴρεσθαι· ἦγον, καιρὸς ἐςιν ἄλλα τινὰ, τυτίσιν ἵκεσιν ἡμῶν, κρυψάμενον καλύμμασι τὴν κεφαλὴν, αἴρεσθαι κλοπὴν διὰ τῶν ποδῶν. Ἦγον, καιρὸς ἐςιν ἤδη φυγεῖν ἡμᾶς διὰ ξηρᾶς· ἢ ἑζόμενον ἔκαιρον ἡμῶν, κατὰ τὸν ταχὺν ζυγὸν τῆς καπηλασίας, μεθεῖναι διὰ νηὸς πoντοπόρου· ἦγον, ἢ μεθεῖναι καὶ ἀπολῦσαι ἐμὲ αὐτὸν καθεζόμενον κατὰ τὸν αὐτὸν τῆς ταχύτητος ζυγὸν τῆς καπηλασίας, διὰ νηὸς πoντοπόρου. Μεγάλας ἀπειλὰς κωπηλατεύουσιν, ἦγον, κινοῦσι κατ' ἐμῶν οἱ δύο βασιλεῖς. Φοβᾶμαι τὸν λιθοβολίσιμον θάνατον, ταχθεὶς συλλυπεῖσθαι μετὰ τοῦδε Αἴαντος. Ὅν τινα κρατεῖ μοῖρα ἀμέτρητος. Ἢ μεθεῖναι καὶ ἀπολῦσαι ἐμὲ αὐτὸν διὰ νηὸς πoντοπόρου, καθεζόμενον κατὰ τὸν ταχὺν ζυγὸν τῆς καπηλασίας.

Ib. Κάρα] οἱ γράφοντες κρᾶτα ἐ καλῶς γράφουσιν· ἔχει γὰρ τὸ μὲν κρᾶτα τὸ κεφαλαῖον μακρόν· τὸ δὲ κάρα, τὸ καὶ βραχύ, τὸ δὲ γένος μακρόν.

249. Ζυγὸν ἑζόμενον] μὴ λάβῃς ὡς τὸ ζυγὸν ἑξαθεν τὸ εἰς αὐλὸν ὕπτιον λέγει, ἑζόμενον ζυγόν. καθῆσθαι γὰρ καθέδραν φαμέν.

250. Μεθεῖναι] μετιέναι, φεύγειν. Ἔκειον ἡμῶν (φησὶ) δεῖ μεθεῖναι, πατρίδι, βίβλοι ἑαυτὸν ἐν νηῒ, καὶ φυγεῖν.

251. Τοίας] ἀντὶ τῆς μεγάλας.

Ib. Ἐρέσσουσιν] οὐτόνως κινοῦσιν. Ἀπὸ ἐρεσσόντων· ἀντὶ τοῦ ἐλαύνουσι, κινοῦσι.

Δικρατεῖς Ἀτρεῖδαι
Καθ' ἡμῶν· πεφόβημαι
Λιθόλευστον Ἄρην,
Ξυναλγεῖν μετὰ τῆδε τυ-
πεὶς, τὸν αἶσ' ἄπλαστος * ἔχει.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΤΕΚ. Οὐκέτι· λαμπρᾶς γὰρ ἄτερ σεροπᾶς
Αἴξας ὀξὺς νότος ὡς, λήγει,
Καὶ νῦν Φρόνιμος † νέον ἄλγος ἔχει.
" Τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
" Μηδενὸς ἄλλα παραπράξαν]ος,
" Μεγάλας ὀδύνας ὑποτείνει".

* ALDUS, ἄπλατος ἴσχει. † ALDUS, φρόνιμον.

Ib. Ἐρίστυσιν] ἦχον κινοῦσιν. Εἰκότως δὲ ἄμπαν τὴν λίξιν ὡς ναῦται.

252. Δικρατεῖς Ἀτρείδαι] οἱ δύο ἄρχοντες οἱ Ἀτρεῖδαι.

253. Πεφόβημαι] εὐλαβοῦμαι τὸ λευθῆναι, καὶ ἄλλως μετ' αὐτῆς ὂν ἐὴ μοῖρά τις κακὴ κατίσχει· λίγει δὲ τὴν μανίαν. Φησὶν ἂν ἡ Τέκμησσα πεπαῦσθαι, ἀντὶ τοῦ συμπαθεῖν αὐτῷ τῆς μανίας, ἵνα προκόπτῃ τὰ τῆς ὑποθέσεως.

254. Διθόλευστον Ἄρην] τὸν θάνατον. Καὶ Ὅμηρος.

" Γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυρῇσι βροτοῖσι."

256. Ἄπλαστος ἔχει] ἀπέλαστος, καὶ κατὰ συγκοπὴν ἄπλαστος, ἢ ἀπλησίαστος, τοῦτ' ἔστιν, ἡ κακὴ, ἡ μὴ παρίσησα πλησιάζειν αὐτῇ τίνα. Τοῖς γὰρ μαινομένοις ἀβέλτερος πλησιάζει, ἵνα μή τι κακὸν ὑπ' αὐτῶν παθῇ.

Ib. Αἶσ' ἄπλαστος ἔχει] ἀκίνητος ἴσχει αὐτὸν τὸν Αἴαντα ἔτι ἄπλητος μοῖρα. Διότι ἀίξας ὥσπερ νότος ὀξὺς, χωρὶς λαμπρᾶς ἀστραπῆς, ἔπαυσε. Ἤγειρε, ὥσπερ νότος ὀξὺς μετὰ πολλῆς ἀχλύος καὶ σκοτεινότητος ἀίξας ὁ Αἴας, τοιοῦτος, ὁρμητικὸς χωρὶς τῆς λαμπρᾶς φρονήσεως ὁρμήσας ὁ Αἴας, ἔπαυσε νῦν, καὶ ἔχει τόρα νέον ἄλγος φρόνιμον. Ἤγειρε, λυπεῖται μετὰ αἰσθήσεως καὶ φρονήσεως νῦν· τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη, μηδενὸς ἄλλα παραπράξαντος, μεγάλας ὀδύνας ὑποτείνει. Ἤγειρε, ἡ ἀπόβλεψις καὶ ἡ σύνεσις εἰς πάθη οἰκεῖα, μεγάλας ὀδύνας ὑποβάλλει μηδενὸς ἄλλα συμπράττοντος· ἡ κοινωνία γὰρ τῶν παθῶν φέρει μεγάλην παρηγορίαν καὶ παραμυθίαν.

Ib. Αἶς' ἄπλαστος] ἀντὶ τοῦ μεγάλη. Οὐκέτι κατίσχει αὐτὸν ἡ μανία, ἀλλὰ λήγει, ὡς ὀξὺς νότος ταχέως λήγει, ὡς γειομένων τινῶν σημείων ἐπὶ τοῖς πνεύμασιν, ὥστε παραλείπειν αὐτὰ, ἢ ταχέως πεπαῦσθαι. Οἷον ἴσι καὶ ἐν τῷ κυμωδίᾳ, " Ἀλλ' ἔπεισε ταχέως· δειλινὸς " γὰρ ἥρξατο."

257.] Ἄτερ σεροπᾶς] φασὶν οἱ περὶ ταῦτα δεινοὶ, ὡς εἰ μὴ τύχοι ἅσα ἀστραπὴ, ἡνίκα ὁ νότος ἄρξηται πνεῖν, ταχέως παύεται.

259. Καὶ νῦν φρόνιμος] ἔμφρων γενόμενος, ἤρξατο συμπαρακολουθεῖν τῇ συμφορᾷ, καὶ ἀλγεῖν.

260. Τὸ γὰρ ἐσλεύσσειν] γνωμικόν.

261. Μηδενὸς ἄλλα] οἷον, μηδενὸς συμπράξαντος, καὶ μεδασχόντος τῶν ἁμαρτημάτων· ἡ γὰρ κοινωνία τῶν ἁμαρτημάτων φέρει τινὰ παραμυθίαν. Περισσὴ δὲ ἡ παρὰ πρόθεσις.

262. Ὑποτείνει] ἐξίτηλον, ἀντὶ τοῦ ἐξίπλω-

ΙΑΜΒΟΙ.

ΧΟΡ. Ἀλλ' εἰ πέπαυ]αι, κάρτ' ἂν εὐτυχεῖν δοκῶ·
Φρόδε γὰρ ἤδη τῇ κακῇ μείων λόγος.
ΤΕΚ. Πότερα δ' ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις,
Φίλας ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
Ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;
ΧΟΡ. Τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.
ΤΕΚ. Ἡμεῖς ἄρ' οἱ νοσοῦ]ες, ἀτώμεσθα νῦν.
ΧΟΡ. Πῶς τοῦτ' ἔλεξας; οἱ κάτοιδ' ὅπως λέγεις.
ΤΕΚ. Ἀνὴρ ἐκεῖνος ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
Αὐτὸς μὲν ἥδεθ' οἷσιν εἶχετ' ἐν κακοῖς·

σεν· ὑπέτεινεν ἀντὶ τῦ κάτωθεν εἰς ὕψος ἔτειναν. Διαλείπεσθαι δὲ διϊσχυρίζεσθαι.

263. Εἰ πέπαυ]αι] εἰ πέπαυται ὁ Αἴας τῆς μανίας, τυτίσιν, εἰ πέπαυται ἡ μανία τῦ Αἴαντος, λίαν δοκῶ εὐτυχεῖν· διότι φρόδε τῦ κακῦ ἤδη γενομένυ, ὀλίγη καὶ ἠδεμία ἡ φρονῖις περὶ ἐκείνυ.

265. Πότερα δ' ἄν, εἰ νέμοι] εἰ δοίη τις αἵρεσιν, πότερον ἂν πρακρίνειας, λυπῶν τὸς φίλυς αὐτὸς ἥδεσθαι, ἢ λυπῶν τὸς φίλυς, καὶ αὐτὸς λυπεῖσθαι; Ἄριστα δὲ ἔχυσιν αἱ ἀντιθέσεις, τῶν μὲν οἰομένων ἐν εὐτυχίᾳ γεγονέναι, εἰ πέπαυται τὸ κακόν. Τῆς δὲ, βυλομένης παραισῆσαι, ὅτι ἐν χείροσί ἐςι τὰ τῦ Αἴαντος νῦν, ὁπότε καὶ παρακολυθεῖ τοῖς ἁμαρτήμασιν. Εἰπόντος δὲ τῇ χορῇ ἐν εὐτυχίᾳ εἶναι, εἰ πέπαυται ὁ Αἴας τῷ κακῷ, ἐπάγει ἡ Τέκμησσα, ὅτι κακόν ἐςι τῷ ὕτως πράξαντι, καὶ τὸ πεπαῦσθαι τῶν δεινῶν· παρακολυθῶ γὰρ τοῖς πεπραγμένοις, ἐν ὀδύνῃ πλείονι γίνεται. Καὶ Εὐριπίδης, "Τὸ γὰρ ὀρθῦσθαι "γνώμην, ὀδυνᾷ." Πρὸς δὲ τὸ ὑπ' ἐκείνων εἰρημένον, ὅτι ἐν εὐτυχίᾳ ἂν εἴημεν οἱ πέπαυλαι, ἀνλιτίθησιν ὕτως, πότερα ἂν ἕλοιο, εἴ σοι δοίη τις αἵρεσιν, λυπῶν τὸς φίλυς, αὐτὸς ἐν ἡδονῇ διάγειν· ἢ κοινωνεῖν τῷ παντὸς, καὶ αὐτός τι λυπεῖσθαι καὶ τὸς φίλυς λυπεῖν; οἷον, ὁ μὲν Αἴας ἐν τῇ μανίᾳ ὢν, ἐτέρπετο, οἰόμενος τιμωρεῖσθαι τὸς ἐχθρὸς, ἐγὼ δὲ ἐλυπούμην ἐρῶσα αὐτῶν. Νῦν δὲ παυσάμενος τῆς μανίας, καὶ αὐτὸς λυπεῖται ἐπὶ τοῖς πεπραγμένοις· λυπεῖ δὲ πάλιν καὶ τὸς φίλυς· νυνὶ ἐν διπλασίοις σαι τὸ κακόν. Τῦτο δὲ ἀναπτύσσει ἡ χορὸς διὰ τῶν ἐπιφερομένων, Τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν, οἷον τὸ ἀμφοτέρυς λυπεῖσθαι.

266. Φίλας ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν] ὥσπερ ὁ Αἴας ἐν μανίᾳ ὢν, λυπῶν ἡμᾶς, αὐτὸς ἥδετο.

267. Κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι] ἀντὶ τῦ, κοινῇ λυπεῖσθαι ἐν φίλοις κοινῇ λυπημένοις. Τυτίσιν, ὁμῶ τοῖς φίλοις λυπεῖσθαι.

268. Μεῖζον κακὸν] τυτίσι, τὸ λυπεῖν καὶ λυπεῖσθαι.

269. Ἡμεῖς ἄρ' οἱ νοσοῦντες] τῦτο ἡ Τέκμησσα λέγει διὰ τὸν Αἴαντα. Δέον δὲ εἰπεῖν, ὁ Αἴας οἱ νοσῶν βλάπτιλαι, ἡμεῖς εἶπι, διὰ ταῦτα ὅτι εἰλήφαμεν, ὅπ᾽ικα περί τινος τῶν γνωρίμων διηγήμεθα ἀπόντος, ἐκ τῆ οἰκεία προσώπυ τὸς λόγυς ποιεῖσθαι, καὶ εἰς ἑαυτὸς τὸ ἐκείνυ πρόσωπον ἀναδέχεσθαι. Καὶ ὅτι αὐτη ἡ Τέκμησσα τῦ Αἴαντος ἦν, καὶ τὸ ἐκεῖνυ κακὸν, οἰκεῖον ἐνόμιζεν. Ὅθεν σκοτεινῶς εἰρῆσθαι δοκῶν, ἐξεπίτηδες ἀπορρῆτα τὰν χορὸν ἃ ποιητὴς δείκνυσιν, ἵνα ὅλον διὰ τῶν ἑξῆς γένηται.

272. Οἷσιν εἶχετ'] ἦγεν, ἐπὶ τοῖς κακοῖς, οἷς εἶχετο, τυτίσιν, ἐκρατεῖτο.

273. Ἡμεῖς

Ἡμᾶς δὲ τὺς φρονοῦντας ἡνία ξυνῶν·
Νῦν δ' ὡς ἔληξε, κἀνέπνευσε τῆς νόσου,
Κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ,
Ἡμεῖς θ' ὁμοίως ὄδὲν ἧσσον ἢ πάρος.
Ἆρ' ἐσὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;

ΧΟΡ. Ξύμφημι δή σοι, καὶ δέδοικα μὴ 'κ θεοῦ
Πληγή τις ἦκοι. Πῶς γὰρ, εἰ πεπαυμένος,
Μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;

ΤΕΚ. Ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίσασθαί σε χρή.

ΧΟΡ. Τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
Δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.

ΤΕΚ. Ἅπαν μαθήσῃ τοῦργον, ὡς κοινωνὸς ὤν.
Κεῖνος γὰρ ἄκρας νυκτὸς, ἡνίχ' ἕσπεροι

273. Ἡμᾶς δὲ τὺς φρονοῦντας] γράφεται καὶ πλέοντας.

275. Λύπῃ πᾶς] τὸ πᾶς ἴσον, ἵνα δείξῃ ὡς ὅλος τῆς λύπης γέγονε. Τὸ δὲ ἐξ ἁπλῶν, ἀντὶ τοῦ μονοειδῶν φησί. Πρώην γὰρ ἐλυπούμεθα ἡμεῖς μόνοι, νῦν δὲ καὶ ὁ Αἴας μεθ' ἡμῶν.

276. Ἡμεῖς θ' ὁμοίως] ἴσως (φησὶ) καὶ κατ' ἄμφω τὼ καιρὼ συμβεβήκειν ἀνιᾶσθαι, αὐτῷ μὲν τότε ἐξεπικότος καὶ τεθρομμένῳ, νῦν δὲ σωφρονοῦντος καὶ λυπουμένῳ.

277. Ἆρ' ἐσὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν] ἁπλῶν μὲν, τὸ τὺς φίλους ἀνιᾶν. Δὶς τόσα δὲ, ὅτι καὶ αὐτὸς συναλγεῖ.

278. Ξύμφημι] συνομολογῶ σοι, καὶ φοβοῦμαι ἵνα μὴ ἔλθῃ πληγή τις ἐκ θεοῦ. Πῶς γὰρ οὐχὶ, ἐπεὶ πεπαυμένος ὁ Αἴας ὀηλονότι τῆς μανίας, μηδὲν τι εὐφραίνεται, ἀλλὰ μᾶλλον λυπεῖται, ἢ ὅτι ἦν μαινόμενος.

279. Πῶς γὰρ, εἰ πεπαυμένος] πῶς γὰρ ὁ θεῖόν τι εἰη κατὰ τὸν Αἴαντα, εἰ πεπαυμένος τοῦ κακοῦ, μᾶλλον ἐν ἀνίᾳ διάγοι;

Ib. Πεπαυμένος] ἀντὶ τοῦ σωφρονοῦν.

280. Μηδέν τι μᾶλλον] ἴδοι γὰρ νῦν μᾶλλον εὐφραίνεσθαι πεπαυσάμενον τῆς μανίας, ἢ ὅτι ταύτῃ συνῆκτο, εἰ καὶ ἄλογος ἦν ἡ τότε χαρά. Διόπερ ἀπορῶν ὁ χορὸς, εἰς θεὸς ἀναφέρει τὸ πρᾶγμα, καὶ πας' ἐκείνων ἐλθὼν αὐτῷ φησὶ τὰ δεινὰ· ἵνα καὶ μετὰ τὴν νόσον διακέηται τῇ λύπῃ.

281. Ὡς ὧδ' ἐχόντων] ὅτι κάκιον νῦν ἐκεῖνος ἔχει.

282. Τίς γάρ ποτ' ἀρχὴ] ἀντὶ τοῦ, τίς ἡ προσβολὴ τοῦ κακοῦντος αὐτὸν θεοῦ.

Ib. Τίς γάρ ποτ'] τοῦτο τὸ γὰρ ὅμοιόν, ὡς ἄνω ἔφημεν, τῷ, Τί γὰρ δὴ παῖε ὁ τοῦ Λαερτίου; ἢ τὸ γὰρ ἀντὶ τοῦ δὲ νοητέον, δεινοπάθειαν ἔξωθεν σχετλιάζοντος τοῦ χοροῦ, κἂν εἰ ὁ ποιητὴς εἶασε τοῦτο ἐνηλῶσαι.

283. Ξυναλγοῦσιν] ἤγουν, συναχθομένοις κατὰ τὰς δυστυχίας.

285. Κεῖνος γὰρ] προκατάσασις καὶ διήγησις τοῦ πραχθέντος ἔργου τῷ Αἴαντι.

Ib. Κεῖνος γὰρ ἄκρας νυκτὸς] περὶ πρώτου ὕπνου. Πιθανὼς δὲ καὶ τὸ τοῦ χρόνου πρόσκειται. Οἱ γὰρ ἐπιβουλεύοντες, τότε τὰς ἐξόδους ποιοῦνται ὡς ἐπὶ λαθεῖν τὰς παραφυλακάς.

Ib. Ἄκρας νυκτὸς] μὴ λάβῃς εἰς τὸ νυκτὸς ἔξωθεν τὸ ἐπὶ, ἀλλ' ἔσιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἡνίκα.

Ib. Ἄκρας νυκτὸς] τουτέσιν, τὸ ἄκρον τῆς νυκτὸς, ὅμοιον τῷ, μέσον κατέχῃ.

Ib. Ἡνίχ' ἕσπεροι] οἱ κατὰ τὴν ἑσπέραν. Ἢ, ὅτε ἐκ ἔφαινόν ἔτι οἱ ἕσπεροι ἀςέρες. Ἢ, ὅτε ἐσθίσθησαν οἱ λύχνοι. Συμπῶς δὲ, καὶ ὁ κατὰ μανί-

Λαμπ]ῆρες ἐκέτ' ἦθον, ἄμφηκες λαβὼν
Ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν κενάς.
Κἀγὼ 'πιπλήσσω, καὶ λέγω, τί χρῆμα δρᾷς,
Αἴας; τί τήνδ' ἄκλη]ος, ὅθ' ὑπ' ἀγγέλων
Κληθεὶς, ἐφορμᾷς πεῖραν, ὅτέ τε κλύων
Σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
Ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα,
" Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει".
Κἀγὼ μαθοῦσ', ἔληξ', ὁ δ' ἐσσύθη μόνος.
Καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν τύχας *.
Ἔσω δ' ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
Ταύρους, κύνας βοτῆρας, εὐκερῶν τ' ἄγραν,

* Aldus, πάθας.

μπνούμενον. Καὶ ἐκ τῆς τοῦ καιροῦ γὰρ ἐννοίας ἐπιβουλεύοντος, ἐπιθέσθαι περὶ πρῶτον ὕπνον.

Ib. Ἔσπιροι] ὃς εἰώθαμεν ἐν ἑσπέρᾳ ἄπλειν διὰ τὴν τοῦ σκότους παρουσίαν.

286. Λαμπ]ῆρες] οἱ κατὰ τὴν οἰκίαν φαίνοντες λύχνοι.

Ib. Ἦθον] ἀντὶ τοῦ ἤθοντο.

287. Ἐμαίετ'] ἐζήτει.

Ib. Ἔξόδους] ἐξοδος, ἡ ἐξέλευσις, ἐκφορὰ δὲ ἐπὶ νεκρῶ.

Ib. Ἐξόδους κενὰς] τὰς οὐκέτι χρησίμους γενομένας.

288. Κἀγὼ 'πιπλήσσω] ἀντὶ ἐπέπληξα· ἐπετίμησα.

290. Πεῖραν] πορείαν, ὁδόν.

Ib. Οὔτέ τε] ὥσπερ παρὰ Αἰολεῦσι τὸ ὅτινα κοινὸν ἐστι κατὰ γένος, οὕτω καὶ παρ' Ἀττικοῖς τὸ ὅτέ τε, ὅταν οὕτως συντάσσεται, κοινῶς λέγεται.

Ib. Οὔτέ τε κλύων] εἰώθασιν οἱ Ἀττικοὶ τὰ θηλυκὰ ἄρθρα ἀρσενικῶς ἐκφέρειν, ἀντὶ τοῦ τῆς τῇ λέγοντες. Ἔστι δὲ τοῦτο ὅμοιον τῷ παρ' Εὐριπίδῃ τῷ·

" Οὔτέ τε δόξης ἐρῶ."

Εὕρηται δὲ καὶ παρ' Ἰσοκράτει πολλὰ τοιαῦτα, καὶ κοινῶς (ὡς ἔπος εἰπεῖν) παρὰ πᾶσι λογοποιοῖς, τῷ χῶρε.

292. Αἰὲ δ' ὑμνούμενα] ἀεὶ θρυλλούμενα ὑπὸ πάντων ἀνθρώπων, καὶ κοινά. Ἡ ἀεὶ ὑπ' αὐτῆ λεγόμενα πρὸς ἐμέ. Ὅμοιον δὲ τὸ ἦθος ἐκείνῳ. Ἀλλ' εἰς οἶκον ἴσασα τὰ σαυτῆς ἔργα κόμιζε.

293. Γύναι] οἱ τιθέντες ἐπὶ τῷ γύναι περισπωμένην, ἀμαθεῖς τῶν μέτρων. Ἐντεῦθεν δὲ μανθανέτωσαν ὀξεῖαν τιθέναι· βραχὺ γὰρ ἐστὶ τὸ γυ· εἰ γὰρ καὶ ἀπὸ τοῦ γυῖον τὸ μέλος γίνεται, ἀλλ' ἐκβληθέντος τοῦ ι, ἐμεινε βραχύ· αἱ γὰρ παραγωγαὶ τῶν πρωτοτύπων βραχύτεραι.

Ib. Κόσμον ἡ σιγὴ] Ἐκ τῶν τοῦ Καλλιστράτου. Ὥσπερ γὰρ τὰ φύλλα κόσμον τοῖς δένδρεσι φέρει, τὰ δὲ ἴρια τοῖς προβάτοις, ἡ δὲ χαίτη τοῖς ἵπποις, ἡ δὲ γενειὰς τοῖς ἀνδράσιν· οὕτω καὶ ἡ σιωπὴ κόσμον ταῖς γυναιξὶ φέρει.

294. Κἀγὼ μαθοῦσ', ἐλεξ'] φοβηθεῖσα αὐτὸν μὴ διεκώλυσα.

295. Καὶ τὰς ἐκεῖ μὲν] τοῦτο μὲν ἀγνοεῖ ἡ Τέκμησσα λέγειν. Τοῦτο δὲ προεῖπεν αὐτῷ ὁ ποιητὴς, καὶ ἐνοχλεῖν μὲ δεῖ τὸν θεατὴν ταυτολογοῦντα.

296. Συνδέτους] τοὺς πόδας καὶ τὰς χεῖρας δεδεσμημένους.

297. Κύνας βοτῆρας] τοὺς ποιμενικοὺς κύνας, ὁ γὰρ

Καὶ τὰς μὲν ηὐχένιζε· τὰς δ' ἄνω τρέπων,
Ἔσφαζε, καὶ ῥάχιζε· τὰς δὲ δεσμίους
Ἠκίζεθ' ὥστε φῶτας, ἐν ποίμναις πίνων.
Τέλος δ' ἐπαίξας διὰ θυρῶν σκιᾷ τινὶ
Λόγους ἀνέσπα, τὰς μὲν Ἀτρειδῶν κάτα,
Τὰς δ' ἀμφ' Ὀδυσσεῖ, συνήθεις γέλων πολύν,
Ὅσην κατ' αὐτῶν ὕβριν ἐκτίσαιτ' ἰών.
Κἄπειτ' ἐπαίξας * αὖθις ἐς δόμους πάλιν
Ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσαι·
Καὶ πλῆρες ἄτης ὡς διοπλεύει σέγος,

* Aldus, ἀπαίξας. Turn. in marg. ἐπαίξας.

ὁ γὰρ ἀναιρεῖ κατὰ τὴν σκηνὴν ἄνθρωπον, ἀλλ' ὡς ἔξω τινὰς ἀνεῖλεν.

298. Ηὐχένιζε] τὸν τράχηλον ἀπέκοπτεν, ἐλαιμοτόμει.

299. Ἔσφαζε, καὶ ῥάχιζε] ἅπερ Ὅμηρος ἀνιερεύειν φησὶν ὥσπερ κατὰ τὰ λαιμὰ γίνεσθαι τὴν σφαγήν.

300. Ἠκίζεθ' ὥστε φῶτας] δηλονότι κύνας βοτῆρας.

Ib. Ἐν ποίμναις πίτνων] ἀντὶ τοῦ ἐμπιτνῶν ταῖς ποίμναις. Τιτύσιν, ἐπιτιθέμενος. Εὗρον ἔν τινι παλαιοτάτῳ τῶν ἀντιγράφων βίβλων, τὸν παρόντα στίχον ὧδε γραφόμενον. Τὰς δὲ δεσμίους ἠκίζεθ' ὥστε φῶτας, ἐν πημναῖς πιτνῶν, τυτίσιν, ἐν βλάβαις ἐμπίπτων.' Ἀπὸ τοῦ πημονὴ, ἡ βλάβη. Καὶ τῇ ἀποβολῇ τοῦ ο, πημνὴ. Τὸ δὲ πῶν τὰ λόγε, τοιοῦτόν ἐστιν. Ἦλθε δὲ ὁ Αἴας ἄγων ὁμοῦ συνδέτης ταύρες, κύνας βοτῆρας, εὔκερων ἀγραν. Καὶ τὰς μὲν ηὐχένιζε, τὰς δὲ ἄνω τρέπων ἔσφαζε καὶ ἐῤῥάχιζε. Τὰς δὲ δεσμίους ἠκίζεθ' ὥστε φῶτας. Ἐν πημναῖς τε καὶ βλάβαις τοιαύταις ἐμπίπτων, ἐκ ἠσθάνετο ἐηλονότι.

301. Ἐπαίξας] ἡ μὲν Τέκμησσα ἀγνοεῖ τινι διήλεκται ἐκ τοῦ προλόγε, ὅτι Ἀθηνᾶ ἦν ἡ καλήσασα αὐτῷ. Τὸ δὲ, Σκιᾷ τινι, ὅτι ἐ συνίβαλε τὰ περὶ τὴν Θεὸν, καὶ ὅτι ἴδιον τοῖς μαινομένοις καὶ τοῖς ματαίοις λαλεῖν. Ἀγνοῦσα δὲ ὅτι ἡ Ἀθηνᾶ αὐτὸν ἐκάλεσε διὰ τὸ ἐπαίξας, τὴν ἔξοδον τῇ μανίᾳ ἀνατίθησι.

302. Ἀνέσπα] Ἤγαγεν, μετὰ βίας καὶ δεινοπαθείας ἀνέπεμπε. Τὸ γὰρ σχῆμα τοῦ λόγε ἐνταῦθα, μεθυπαλλαγὴ ἐστί· Τὸ μὲν ἀνέσπα ῥῆμα, ἀντὶ μετοχῆς λάμβανε, τὸ δὲ συνετιθεὶς μετοχὴν, ἀντὶ ῥήματος, ἵνα ᾖ ὁ λόγος ὅλον. Τέλος δὲ ὑπαίξας διὰ τῶν θυρῶν τῆς σκηνῆς, καὶ λόγους ἀναισπῶν σκιᾷ τινι, τὰς μὲν, κατὰ τῶν Ἀτρειδῶν, τὰς δὲ, κατὰ τοῦ Ὀδυσσέως, συνετίθει πολὺν γέλων, ἤγων, ἐποίει πολὺν γέλων τοῖς ἀκούσι δηλονότι, διηγούμενος τὴν ὕβριν ὅσην ἐκτίσαιτο κατ' αὐτῶν.

303. Συντιθεὶς γέλων πολὺν] τυτίσι ῥήματα καταγέλαστα λέγων. Κατὰ τῶν κρειττόνων ὡς κατὰ ἀνθρώπων ἐποιεῖτο τὴν κόλασιν.

306. Ἔμφρων μόλις] τὰ τρία ταῦτα παρισῶσιν ὡς πάνυ βραδέως εἰς τὸ καθεστηκὸς ἦκεν.

Ib. Ἔμφρων καθίσαται] ἀντὶ τοῦ ἐν καταστάσει φρονήσεως ἐγένετο. Ἤγνν, ἔννες γίνεσαι. Ἔμφρων δὲ καθίσαται μόλις πως σὺν χρόνῳ. Καὶ ἐπεὶ ἐπλήρωσε τὸ σίγος τῆς σκηνῆς, πλῆρες ἄτης, τύψας τὴν κεφαλὴν αὐτοῦ ἐῴησεν. Καὶ ἐν τοῖς ἕρμασι τῶν νεκρῶν ζώων ἐσθίοντα ἐκάθιζετο ἐπάνω τοῦ προβατικοῦ φόνε, συλλαβὼν χειρὶ καὶ τοῖς ὄνυξι τὴν κόμην αὐτῶν δηλονότι.

307. Καὶ πλῆρες ἄτης] ὄχ' ὅτι τοῦτο ἀλγεινὸν τὸ ἀνελεῖν τὰ ποίμνια, ἀλλ' ὅτι ἐνήμαρτε τῆς τιμωρίας τῶν ἐχθρῶν.

308. Θοίξη

Παίσας κάρα, θώϋξεν· ἐν δ' ἐρειπίοις
Νεκρῶν ἐρειφθεὶς ἔζετ' ἀρνείᾳ φόνῳ,
Κόμην ἀπριξ ὄνυξι συλλαβὼν χερί·
Καὶ τὸν μὲν ἦσο πλεῖσον ἄφθογγος χρόνον
Ἔπειτ' ἐμοὶ τὰ δεῖν' ἐπηπείλησ' ἔπη,
Εἰ μὴ φανείην πᾶν τὸ συμπυχὸν πάθος·
Κἀνήρετ' ἐν τῷ πράγματος κυρεῖ ποτέ.
Κἀγὼ, φίλοι, δείσασα, τἄξειργασμένον
Ἔλεξα πᾶν ὅσον περ ἐξηπισάμην.
Ὁ δ' εὐθὺς ἐξώμωξεν οἰμωγὰς λυγρὰς,
Ἃς ἔποτ' αὐτὸς πρόσθεν εἰσήκουσ' ἐγώ.
Πρὸς γὰρ κακῷ τε καὶ βαρυψύχῳ γόᾳ

308. Θώϋξεν] ἐβόησε.

Ib. Ἐν δ' ἐρειπίοις] τὸ ἑξῆς, ἐν δὲ τοῖς ἐρειπίοις τῶν νεκρῶν τῷ ἀρνείῳ φόνῳ ἐρειφθείς. Ὁ ἐστιν, ἐν δ' τοῖς πτώμασι τῶν νεκρῶν καταπεσὼν ἔκειτο. Θαυμασίως δὲ ὑπ' ὄψιν ἤγαγε τὰ πράγματα, μεταξὺ τῶν πτωμάτων τὴν φαντασίαν ἐπιδεικνύς· οἷον καὶ τὸ παρ' Ὁμήρῳ περὶ τοῦ Κύκλωπος· "πανυσσάμενος δια "μήλων."

309. Ἐρειφθεὶς] ἀντὶ τοῦ καλαπεσὼν, ἐξέμπαλιν. Πάντα γὰρ τὰ ἐπὶ τὴν ἦραν πίπτοντα ἐρείπια καλοῦνται, καὶ αἱ ῥιπαὶ ἐντεῦθεν ὡς τὰ ἐρείπια. Τινὲς δὲ ἐρεισθεὶς γράφουσιν, οἷον ἐπερεισάμενος.

Ib. Ἀρνείῳ φόνῳ] τοῦτο πρὸς τὸ νεκρῶν σύναπτε. Εἴρηται δὲ τοῦτο ἀπὸ μέρους τὸ πᾶν. Οὐ γὰρ ἄρνες μόνον ἦσαν, ἀλλὰ καὶ κριοὶ καὶ βόες.

310. Ἀπριξ] ὅλῃ δυνάμει, ἰσχυρῶς· ἀσφαλῶς· προσπεφυκότας. Ὃ οὐχ οἷόν τε πρίσαι διὰ τὴν σύμφυσιν.

311. Ἧσο] ἦγον, ἐκάθητο· κανόνισον, ἴω, ὁ μέλλων ἔσω. ὁ παρακείμενος ἧκα. ὁ παθητικὸς, ἧμαι. ὑποπτικὸς, ἵμην, ἧσο.

312. Ἔπειτ' ἐμοὶ] οὐκ ἔχων ἐπίβολὴν τῆς αἰτίας τῶν πεπραγμένων, ἐμὲ ἠρώτα τὸ συμβάν. Πάνυ δὲ περιπαθῶς, τὸν ἐμφρονέστατον Αἴαντα παρὰ τῆς γυναικὸς πυνθάνεσθαι, τίνα ἐστὶν ἃ ἔπραξεν αὐτός.

313. Εἰ μὴ φανείην] ἦγον, ἂν μὴ ἐγὼ δηλώσαιμι ἐκείνῳ τῷ Αἴαντι πᾶν τὸ συμβάν.

314. Κυρεῖ ποτέ] τὸ κυρῶ περισπώμενόν φησιν ἡ συνήθεια καὶ Ἀττικοί. Ἐν δὲ εὐκτικοῖς βαρύνουσιν αὐτὸ Ἀττικοὶ μετὰ ἐκτάσεως τοῦ υ, κύροι λέγοντες, ἀντὶ τοῦ κυροίη· νῦν δὲ ἀντὶ τοῦ κυρεῖ ὁριστικῶς κεῖται.

Ib. Κἀνήρετ'] ἀντὶ τοῦ, ἤρετο ἐν τίνι πράγματι ὑπάρχει.

317. Ἐξώμωξεν] ἐξάκουστον ὠμωξεν.

318. Ἃς ἔποτ' αὐτὸς] οὐκ εἰώθει (φησὶν) ὁ Αἴας ἐν τοῖς κακοῖς ἀπολοφύρεσθαι, ἀλλ' ἦν καρτερικός. Ἔλεγεν δὲ (φησὶν) ἀεὶ, κακῶν ἀνδρὸς τὸ ὀλοφύρεσθαι· ὅπερ φησὶ καὶ Ἡρακλῆς ἐν Τραχινίαις.

" Ἀλλ' ἀσπάνακλος αἰὲν εἰπόμην κακοῖς."

Ὁ δὲν Αἴας πρὸ τούτου, εἴ συνίδοι τί αὐτῷ δεινὸν, ὡς ταῦρος ἀνεβρυχᾶτο ἀνεξάκουστον, ὥστε πολὺ ἂν εἰς προφανῆ γόον ἐξέπιπτεν.

319. Πρὸς γὰρ κακῷ τε καὶ βαρυψύχῳ] ἀμφότερον ἀντὶ τοῦ ἁπλῶς νοητέον. Οἱ δὲ λέγοντες τὸ βαρυψύχῳ ἀντὶ τοῦ γοεραῖς, καὶ διὰ τοῦτο προστιθέντες ὃ ἐστὶ, ταλαιπώροις λεγοήκασιν· βαρύψυχος γὰρ ὁ βαρεῖαν καὶ λυπηρὰν καὶ ἀλύ-

Τοιόσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν·
Ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων
Ὑπεσέναζε ταῦρος ὡς μυκώμενος.
Νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ,
Ἄσιλος ἀνὴρ, ἄπολος, ἐν μέσοις βοτοῖς
Σιδηροκμῆσιν, ἤσυχος θακεῖ πεσών.
Καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.
Τοιαῦτα γάρ πως καὶ λέγει κἀδύρεται.
Ἀλλ', ὦ φίλοι (τάτων γὰρ ἕνεκ' ἐσάλην)
Ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι·
"Φίλων γὰρ οἱ τοιοῖδε νικῶνται φίλοι."
ΧΟΡ. Τέκμησσα, δεινὰ, παῖ Τελεύταυλος, λέγεις

πιτον ἔχων ψυχὴν, ἀλλὰ μὴ πρὸς πόλεμον ὁρμητικὴν καὶ πρόθυμον.

320. Ἐξηγεῖτο] ἡρμήνευεν· ἡ γὰρ ἐξήγησις, ἐπὶ θείων. ἑρμηνεία, ἐπὶ τῶν τυχόντων.

Ib. Ἐξηγεῖτ' ἔχειν] οἱ λέγοντες τὸ ἔχειν ἀντὶ τοῦ ὑπάρχειν, ἁμαρτάνουσιν· ὥσπερ γάρ φαμεν, τὰ δίκαια πρᾶττειν καλῶς ἀνδρὸς ἔχει, οὕτω καὶ τοῦτο ἔλεγε γὰρ ὁ Αἴας ὡς ἔχει τὸ τοιοῦτο ἐπιλῦσαι ἀνδρὸς, τὸ καθάπερ γυναῖκα κλαίειν, καὶ θρήνους εἰς ὕψος αἴρειν.

321. Ἀψόφητος ὀξέων κωκυμάτων] ἤγουν, ὑψηλῶν, ὅμοιον τῷ ἀσκευον ἀσπίδος τι καὶ στρατιᾶ. Τὸ ὀξὺ, ἐπὶ μὲν φωνῆς ἔχει ἐναντίον τὸ βαρύ· ἐπὶ δὲ ὀφθαλμῶ καὶ ξίφους, τὸ ἀμβλύ. Ἐπὶ δὲ χυμῶν, τὸ γλυκύ.

322. Μυκώμενος] οἱ γράφοντες βρυχώμενος, καὶ μεγεθύνοντες τὸ χω, διὰ τὸ μέτρον, ἴσως ἀμαθεῖς εἰς καὶ γραμματικῆς καὶ μέτρων εὐκλείων γὰρ τὸ μυκώμενος πρὸς τὸ ταῦρος.

325. Σιδηροκμῆσιν] τῷ σιδήρῳ φονευθεῖσιν ὡς ἀνδροκμῆσιν· καὶ δῆλός ἐστι προσεκλικὰ πρὸς τὸν ἀκροατὴν, ἵνα προσέχῃ ἀκριβέστερον, προσδοκῶν τὸ συμβησόμενον.

326. Δρασείων] ἀντὶ τοῦ θίλων καὶ μέλλων ποιῆσαι· τὸ γὰρ δρασείω, τυφλείω, πολεμησείω, καὶ τὰ τοιαῦτα, ἀπὸ ἐνεστώτων καὶ μελλόντων τινῶν ἄλλων ῥημάτων παράγονται. Ἐκ μὲν τοῦ δράσω μέλλοντος, τὸ δρασείω. Καὶ ἐκ τοῦ τύψω τὸ τυφλείω. Καὶ ἐκ τοῦ πολεμήσω, τὸ πολεμησείω. Ἐκ δὲ τοῦ χρῶ ἐνεστῶτος, τὸ χρείω. Καὶ ἐκ τοῦ κίχω τὸ κιχείω. Καλοῦνται δὲ ἐφεκτικὰ, καὶ σημασίαν ἔχουσι δεῖ μέλλοντος.

327. Τοιαῦτα γάρ πως] ἐοικότως κατά τινα τρόπον.

Ib. Καὶ λέγει κἀδύρεται] τῷ βούλεσθαι δρᾶσειν ἀπλουστότερον κακόν τι.

328. Ἀλλ', ὦ φίλοι] τοῦτο πρὸς τὸ μέγεθος τῆς συμφορᾶς. Πιθανὴν δὲ τὴν πρόφασιν τῆς ἐξόδου φησὶν, ἵνα μὴ δόξῃ τὸν Αἴαντα ἐν τοιαύτῃ συμφορᾷ καταλελοιπέναι.

Ib. Οὕνεκ' ἐσάλην] καταχρηστικῶς τὸ ἐσάλην, ἀντὶ τοῦ ἐπορεύθην ἔρχεται. Κυρίως γὰρ τὸ ἐσάλην ἐπὶ θαλάσσης λέγεται, οἷον ἐστάλατό τις τόνδε τὸν πλοῦν.

330. Φίλων γὰρ οἱ τοιοῖδε] οἱ τοιοῖδε φίλοι, ὁποῖοι ἐστὲ ὑμεῖς, νικῶνται φίλων, ἤγουν ἡττῶνται· ἡσσῶται δὲ ὁ ἐρῶν τινὸς, καὶ πολλὴν ἀγάπην εἰς αὐτὸν τρέφων· κρείττων δὲ ὁ ἐρώμενος. Ἄλλως· Φίλων γὰρ οἱ τοιοῖδε ἐπονήσουσι, καὶ οἱ κακοπραγοῦντες ἀπονέμουσιν αἰδῶ τισὶ τοῖς φίλοις. Ἡ ἂν Τέκμησσα, ἅτε ἐν γυνὴ ὂσα καὶ αἰχμάλωτος, οὐχ οἷά τε αὐτὸν παραμυθεῖσθαι, ἀλλὰ τὸν χορὸν προτρέπεσθαι ἐᾶσαι. Ἐπειδὴ δὲ ἄτοπον τὸν χορὸν ἀπολιπεῖν τὴν σκηνὴν, ἀναβοᾷ ἐκθορὼν ὁ Αἴας, ἵνα μείνῃ ἐπὶ χώρας ὁ χορός· τοῦτο γὰρ ἐπόθει θεατής.

331. Τέκμησσα] λέγεις ἐν τοῖς νῦν κακοῖς μαστιγώσασθαι

Ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.

ΑΙΑ. Ἰώ μοι, μοι.

ΤΕΚ. Τάχ', ὡς ἔοικε, μᾶλλον· ἢ οὐκ ἠκύσαλς
Αἴαντος, οἵαν τήνδε θωΰσσει βοήν*; 335

ΑΙΑ. Ἰώ μοι, μοι.

ΧΟΡ. Ἀνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
Νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.

ΑΙΑ. Ἰὼ παῖ, παῖ.

ΤΕΚ. Ὦ μοι τάλαιν', Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ. 340
Τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.

ΑΙΑ. Τεῦκρον καλῶ· ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
Λεηλαλήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.

* Aldus, βοᾷν.

μαντεύσασθαι τὸν ἄνδρα ἡμῖν δεινά· τοῦτ' ἔστιν, ἐξ ὧν δυνῇ, παρισῶς προμιμνυκίναι αὐτὸν ὡς ἑαυτὸν ἐργάσηται τι κακόν, ἃ γὰρ ἔπραξεν ἀναλογιζόμενος κρεῖττον τὸ θανεῖν ἡγήσεται.

332. Διαπεφοιβάσθαι] μεμαντεῦσθαι, καὶ ἐσχοχάσθαι· φοιβίομαι, φοιβῶμαι, τὸ μαντεύομαι. Ὅθεν καὶ φοῖβος ὁ μάντις.

Ib. Διαπεφοιβάσθαι] ἐκμεμηνέναι παρὰ τὸν φοῖτον· ἢ ἀπὸ τῶν φοιβαμένων καὶ ἐνθουσιώντων· καὶ γὰρ ἐκεῖνοι μανίᾳ τινὶ ἔμοιγε πάσχειν τι.

334. Τάχ', ὡς ἔοικε] τάχα ὡς φαίνεται, μᾶλλον γενάζει, ὡς νῦν αὐτῷ μᾶλλον παροξυμμένῳ ἢ πρότερον. Εἶτα πρὸς τὸν χορὸν τὰ ἑξῆς, ἢ οὐκ ἠκούσατε Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν; ἐμφαντικῶς δὲ τὸ θωΰσσει. Καὶ γὰρ δεῖ τὸν ὑποκρινόμενον τὸ τοῦ Αἴαντος πρόσωπον, ἁπλῆς ἔρυ χρήσασθαι τῷ φθέγματι, καὶ κυνικώτερον βαύζειν. Διὰ τοῦτο εἶπεν θωΰσσειν.

337. Ἀνὴρ ἔοικεν] ὁ ἀνὴρ ὁ Αἴας, ἢ παρὼν καὶ ἐνεγάμενος τοῖς ξυνοῦσιν, ἤγουν, τοῖς πλησίον ἐκείνου κειμένοις πλώμασιν τοῖς συμβᾶσιν ὑπὸ τῷ πάλαι νοσήμασιν, ἔοικε λυπεῖσθαι. Ἴδιον δέ, τῷ λυπεμένῳ, κομψὸν καὶ ἐλλιμπῆ λέγειν τὸν λόγον.

340. Ὦ μοι τάλαιν'] ἀποποιοῦσις τὸ ἦθος· τὸ μὲν, ἀποιμώξει, τὸ δὲ, καλεῖ τὸν παῖδα. Εἶτα πρὸς ἑαυτὴν ἐπαπορεῖ, Τί ποτε μενοινᾷ; καὶ πάλιν καλεῖ τὸν παῖδα, καὶ ἑαυτὴν ἀπολοφύρεται· λελῃθότως δὲ ἐνεφάνισε καὶ τὸ τοῦ παιδὸς ὄνομα. Ἐδείσε δὲ μὴ ἀνέλῃ αὐτὸν μαινόμενος. Ἄλλως· Τί ποτε μενοινᾷ; ἀντὶ τοῦ πρόθυμος· πρὸς τὸν Αἴαντα λέγει τοῦτο.

Ib. Ἀμφὶ σοὶ] περὶ σοῦ.

341. Ποῦ ποτ' εἶ] πρὸς τὸν Εὐρυσάκην· ἡ γὰρ παιδαγωγὸς αὐτὸν ἔξω εἶχε.

342. Τεῦκρον καλῶ· ποῦ Τεῦκρος;] μεταβαίνει ὁ Αἴας ἐπὶ πολλὰ, ἵνα δὴ τελείους αἱ ἀγωνίαι γένωνται. Ἄλλως· ἴδιον τοῦ κακῶς ἔχοντος, τὸ μὴ ἐφ' ἓν τῶν λυπούντων ποιεῖσθαι τὴν ἀναφοράν. Ἐπιζητεῖ δὲ Τεῦκρον, ἵνα παραθῆται αὐτῷ τὸν παῖδα, ὃν ἀφίησι τῷ χορῷ μὴ εὑρὼν τὸν Τεῦκρον· τὸ δὲ ἀεῖναι Τεῦκρον, χρήσιμον τῇ οἰκονομίᾳ· παρὼν γὰρ ἐκώλυεν αὐτὸν πρᾶξαι ἃ ἐβούλετο, νῦν δὲ μόνης τῆς γυναικὸς ἐγένετο κρείττων. Ἄλλως· παῖ, παῖ εἶπών, μεταπίπτει εἰς ζήτησιν τοῦ Τεύκρου ὑπὸ ἀμηχανίας, ὥσπερ ἐπιλαθόμενος ἐκείνου.

Ib. Ἢ τὸν εἰσαεὶ] ἤγουν, καὶ τὸν ἑξῆς χρόνον πάντα. Τὸ ἀεὶ λέγεται ἐπὶ ἐνεστῶτος καὶ παρεληλυθότος καὶ μέλλοντος· τὸ δὲ εἰσαεὶ ἐπὶ ἀεὶ μέλλοντος.

343. Λεηλατήσει] λείαν ἐλάσει, ληφθησόμενος· ληστεύσει· πορθήσει· ἁρπάσει.

ΧΟΡ. Ἀνὴρ φρονεῖν ἔοικεν· ἀλλ' ἀνοίγετε·
Τάχ' ἄν τιν' αἰδῶ καὶπ' ἐμοὶ βλέψας λάβοι.
ΤΕΚ. Ἰδὼ διοίγω· προσβλέπειν δ' ἔξεσί σοι
Τὰ τῆδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΑΙΑ. Ἰώ μοι φίλοι ναυβάται,
Μόνοι ἐμῶν φίλων, μόνοι
τ' ἐμμένοντες ὀρθῷ νόμῳ·
Ἰδεσθέ μ' οἷον ἄρτι κῦ-
μα φοινίας ὑπὸ ζάλης
Ἀμφίδρομον κυκλεῖται.
ΧΟΡ. Οἵ μ', ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν!
Δηλοῖ δὲ τἔργον ὡς ἀφρονεστέως ἔχει.

344. Ἀνὴρ φρονεῖν ἔοικεν] ἐκ τοῦ καλεῖν τὸν Τεῦκρον σοχάζονται, καὶ ἀνοίγειν κελεύσειν, ἵνα αἰδεσθεὶς Θεασάμενος. Οἷον, ταχ' ἂν αἰδεσθείη μι. Ἢ οἷον, τάχα ἂν ἐφ' ἡμῖν αἰδεσθῇ, ἀπολιπὼν ἡμᾶς ἀνάρχους καὶ ὑποχειρίους τοῖς ἐχθροῖς.

346. Διοίγω·] ἀνοίγω.

Ib. Προσβλέπειν δ' ἔξεσί σοι] ἐνταῦθα ἐγκύκλωμά τι γίγνεται, ἵνα φανῇ ἐν μέσοις δὴ Αἴας ποιμνίοις. Εἰς ἔκπληξιν γὰρ φέρει καὶ ταῦτα τὸν Θεατήν· τὰ ἐν τῇ ὄψει περιπαθίσερα. Δείκνυται δὲ ξιφήρης ἡμαλωμένος, μιλαξὺ τῶν ποιμνίων καθήμενος.

347. Τὰ τῆδε πράγη] τὰς πράξεις, ἃς ὅπος εἰργάσαλο.

Ib. Καὐτὸς ὡς ἔχων κυρεῖ] ταλίσιν, ὡς διάκειται.

348. Ἰώ μοι φίλοι ναυβάται] τάχισα τὸ πᾶν ὑπήγγειλε τῷ τροπικῷ. Βέλτιαι δὲ σημαίναι, ὅτι ὥσπερ ἐκ μεγάλου χειμῶνος ὑπὸ κινήσεως ἀνέμων κῦμά τι ὑπολειφθὲν ἀπὸ τοῦ γεγονότος χειμῶνος κυκλεῖ αὐτόν· μετὰ γὰρ τὸν χειμῶνα ἴωθε γὰ κῦμα ἐπὶ πλέον μένειν. Λείπει δὲ τὸ ὡς, ἵν' ᾖ ὡς ἀμφίδρομον, οἷον τὸ παντοχόθεν περιτρέχον. Ἐξ οὗ τὴν ὑπερβολὴν τοῦ κακοῦ σημαίνει. Ὅτι κατ' ἰδέαν αὐτῷ ἐν εὐδίᾳ ἦν τὰ πράγματα.

350. Ὀρθῷ νόμῳ] λέγων, ὀρθότητι νόμου, ὥσπερ εἴτις εἴποι, εὐθείᾳ χάθμῃ λέγων, ἐν εὐθύτητι· ἔστι δὲ κυρίως νόμος, ἔγγραφος συνήθεια, συνήθεια δὲ, ἄγραφος γόμος.

353. Ἀμφίδρομον] τὸ ἑλικοειδὲς, ὃ βαπτίζει τὰς ναῦς.

Ib. Κυκλεῖται] γρίφει· κυκλίω, κυκλῶ, τὸ γρίφω· κυκλόω δὲ κυκλῶ, τὸ περιλαμβάνω.

354. Οἵ μ', ὡς ἔοικας] ὁ χορὸς ἔστιν ὁ λέγων· ὁ γὰρ εὐπρεπὴς τὴν Τέκμησσαν τὸν λόγον ὑφαρπάζειν λεγόμενον πρὸς τὸν χορόν· ἐν ταῖς γὰρ ἀμφιβολίαις τῶν προσώπων δεῖ τῷ ἤθει σοχάζεσθαι, καὶ διὰς ἐλλειν τὸ πρόσωπον· ἔοικας οὖν (φησὶν) ὅτι ἐν μεγάλῳ χειμῶνι γέγονας· τὸ γὰρ ἀφρονεστέως, οἷον, διὰ τὸ μηδένα ἐπιμεληθῆναι σου, ἐν χειμῶνι γέγονας. Ἢ ὅτω πρὸς τὴν Τέκμησσαν ὁ λόγος, νομίζω σε ἀληθῆ μοι μεμαρτυρηκέναι περὶ τῆς μανίας τῷ Αἴαντος· ὅτως γὰρ τὰ πράγμα δείκνυσιν ἡμῖν, ὅτι μανικῶς διετέθη. Τὸ δὲ ὡς, καὶ τὸ ἄγαν, ἐκ παραλλήλου.

355. Δηλοῖ δὲ τἔργον] τοῦτο λέγει, ὅτι τὰ παρόντα

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΑΙΑ. Ἰώ μοι γένος ναΐας
Ἀρωγὸν τέχνας, ἁλίαν
Ὃς ἐπέβας ἑλίσσων πλάταν·
Σέ τοι σέ τοι μόνον δέδορ-
κα ποιμένων ἐπαρκέσον-
τ'. ἀλλά με συνδάϊξον.
ΧΟΡ. Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδὺς
Ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

ΣΤΡΟΦΗ Β.

ΑΙΑ. Ὁρᾷς τὸν θρασὺν, τὸν εὐκάρδιον,
Τὸν ἐν δαΐαις ἄτρεστον μάχαις,

παρόντα ὑπὸ μανίας γινέσθαι παρίσησιν. Ἡ ὕτως, τὸ ἔργον, τοῦτ' ἔστι τὸ ἐν τούτοις εἶναι τὸν Αἴαντα, ὡς ἄδοξον, καὶ παῖδα ἀνακαλεῖσθαι, καὶ τὴν αὐτοῦ τύχην πρὸς ἡμᾶς ἀνακλαίεσθαι, δηλοῖ ὡς ἀφροντίστως καὶ ἀποσαλικῶς ἔχει τῆς μανίας. Ὅπερ εἰ λέγεις, πρὸς μόνην τὴν Τέκμησσαν τὸν λόγον ἐρεῖς. Ἡ ὅτω, τὸ ἔργον δὲ, ἦγον, τὸ τοσοῦτον αὐτὸν λυπεῖσθαι καὶ δυσχεραίνειν ἐπὶ τοῖς πεπραγμένοις, ἀπαραμύθητον τοῦτο δεικνύει, ὡς ἀφροντίστως τῆς οἰκείας σωτηρίας ἔχει, καὶ δεινὰ καθ' αὑτοῦ μελετᾷ.

Ib. Ἀφρόντιστος] μανικῶς.

356. Ναΐας] τῆς ναυτικῆς. Ἐπεὶ ναυτικοὶ δεκᾶσιν οἱ νησιῶται.

Ib. Ἰώ μοι γένος] τὸ ναΐας τέχνης, ἢ πρὸς τὸ γένος συναπτέον, ὕτως, ὦ γένος ναΐας τέχνης, ἦγον, ὦ ναῦται· ἢ πρὸς τὸ ἀρωγὸν, λαμβανομένου ἔξωθεν τοῦ ἕνεκα, ἕτως, ὦ γένος ἀρωγὸν ἐμοὶ ἕνεκα τῆς ναΐας τέχνης, τοῦτ' ἔστι, συμπλεῖν ἐμοὶ καὶ πρὸς πᾶσα κίνδυνον συνεπιλαμβανόμενον.

358. Ἐπίβας] τῶν νηῶν δηλονότι.

Ib. Ἑλίσσων πλάταν] κωπηλατῶν· εἴρηται δὲ παρὰ τὸ ἀμφιελίσσας. Κωπηλατῶν δὲ, ἀντὶ τοῦ κωπηλάτης, ὃν ἢ τὸ πᾶν, ὃς κωπηλάτης ἐπίβης τῶν νηῶν.

360. Ποιμένων] τῶν κηδεμόνων, τῶν βοηθῶν. Ὡς καὶ ποιμαίνειν τὸ φροντίζειν. Ποιμένων δὲ τῶν ἐμὲ ποιμαινόντων καὶ θαλπόντων. Τὴν αὐτὴν δὲ μοι προαίρεσιν λάβε, καὶ εὖξαί με ἀποθανεῖν. Ἢ σφάζων με σὺν τοῖς Ἑλλησι. Οὐ διὰ τὴν ἧτταν δὲ τῶν ὅπλων πικρὸς ὢν βούλεται ἀναιρεῖσθαι, ἀλλὰ τὸ ὄνειδος ὑφορώμενος τῶν ποιμνίων· ἐν τούτῳ δὲ τὸ ἦθος καὶ ἡ μεγαλοφροσύνη δείκνυται τοῦ Αἴαντος.

Ib. Ποιμένων] μὴ λάβῃς εἰς τὸ ποιμένων ἔξωθεν τὰ ἀπό. Ἀλλὰ ὕτω λέγει, σὲ μόνον δέδορκα καὶ βλέπω φροντιστῶν ἐπαρκέσοντα. Τοῦτ' ἔστι, σὺ μόνος ἐφώνησε μοὶ φροντιστὴς εἰς τὸν παρόντα καιρόν. Τὸ δὲ ποιμένων μεταφορικῶς εἴρηται, ἀντὶ τοῦ κηδεμόνων· καὶ γὰρ ὁ ποιμὴν κηδεμὼν τῶν προβάτων ἐστίν.

Ib. Ἐπαρκέσοντα· ὑπηρετήσοντα.

361. Συνδάϊξον] ὁμοῦ διαθρέψαι καὶ σφάζειτε σὺν τοῖς Ἕλλησι.

362. Εὔφημα φώνει] τὸ ἐξῆς, μὴ κακὸν κακῷ διδοὺς ἄκος, μεῖζον ποίει τῆς ἄτης τὸ πῆμα. Ἄτην δὲ τὴν μανίαν· πῆμα δὲ τὸν θάνατον, ὃ ἔστι χεῖρον τῆς μανίας. Τοῦτο δὲ φησιν, ἐπεὶ ὁ Αἴας λέγει τῷ χορῷ, ἀλλὰ σύν μοι δάϊξον. Ἄλλως· μὴ θεραπείαν κακῶν ἕτερον κακὸν ἐπεισαγάγῃς· ἦγον, μὴ τῷ θανάτῳ διαλύσῃ

Ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας ;
Ὤμοι * γέλωτος, οἷον ὑβρίσθην ἄρα !
ΤΕΚ. Μὴ, δέσποτ' Αἴας, λίσσομαί σ', αὖδα τάδε.
ΑΙΑ. Οὐκ ἐκτός ; ὐκ ἄψορρον ἐκνεμῇ πόδα ;
Αἰ, αἰ, αἰ, αἰ.
ΧΟΡ. Ὦ πρὸς θεῶν ὕπεικε, καὶ φρόνησον εὖ.

ΣΤΡΟΦΗ Γ.

ΑΙΑ. Ἰὼ δύσμορος †, ὃς χεροῖν ‡
Μεθῆκα τὰς ἀλάστορας,
Ἐν δ' ἐλίκεσσι § βουσὶ καὶ
Κλυτοῖς πεσὼν αἰπολίοις,
Ἐρεμνὸν αἷμ' ἔδευσα.

* Aldus, οἴμοι. † Ald. Ὦ δύσμορας. ‡ Ald. ὃς χερσὶ μὲν.
§ Ald. ἑλίκεσι.

λύσης τὸ ὀντειδος· πῆμα δὲ ἄτης, κατὰ περίφρασιν, τὴν ἄτην. μὴ τὴν ἄτην πλείονα ποιήσῃς· ἀρκεῖ γὰρ ἡ παροῦσα.

366. Ἐν ἀφόβοις με θηρσὶ] τοῖς μὴ φόβον βραποιοῦσι προβάτοις.

Ib. Δεινὸν] φοβερόν.

Ib. Χέρας] κατὰ τὴν ἰσχύν.

367. Οἷον ὑβρίσθην ἄρα] ὅτι οὐδὲν αὐτῷ ἄλλο ὤφπτιται ὡς τὸ τῆς ἀσχημοσύνης, ὅτι κατὰ τῶν μηδενὸς ἀξίων ἠνδρίσαλο.

368. Μὴ, δέσποτ' Αἴας] τοῦτο Τεκμήσσης ἐστὶ, καὶ παρὸ μέρος γίγνονται αἱ παραμυθίαι· οἷα τὰ τῶν φίλων ἐστὶν ἐν ταῖς τοσαύταις συμφοραῖς παραμυθούμενων. Ἵνα ἐκεῖνος μὲν ἀπαράλειπλον ἔχῃ τὴν παραμυθίαν, οἱ δὲ ἐν μέρει τυγχάνωσιν ἀναπαύλης.

369. Οὐκ ἐκτός ; ὐκ ἄψορρον] πρὸς τὴν Τεκμησσάν φησιν· ἐκεῖνος μὲν γὰρ διαλέγεται Αἴας δεδομένος αὐτῶν. Ἐντεῦθα δὲ τῇ Τεκμήσσῃ ἐπιπλήσσει (εἰώθαμεν γὰρ τοῖς ἐγγυτέρω παῤῥησιάζεσθαι) ὐχ ὡς αἰχμάλωταν ἐξεθεινῶν.

Ib. Ἄψορρον] ὀπισθόρμητον.

Ib. Ἐκνεμῇ] νέμω, τὸ βόσκω, καὶ τὸ δίδωμι, καὶ τὸ διοικῶ ποιητικῶς. Νέμομαι δὲ, τὸ βόσκομαι·—

—" Καὶ νέμεται τὴν ὕλην τὸ πῦρ."

Ἀπὸ τούτου καὶ νέμομαι, τὸ πορεύομαι, ποιητικῶς.

371. Ὦ πρὸς θεῶν] τοῦτο ὁ χορὸς, τῆς Τεκμήσσης σιγησάσης διὰ τὴν ἐπιλίμησιν. ὁ μὲν πρὸς τοῦτο ἀποκρίνεται ὁ Αἴας, ἀλλ' ἀνοιμώζει πάλιν· ἔστι γὰρ καὶ τοῦτο ἴδιον τῶν καμνόντων, ὥστε μὴ ἀκολούθως φθέγγεσθαι.

373. Μεθῆκα τὰς ἀλάστορας] ἀλάστορας ἐνταῦθα λέγει, ἢ τὰς κακῶς κατεχρησικῶς, ἢ τὰς φονεῖς. Καὶ γὰρ τρόπον τινὰ καὶ οἱ Ἕλληνες αὐτὸν ἀπεκτόνασιν, ἀπεσφηκότες τὰ ὅπλα, καὶ τῶν παρόντων αὐτῷ γεγονότες αἴτιοι, δι' ἅπερ οὐκ ἀνίξεται ζῶν, ἀλλὰ θελήσει τεθνήξεσθαι· ὁ δὴ καὶ γέγονε.

374. Ἑλίκεσσι βουσὶ] ἵλικας, τὰ περὶ τὸ καρπὸς ψίλλια ἢ ἐνώτια λέγουσι· καὶ ἑλικώτατον ὕδωρ, τὸ ἑλικοειδῆ ἔχον τὴν ῥεῦσιν, ἢ διαυγές· ἑλικῶπις καὶ ἑλίκωψ, εὐόφθαλμος.

375. Κλυτοῖς] κλυτὰ λέγει τὰ αἰπόλια, διὰ τὰς ἐν αὐτοῖς ταραχὰς καὶ φωνάς.

377. Ἀλγηδὼ]

ΧΟΡ. Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
Οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως ἐχ ὧδ' ἔχειν.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΑΙΑ. Ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ
Κακῶν ὄργανον, τέκνον Λαρτίᾳ *,
Κακοπινέσταλόν τ' ἄλημα στρατῷ,
Ἦ πῃ πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.
ΧΟΡ. "Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κἀδύρεται."
ΑΙΑ. Ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.
Ἰώ μοι, μοι.
ΧΟΡ. Μηδὲν μέγ' εἴπῃς· ἐχ ὁρᾷς ἵν' εἶ κακῷ;

* Aldus, Λαιρτίᾳ.

377. Ἀλγοίης] καινόνισαν, ἀλγίω, ἀλγῶ· καὶ ἡ μετοχὴ, ὁ ἀλγίων, ὁ ἀλγῶν, τῷ ἀλγίοντος, τῷ ἀλγῶντος· καὶ τὸ εὐκτικὸν, ἀλγίοιμι, ἀλγεῖμι, καὶ τροπῇ τῆς μι εἰς ην, ἀλγοίην, ἀλγοίης, ἀλγοίη. Λέγεται δὲ τὸ σχῆμα τοῦτο μεταπλασμός. Μεταπλασμὸς δέ ἐστιν, ὅτι τέλος τινὸς ῥήματος εὐχρῆσεν, μεταβάλοις εἰς τέλος ἑτέρου ῥήματος εὐχρήσεν· οἷον ἐστε καὶ τὸ κλύθι· ἔδει γὰρ εἶναι κλύε, ἀπὸ τοῦ ἔκλυον, ἔκλυες, ἔκλυε· ἀλλὰ τὸ τέλος μετέβαλεν, εἰς τέλος ἑτέρου ῥήματος προσλακλικῶς, οἷον ἐστὶ τύπηθι.

Ib. Ἐπ' ἐξειργασμένοις] ἐπιτετελεσμένοις, καὶ ἔασιν ἃ ἔχουσι, κατὰ τὸ Σιμωνίδου, τὸ γὰρ γεγενημένον, ἐκ ἔστ' ἀγένητον ἔσαι.

378. Οὐ γὰρ γένοιτ' ἂν] ἤγουν, ἐκ ἔστι γὰρ τρόπος ὅπως γένοιτ' ἂν ταῦτα ἐχ ὕτω διακεῖσθαι.

Ib. Ὅπως ἐχ ὧδ' ἔχειν] ὅπως ταῦτα μὴ ὕτως σχοίη· ἐκ ὕτως διακεῖσθαι.

379, 380. Ἁπάντων—Κακῶν ὄργανον] ἀντὶ τοῦ πανοῦργε, καὶ πειρίεργε.

381. Κακοπινέσταλόν] τὸν πῖνον, ποτὲ μὲν ἐπὶ τῆς ἰδίας, ποτὲ δὲ ἐπὶ τοῦ ἤθους· ἐνταῦθα δὲ τὸν κακοήθη, ἀντὶ τοῦ κολάκευμα. Τρίμμα κακορύπαρον. Πεινῶσες γὰρ, ἀδόκιμον τὸ τρίμμη καὶ ὁ καθηρὸν. Ἄλλοτε ἄλλα ποιεῖ. Πίνα, ὁ ῥύπος, ὁ ἐνὸς ν. πίννα, τὸ ὄρεον, διὰ δύο νν.

382. Πολὺν γέλωθ'] τοῦτο μάλιστα αὐτῷ ἅπτεσθαι, τὸ τῷ ἐχθρῷ καλαγέλαστον εἶναι.

383. Ξὺν τῷ θεῷ] κινδυνεύει εἰς ἐναντίον εἶναι τὸ διανόημα. Ἐὰν γὰρ νομίζωμεν φάσκειν τὸν χορὸν, ὅτι θεοῖς ἀρέσκει γελᾶν ἐκεῖνον, καὶ ἐφήδεσθαί σοι· τοῦτο γὰρ προτροπὴν μᾶλλον φέρει εἰς τὸν θάνατον Αἴαντι. Ἀκμὴν ἂν ὕτως, ἐχ' ὅτι θεῷ ἀρέσκει γελᾶν ἐκεῖνον, ἀλλ' ὅτι θεῶν βουλομένων, καὶ τὰ κακὰ μισῆσαι εἰς τέρψιν· εἰκὸς ἂν καὶ ἡμῖν (φησὶν) βοηθῆσαι τὸ θεῖον· ἢ ὕτως, θεὸς καὶ τὸ γελᾶν καὶ τὸ κλαίειν δίδωσι. Πῶς ἂν σὲ ἔχει καλαγελάσαι Ὀδυσσεὺς, αἰτιός σοι γεγονὼς τῆς ἀτυχίας, ὅπηγε παρὰ θεῶν δίδοται;

384. Ἴδοιμι δή νιν] τῷ χορῷ τὸν περὶ θεῶν λόγον ἐμβαλλομένην, ἐκ ἐφίεται ὁ Αἴας· ἀλλ' ὑπὸ τῆς ἰδίας ὀργάμενος ἐπαίρεται· φησὶν ἂν, ἴδοιμι αὐτὸν, καίπερ ὕτως κακόμενος· ὄλλος γὰρ ὅτι ἀμύνομαι, εἰ καὶ θεοὶ συλλαμβάνουσιν αὐτῷ.

Ib. Ἀτώμενος] ἄτης πεπληρωμένος.

386. Μηδὲν μέγ' εἴπῃς] ὑποῖον καὶ τὸ ἐν Ἠλέκτρᾳ, μηδὲν μέγ' ἀύσῃς. Τοῦτο δὲ πρὸς τὸ ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.

387. Ἰὼ

ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΑΙΑ. Ἰὼ Ζεῦ, προγόνων πάτερ*,
Πῶς ἂν τὸν αἱμυλώταλον,
Ἐχθρὸν ἄλημα, τάς τε δισ-
σάρχας ὀλέσσας † βασιλῆς ‡;
Τέλος θάνοιμι κἀυτός;

ΤΕΚ. Ὅταν καὶ εὐχῇ ταῦτ' §, ὁμοῦ κἀμοὶ θανεῖν
Εὔχου· τί γὰρ δεῖ ζῆν με, σοῦ τεθνηκότος;

ΣΤΡΟΦΗ Δ.

ΑΙΑ. Ἰὼ σκότος, ἐμὸν φάος, ἔρεμβος ‖
Ὦ φαεννὸν ||| ὡς ἐμοί,
Ἕλεσθ', ἕλεσθ' οἰκήτορα,

* Ald. Ὦ—πρόπατερ. † Ald. ὀλίσας. ‡ Ald. βασιλῆς.
§ Ald. ταῦθ'. ‖ Ald. ἔρεβος. ||| Ald. Ὦ φαιννότατον.

387. Ἰὼ Ζεῦ] αἱ τοιαῦται προσφωνήσεις ἐ διαλύσει τὴν ὑπόθεσιν, παραλαμβάνεσθαι τὸ μίλλον, ἀλλὰ προσοχὴν ἐγάζονται τῷ Διαλῆς, προσδοκῶντι ὡς τὸ δεινὸν ἀπαντήσειεν.

Ib. Προγόνων] πρόγονοι, πάππος, καὶ οἱ ἀνωτέρω. Ἀπόγονοι, υἱὸς, ἔγγονος, καὶ οἱ κατωτέρω. Πρόγονοι, καὶ οἱ ἀπὸ πρότερα γάμα γεγεννημένοι, ὧν ὁ πατὴρ ἢ ἡ μήτηρ εἰς δεύτερον ἦλθε γάμον. Λέγονται δὲ πρόγονοι πρὸς τοὺς ἀπὸ τοῦ δευτέρα γάμα γεννωμένους. Ἐπίγονοι δὲ λέγονται οἱ ἀπὸ τοῦ δευτέρα γάμα.

Ib. Προγόνων πάτερ] οἱ γράφοντες πρόγονων πρόπατερ, ἐκ ἴσασι τὰ περὶ τῶν μέτρων· δεῖ ἂν πάτερ γράφειν, ὡς καὶ ἔν τινι τῶν βιβλίων εὑρῆσαι.

Ib. Πάτερ] Ἀρχηγὸς τοῦ γένης τοῦ Αἰαντος ὁ Ζεύς· ἔπως ὁ Αἰακὸς ἐλέγετο υἱὸς τοῦ Διὸς, ἐξ οὗ Πηλεὺς καὶ Τελαμών. Ὧν Ἀχιλλεὺς καὶ Αἴας,

389. Ἄλημα] πλάνη καὶ παραλογισικὴ πανοῦργημα, ἢ περίτριμμα παρὰ τὸ λίπειν.

392. Ὅταν κατεύχῃ] ἐπειδὴ τῆς παραμυθίας ἐκ ἠδυνήθη αὐτὸν μιλαθεῖναι, δοκεῖ ἐκ τούτων αὐτῶν μεταθεῖναι. Κἀμοὶ δὲν εὔχει ἀποθανεῖν. Εὔχομαι δὲ τῷ Θεῷ, καὶ εὔχομαι τῷ ἀνθρώπῳ, ὑπὲρ οὗ τὴν εὐχὴν ποιοῦμαι. Κατεύχομαι δὲ, τὸ καταρῶ.

Ib. Κατεύχῃ] εὔχομαι τῷ Θεῷ ἀντὶ τοῦ ὑπίσχομαι· ὅθεν καὶ εὐχὴ ἡ ὑπόσχεσις. Ὡς τὸ, τὰς εὐχὰς μὲ τῷ κυρίῳ ἀποδώσω.

394. Ἔρεμβος] ἔρεμβος χρὴ γράφειν διὰ τὸ μέτρον, καὶ φαενὸν, ἢ φαεινώταλον. Ὁμοίως γὰρ χρὴ εἶναι τῷ τῆς ἀντιστροφῆς κώλῳ.

395. Ὦ φαεννότατον ὡς ἐμοὶ] τυτέσιν, ὡς ἐμοὶ φαεινότερον τὸ ἡλίκ, ἐμοὶ χρῆσθαι κριτῇ· ἢ παρέλκει τὸ ὡς. Λέγει δὲ σκότος, ἐμὸν φάος, ὡς εἴτις τὸν θάνατον σωτηρίαν νομίσειεν.

396. Ἕλεσθε] ἀντὶ τοῦ ἁπλῶς λάβετε· ἴσθι δὲ ὅτι δὶ καὶ ἀντὶ τοῦ προτιμῆσαι.

397. Οὔτι

Ἔλεσθέ μ' ὅτε γὰρ θεῶν
Γένος, ἔθ' ἁμερίων
Ἔτ' ἄξιος βλέπειν τι·
ὑ' εἰς ὄνησιν ἀνθρώπων.
Ἀλλά μ' ἁ Διός γ' ἀλκίμα θεὸς
Ὀλέθριον αἰκίζει.
Ποῖ τις ἔν φύγῃ;
Ποῖ μολὼν μενῶ;
Εἰ τὰ μὲν φθίνει, φίλοι,
Τοῖς δ' ὁμῶ τέλας,
Μωραῖς δ' ἄγραις προσκείμεθα.
Πᾶς δὲ στρατὸς δίπαλτος
Ἂν με χειρὶ φονεύσει.
ΤΕΧ. Ὦ δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον

397. Οὔτε γὰρ θεῶν] ὅτε θεῶν ὅτε ἀνθρώπων γένος ὁρῶν ἔτι ἄξιόν μοι εἰς ὠφέλειαν. Ἄριστον τοίνυν ἐξεῖναι τοῦ βίου. Ἢ ὅτως, εἰς ὄνησιν ἀνθρώπων. Ὠφέλεια γὰρ οὐκ εἰσὶ μοι οἱ ἄνθρωποι, ὅτι οἱ θεοί. Τί δῆτα ζῶ;

399. Βλέπειν τιν' εἰς ὄνησιν] τὸ τινὰ, ἢ πρὸς τὸ ἁμερίων συντακτέον. Ἢ τὸ μὲν γένος κατὰ κεῖνο λάβωμεν πρὸς τοῦτο, σύναπτε δὲ τὸ τινὰ πρὸς τὸ ὄνησιν· ὥσπερ καὶ τὸ ἀνθρώπων, ἢ πρὸς τὸ ἁμερίων, ἵν' ᾖ τὸ αὐτό. Ἢ πρὸς τὸ ὄνησιν, ὅτως, ὅτι γὰρ ἄξιός εἰμι βλέπειν τὸ γένος τῶν θεῶν, ὅτι, τῶν ἁμερίων εἰς τινὰ ὄνησιν ἀνθρώπων· τοῦτ' ἔχει, ἃ δεῖ με ἀπὸ τοῦδε ξύν, εὐχόμενον τοῖς θεοῖς, καὶ μετὰ τῶν ἄλλων διάγοντα, ἵν' ἀνθρωπίνως εὐτυχῆσαί μοι γένοιτο. Ὅπως γε καὶ τὸ ἀνθρώπων εἰς τὸ ἁμερίων συνάπτων, ὅτῳ τὸ ὄνησιν ἐρεῖς.

402. Ὀλέθριον] ὀλεθρίως εἰπεῖν ἔδει· ἀλλὰ πρὸς τὸ ἐμὲ ἐπάγαγε, καὶ ἔχειν ἀσφαλῶς, οὐχ (ὥσπερ τισὶς οἴονται) ὑδέτερον.

403. Φύγῃ] γράφεται τράπῃ.

404. Ποῖ μολὼν] ποῖ ἐλθὼν παρεμπεσὼν πανλαχῇ γὰρ ἕπεσθαι ἡ Διὸς αἰκιζομένη.

405. Εἰ τὰ μὲν] τινὲς λέγουσι τὸν περὶ τῶν ὅπλων κρίσιν, καὶ τὸ φθίνει πρὸς τὴν Ἀθηνᾶν ἀποδιδόασι, καὶ ἕτερ' ἄττα· ἐγὼ δὲ αὐτὸς ἅτῳ, τὰ μὲν τῶν ἡμετέρων φθίσει καὶ φθείρεσθαι· λέγω δὲ τὸ τιμᾶσθαι, καὶ παρὰ πάντων αἰδέσιμον εἶναι, καὶ μετὰ τοῦ λελογισμένου πράττειν ὅσα καὶ θέλομι. Ἀπὸ ἐμοῦ πρώτου ἀνθοῦντα νῦν καλάμῃ, καὶ ὡς ἁδὲν ᾠήσει, παραπλησίως τοῖς προκειμένοις βρίμμασιν. Ἢ τὸ φθίνει ἀντὶ τοῦ φθείρουσι. Οὕτω τὰ μὲν ἤτοι τὰ συμβάντα μοι κακὰ φθείρουσί μοι, εἰς μνήμην ἐρχόμενα.

407. Μωραῖς δ' ἄγραις] ἀπὸ τῆς ἀναίρεσεως τῶν βοτῶν, ἃ λαβὼν μωρῶς διεχρήσατο.

408. Δίπαλτος] ἀμφοτέραις ταῖς χερσὶν, οἷον περιπλέξας με φονεύσει· πωστὶ σθένει, ὡς Δίδυμος· ἢ, ὁ στρατός με φονεύσει λαβὼν τὰ δίπαλτα δορατία, ὡς Πίος φησὶ, ἀπὸ τοῦ πάλλω. Ἀφ' ἧ ἴσως ἄλλοις ἔστος παλτὸν λέγεται τὸν κεραυνόν· ὡς ἀναθὴν παλλόμενον.

Ib. Δίπαλτος] λέγων, διπλῇ χειρὶ καὶ πάσῃ ἐνεργείᾳ. Δηλοῖ δὲ διὰ τούτου τὴν κατ' αὐτοῦ σφοδρὰν ὀργὴν τοῦ στρατοῦ.

409. Χειρὶ φονεύσει] τὴν ἀπὸ τῶν ἐχθρῶν ἐπιβουλὴν προσκαλεῖται.

410. Τοιάδ' ἄνδρα χρήσιμον φανεῖν] τοιαῦτα φανεῖν, ἃ πρότερον οὐκ ἔτλη γενναιόψυχος ὤν. Χρήσιμον, τὸ ἐπιτήδειον εἰς χρείαν, λέγει, τὸ συντελοῦν εἴς τι. Θέλει δὲ ἐνταῦθα δεῖξαι, ὅτι ἀσυντελὴς φανεῖν τοιάδε ἄνδρα, ἃ μέλλοντα ἔστος πρότερον ὑπέμεινεν ἂν φανῆσαι.

Φωνεῖν, ἃ πρόσθεν ἔτος οὐκ ἔτλη ποτ' ἄν;

ΑΝΤΙΣΤΡΟΦΗ Δ.

ΑΙΑ. Πόροι ἁλίρροθοι, παράλα τ' ἄντρα,
Καὶ νέμος ἐπάκλιον,
Πολὺν πολὺν δαρὸν τέ με *
Κατείχετ' ἀμφὶ Τροΐαν †
Χρόνον· ἀλλ' οὐκέτι μ' οὐ-
κέτ' ‡ ἀμπνοὰς ἔχουσα·
Τοῦτό τις φρονῶν ἴσῳ.
Ὦ Σκαμάνδριοι § γείτονες ῥοαί,
Εὔφρονες ‖ Ἀργείοις,
Οὐκέτ' ἄνδρα μὴ ‖‖
Τόνδ' ἴδητ', ἔπος
Ἐξερέω μέγ', οἷον ἄ

* Ald. πολύν με δαρόν τι δή. † Ald. Turn. Τροίαν.
‡ Ald. μ' οὐκίτι. § Ald. Σκαμάνδροιό. ‖ Ald. εὔφρονες.
‖‖ Ald. μι.

412. Πόροι] Ποταμοί.

413. Καὶ νέμος ἐπάκτιον] τὸ ἄλσος τῆ ὄρους φησὶ Ἰδης τὸ παράλιον. Ἀκτὴ, δὲ, ὁ κρημνώδης τόπος ἐν θαλάσσῃ· αἰγιαλὸς, ὁ ἐπίπεδος καὶ ὁμαλός.

Ib. Νέμος] ἤγουν, παραθαλάσσιον ἄλσος, ὅπερ ἐστὶ πλησίον Σκαμάνδρου καὶ τῆ Ξάνθῳ.

415. Κατείχετ'] εἶχετε. Καθέξειν γὰρ λέγεται τὸ κρατεῖν, καὶ ἔχει τὸ ἐναντίον τὸ ἀπολύειν.

416. Ἀλλ' οὐκίτι] Οὐκέτι δηλονότι.

417. Ἀμπνοὰς ἔχοντα] ἤγουν, ζῶντα.

418. Ἴσῳ] ὅτι οὐκ ἔχω ἔτι ζῆν.

419. Ὦ Σκαμάνδριοι] οὐκ ἦσαν ἡ δυσχολὴ πρὸς τὰς Τρῳὰς, ἃς τῷ Σκαμάνδρῳ μᾶλλον τὰ τῶν Ἑλλήνων αἱρεμένῳ, ἀλλ' οἷον, ἐμοὶ ἔχθραι ῥοαὶ, εὐφρονες δὲ τοῖς Ἀργείοις τοῖς ἐμοῖς ἐχθροῖς. Ταῦτα δὲ πάντα ἐστὶ τὰ ἀναχρωμένα τὸν θάνατον. Εὔφρονες Ἀργείοις διὰ τὸ ποτόν. Ἐμφρων μὲν γὰρ, ὁ φρόνιμος. Εὔφρων δὲ ὁ ἡδὺς καὶ εὐφραντικός.

420. Εὔφρονες] εὐφραντικοὶ, διὰ τὸ λούεσθαι καὶ πίνειν καὶ τἄλλα χρῆσθαι ὑμῶν.

421. Οὐκέτ' ἄνδρα] δ' νεμεσητὸν τῷ Αἴαντι μεγαλαυχεῖσθαι. Ὅταν μὲν γάρ τις ἐν μετρίᾳ διαγωγῇ, ᾖ, τότε εὐσχήμων περιφέλλεται τὰ ἑαυτῷ πλεονεκτήματα· ἀπηυδηκότα δ' ἀνδρα οὐκ ἄν τις μέμψαιτο εἰ μεγαλαυχεῖται. Οἷα καὶ Ἡρακλῆς ἐν τῷ τέλει ἄν, περὶ τῆς ἀνδρίας αὐτῷ διέξεισι. Καὶ γίγνεται ἐπίτασις τοῦ πάθους, ὑπόταν τὸ τοιοῦτο διαφθείρηται. Ἔτι δὲ αὔξεται τὸ πάθος οὐχ ὑπὸ ἄλλων λεγόμενον, ἀλλ' ὑπὸ αὐτοῦ.

423. Ἐξερῶ] κομπάσω.

Ib. Οὔτινα] οὐδένα ὄλλον δηλονότι εἶδεν ἀπὸ στρατοῦ.

427. Πρέπειν]

Τινα Τροία στρατὸν
Δέρχθη, χθονὸς μολόντ' ἀπο
Ἑλλανίδος· τανῦν δ' ἄ-
τιμος ὧδε πρόκειμαι.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Οὗτοί σ' ἀπείργειν, ἔθ' ὅπως ἐῶ λέγειν,
Ἔχω, κακοῖς τοιοῖσδε συμπεπ]ωκότα.
ΑΙΑ. Αἲ, αἲ· τίς ἄν ποτ' ᾠεθ' ὧδ' ἐπώνυμον
Τὸμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
Νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοί,
Καὶ τρίς· τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω.
Ὅτε πατὴρ μὲν τῆσδ' ἀπ' Ἰδαίας χθονὸς
Τὰ πρῶτα καλλίστ' ἀριστεύσας στρατῷ,

427. Πρόκειται] προκείμενος εἰμὶ εἰς ὄψιν τάττων δηλονότι.

428. Οὗτοί σ' ἀπείργειν] ὁ χορός ἐστιν ὁ λέγων· ἐνδίδωσι γὰρ τῷ χορῷ κάμνοντι. Ὅπως ἐστὶν εἶδος παραμυθίας. Ἡ τέκμησσα τοῦτο οὐκ οἶδεν. Ἀπείργω τινὰ βυλόμενον, ἐνεργοῦντι· ἀνείργω δὲ τὸν ἀρξάμενον, καὶ ὁσονοῦν τοῦ ἔργου ἀνύσαντα.

429. Ἔχω] ἀντὶ τοῦ δύναμαι.

430. Αἲ, αἲ] ἐντεῦθεν μακρὰν ῥῆσιν μηκύνει ὁ Αἴας. Ἔστι καὶ τοῦτο ἀρχαιότροπον, τὸ πρὸς τὰς ὀνομασίας ἐκφέρειν τὰς συμφορᾶς. Καλῶς μὲν ἂν πραττων οὐκ ἂν ἐμέμνητο τοῦ διανοήματος, ἐν συμφορᾷ δὲ ὤν.

Ib. Ἐπώνυμον] συνωδὸν ἔσεσθαι καὶ ἐπώνυμον τοῖς ἐμοῖς κακοῖς. Ἔπλαξε δὲ τὸ ὄνομα παρὰ τὸ αἲ αἲ τὸ θρηνικόν.

431. Ξυνοίσειν] συνδραμεῖν, καὶ συνεπιχθῆναι, καὶ εἰς ταυτὸν ἐλθεῖν.

433. Ἐντυγχάνω] περιπίπτω.

434. Ὅτε] ἡ σύνταξις, ὅτε ὁ πατὴρ Τελαμὼν ἦλθεν ἀπὸ τῆς Τροίας εἰς τὸν οἶκον φέρων πᾶσαν εὔκλειαν, τὰ πρῶτα καλλιστεῖα καὶ ἐξαίρετα γέρα τῷ στρατῷ, λέγω τὴν Ἡσιόνην, ἀριστεύσας καὶ ἄριστος φανείς. Πρῶτος γὰρ τὸ Τροίας εἰσεπήδησε τεῖχος. στρατὸν δὲ λέγει ὃν κατὰ τῆς Τροίας Ἡρακλῆς ἠγάγετο, ἀμυνόμενος Λαομέδοντα, διὰ τὸ μὴ τοὺς ἵππους λαβεῖν, οὓς ὑπέσχετο αὐτῷ δώναι, εἰ τὸ κῆτος ἀνέλοι. Ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. Τὰ δὲ εὔκλεια καὶ τὰ πρῶτα καλλιστεῖα ταύτον ἐστιν, εἰ καί τινες τῶν ἀμαθῶν τὸ ἀριστεύσας ἀντὶ τοῦ ὡς ἄριστος λαβὼν, λέγωσι, βυλόμενοι συνδιαλαχέναι τὰ πρῶτα καλλιστεῖα, ἃ οὐκ ἄλλο ἠδύνηντο ἢ εὔκλεια. Οὕτω δὲ εὐρήσεις καὶ προϊὼν· λέγω δὴ τὸ, Ὧν αὐτὸς ἔσχε σέφανον εὐκλείας μέγαν.

435. Τὰ πρῶτα καλλιστεῖ'] ἦλθε γὰρ ὁ Ἡρακλῆς πάλαι πορθήσας τὴν Ἴλιον, ἔχων μεθ' ἑαυτοῦ καὶ τοὺς ἀρίστους τῶν Ἑλλήνων, ἤγουν, τὸν Τελαμῶνα καὶ ἄλλους. Μετὰ δὲ τὸ πορθῆσαι, ἔδωκε τῷ Τελαμῶνι γέρας, τὴν ἀδελφὴν Πριάμου τὴν Ἡσιόνην· μεθ' ἣς ἐγέννησε τὸν Τεῦκρον. Ἐκάλεσε δὲ τοῦκρον, ἵνα δείξῃ ὅτι ὁ παλαιὸς ἐκεῖνος Τεῦκρος οὐκ ἀρχόγονος Πριάμου καὶ Ἡσιόνης.

Ib. Τὰ πρῶτα] ἤγουν, τὰ τιμιώτατα γέρα.

Ib. Ἀριστεύσας] ἤγουν, ἔπαθλα τῶν ἀριστέων εἰληφώς.

Πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
Ἐγὼ δ' ὁ κείνῳ παῖς, τὸν αὐτὸν εἰς τόπον
Τροίας ἐπελθὼν σὺκ ἐλάσσονι σθένει,
Οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
Ατιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
Καίτοι τοσοῦτόν γ' ἐξεπίσασθαι δοκῶ,
Εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν, ὧν πέρι
Κρίνειν ἔμελλε κάρτος * ἀριστείας τινί,
Οὐκ ἄν τις αὖτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ·
Νῦν δ' αὖτ' Ἀτρεῖδαι φωτὶ πανουργῷ Φρένας
Ἔπραξαν, ἀνδρὸς τοῦδ' ἀπώσανλες κράτη.
Κεἰ μὴ τόδ' ὄμμα καὶ Φρένες διάσροφοι
Γνώμης ἀπῆξαν † τῆς ἐμῆς, σὺκ ἄν πόλε

* Aldus, κράτος. † Ald. Turn. in marg. ἀπῆξαν.

439. Ἀρκίσας ἐμῆς] τὸ ἀρκίσας, σὺκ ἀντὶ τοῦ πράξας, ὥς τινες οἴονται, ἀλλ' ὥσπερ φαμὲν τὸ ἀριστός εἰμι τόδε, ἕτω καὶ τὸ ἀρκίσας ἔργα νοῶμεν, εἰ καὶ χιπτὸν ὂν ἐκφεύγει τὸν νῶν τοῖς μὲ τελείοις τὴν συνταξιν.

441. Καίτοι] τοσοῦτον δοκῶ γινώσκειν, ὅτι εἰ ὁ Ἀχιλλεὺς εἴη ζῶν, καὶ ἔμελλε μετὰ κρίσεως διδόναι τινὶ κράτος ἕνεκα ἀριστείας περὶ τῶν ἰδίων ὅπλων, σὺκ ἂν τις ἄλλος ἀντ' ἐμοῦ ἔμαρψεν αὐτά. Ἄλλοι δὲ συντάσσουσιν ὅπως· καίτοι τοσοῦτόν γε δοκῶ γινώσκειν, ὅτι εἰ ὁ Ἀχιλλεὺς εἴη ζῶν, καὶ ἔμελλε κρίνειν, ἤγουν, κρίσιν καὶ ἀγῶνα ποιῆσαι περὶ τῶν ἰδίων ὅπλων διδόναι τινι κράτος καὶ βραβεῖον ἕνεκα ἀριστείας αὐτὰ τὰ ὅπλα, σὺκ ἄν τις ἄλλος ἀντ' ἐμοῦ ἔμαρψεν αὐτὰ, τὰ ὅπλα δηλονότι.

442. Εἰ ζῶν Ἀχιλλεὺς] χάριν τὸ διανόημα. Ἐπιξιῶν δὲ τὰς ἑαυτοῦ συμφορὰς, κεφαλίγει πρῶτον τὰ κατὰ τὴν ἀδικίαν τῆς κρίσεως· τῶν γὰρ ἐσι τὸ πρῶτον αὐτὸν λέλυπηκός. Εἶπων δὲ τὰ ἴδια κατορθώματα, διεξῆλθε καὶ συγγενικὴ αὐτῷ ἡ παρὸ τὸ χωρῖσι ἀνδραγαθία.

443. Κρίνειν ἔμελλε κάρτος] ἀντὶ τοῦ μετὰ κρίσεως διδόναι τινὶ κράτος ἀριστείας. Ἤγουν, ἔμελλε κρίνειν τίς ὑκρατῶν ἐσι διὰ τὰς αὐτῷ ἀνδραγαθίας· ὥστις ἄλλος κατίσχειν ἂν ταῦτα παρὸ ἐμοῦ ἐν ταῖς ἀριστείαις.

Ib. Κρίνειν ἔμελλεν] μὴ τοῖς ἄλλοις ἀκολουθῶν καὶ αὐτός. Τὸ κρίνειν ἀντὶ τοῦ μετὰ κρίσεως διδόναι λέγει, ἵνα συντάξῃ τὸ τινί. Ἀλλ' εἰδὼς ὡς, κρίνει πᾶσιν ὁ θεῖνα τὰ δίκαια, λέγομεν, τὸν αὐτὸν λογισμὸν ἔχει κἀνταῦθα.

445. Πανουργῷ] πάντα πράττοντι καὶ μηδὲν ὑποσελλομένῳ. Πανουργῶ καὶ ἀναιδεῖ.

446. Ἔπραξαν] εἴ τις τὸ ἔπραξαν ἀντὶ τοῦ ἔδωκαν λέγει, ἁμαρτάνει. Καὶ γὰρ ὂν πρέπον φαμὲν, ὅτι ὁ θεῖνα τὸς νόθως καβαλῶν ἄρχοντας, τὴν βασιλείαν τῷ δεινὸς παιδὶ ποιήσει κατὰ νόμους εἰς ταύτην ἀριστοτοκεῖ, ὕτως ἔχει καὶ τοῦτο. Ἀπώσανλες γὰρ οἱ Ἀτρεῖδαι τὸν Αἴανλα, Ὀδυσσεῖ τὰ ὅπλα ἐποίησαν. Τυτίσιν, αὐτὸν κύριον εἶναι τούτων κατέσησαν.

Ib. Ἀνδρὸς τοῦδε] δεικλικῶς, ἀνθ' ἐμοῦ.

Ib. Κράτη] νίκην.

447. Φρένες διάσροφοι] ἤγουν, παράφοροι.

448. Γνώμης ἀπῆξαν τῆς ἐμῆς] οἷον, εἰ μὴ

Δίκην κατ᾽ ἄλλα φωτὸς ὧδ᾽ ἐψήφισαν·
Νῦν δ᾽ ἡ Διὸς γοργῶπις ἀδάμαστος θεὰ
Ἤδη μ᾽ ἐπ᾽ αὐτοῖς χεῖρ᾽ ἐπεντύνοντ᾽ ἐμὴν,
Ἔσφηλεν, ἐμβαλοῦσα λυσσώδη νόσον,
Ὡς ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς.
Κεῖνοι δ᾽ ἐπεγγελῶσιν ἐκπεφευγότες,
Ἐμοῦ μὲν οὐχ ἑκόντος. Εἰ δέ τις θεῶν
Βλάπτοι, φύγοι γ᾽ ἂν χ᾽ ὡς κακὸς τὸν κρείσσονα.
Καὶ νῦν τί χρὴ δρᾶν, ὅστις ἐμφανῶς θεοῖς
Ἐχθαίρομαι; μισεῖ δέ μ᾽ Ἑλλήνων στρατός·
Ἔχθει δὲ Τροία πᾶσα, καὶ πεδία τάδε.
Πότερα πρὸς οἶκους, ναυλόχους λιπὼν ἕδρας,
Μόνος τ᾽ Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
Καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ᾽ εἰσιδεῖν

μὴ διὰ ἔκστασιν τῶν δέοντος ἐξέπεσον αἱ διάνοιαί μου, οὐκ ἂν ποτε ἄλλως ὧτινας ἀδίκως κατέψηφίσαντο. Ὡς καὶ παρ᾽ Ὁμήρῳ

"Ἦ γὰρ ἂν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο."
Ἀπῆξαν δὲ ἀντὶ τοῦ ἀπήγαγον. Ἀπεῖρξαν δὲ, ἀντὶ τοῦ ἐκώλυσαν.

449. Ἐψήφισαν] ἐψηφίσαντο. Ψηφίζω γὰρ τὸ λογαριάζω· ψηφίζομαι δὲ τὸ ψήφῳ τίθημι.

450. Γοργῶπις] καταπληκτικὴ, ἢ τὴν τῆς Γοργοῦς κεφαλὴν, δίκην ὀφθαλμοῦ, ἐν τῇ ἀσπίδι ἔχουσα.

Ib. Ἀδάμαστος θεὰ] παρθένος, ἄζυγος.

452. Ἔσφηλεν] σφαλῆναι ἐποίησεν.

455. Ἐμοῦ μὲν οὐχ ἑκόντος] γράφεται οὐκ ἔχοντος. Τὸ ἔγκλημα τῆς φυγῆς αὐτῶν. Πάντου δὲ γενναίως ἐμμένει τῷ λήμματι· τὸ γὰρ ἐξ ἑαυτῷ ἀνηρηκέναι φησὶ τοὺς Ἕλληνας, καὶ ἡττῆσθαι ὑπ᾽ ἐκείνων, ἀλλὰ διὰ τὴν ἐπήρειαν τῆς θεοῦ.

456. Φύγοι γ᾽ ἂν] φεύγει τις ἀδικόμενος ὑπό τινος· φεύγει φυγαδευόμενος καὶ ἐξορίζομενος· καὶ φεύγει κατηγορούμενος· ἐξίφυγε δὲ, ἀντὶ τοῦ ἐξελύσατο ἑαυτόν. Διαφεύγει δέ τι, ὅταν παραδράμῃ δικόμενον, ἢ ὅταν παρεμβῇ λαθών, ἢ ὅταν κρατηθὲν διολισθήσῃ.

457, 458. Θεοῖς ἐχθαίρομαι] διὰ τὸ πεπλανῆσθαι ὑπὸ τῆς θεοῦ. Ἀπὸ τοῦ ἔχθω τὸ μισῶ, ἔχθος τὸ μῖσος, καὶ ἐχθαίρω, τὸ μισῶ, καὶ ἐχθαίρομαι, τὰ μισοῦμαι.

460. Ναυλόχους ἕδρας] τὸν ναύσταθμον, ἔνθα αἱ νῆες ἵστανται κατὰ λόχον· τουτέστι κατὰ τάξιν.

461. Μόνος τ᾽ Ἀτρεΐδας] τὸ μόνος μὴ ὕστερον νόει ὡς ἀπελθόντος αὐτοῦ μόνου οἱ Ἀτρεΐδαι καίπερ ληφθήσεσθαι ἔμελλον· (ἀνόητον γὰρ, τοῦ ἄλλου παρόντος αὐτοῖς στρατοπέδου) ἀλλὰ τοῦτο λέγει, ὡς μόνος αὐτὸς καταλείψει μὴ τοῦτον ἔχοντας.

Ib. Περῶ] ἀντὶ τοῦ περάσω.

462. Καὶ ποῖον ὄμμα] αἰσχύνεται ἀντὶ ἀρίστων φανῆναι τῷ πατρὶ, καὶ φυγὰς ἀκύων. Δαιμονίως δὲ ἀνθυπάγει αὐτῷ καὶ τὰ τῆς ἀπαλλαγῆς· καὶ τοῦτο ἀπαλύει, ἵνα μὴ λυθῇ ἡ ὑπόθεσις.

464. Γυμνὸν

Γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ,
Ὧν αὐτὸς ἔσχε σέφανον εὐκλείας μέγαν;
Οὐ ἔστι τἔργον τλητόν· ἀλλὰ δῆτ' ἰὼν
Πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις,
Καὶ δρῶν τὶ χρηστὸν, εἶτα λοίσθιον θάνω;
Ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράνοιμί πω.
Οὐκ ἔστι ταῦτα· πεῖρά τις ζητητέα
Τοιάδ', ἀφ' ἧς γέροντι δηλώσω πατρὶ,
Μήτοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς·
" Αἰσχρὸν γὰρ ἄνδρα τῷ μακρῷ χρήζειν βίου,
" Κακοῖσιν, ὅστις μηδὲν ἐξαλλάσσεται.
" Τί γὰρ ποτ' ἦμαρ ἡμέρα τέρπειν ἔχει,
" Προσθεῖσα, κἀναθεῖσα τὸ γε καθανεῖν;
" Οὐκ ἂν πριαίμην ὄδενὸς λόγου βροτὸν,

464. Γυμνὸν φανέντα] ἀντὶ τοῦ ἔρημον. Μεγαλοφυῶς δὲ οἴεται ἑαυτὸν τὸ πᾶν εἶναι. Τὸ δὲ γυμνὸν καὶ τὸ ἄτερ, ἐκ παραλλήλου, ἀντὶ τοῦ μεμονωμένον καὶ κεχωρισμένον τῆς ἀριστείας, ἤγουν, τῶν ἕνεκα ἀριστείας γερῶν.

465. Ὧν αὐτὸς] μὴ λάβῃς εἰς τὸ ὧν ἔξωθεν τὸ ἀπὸ, ἀλλ' ἅπαξ λέγει, τῶν ἀριστείων σέφανον μέγαν ἔσχεν αὐτὸς εὐκλείας καὶ δόξης. Ἔστι δὲ τὸ εὐκλείας πρὸς τὸ σέφανον συναγόμενον. Οὐ γὰρ ἕτερός ἐστιν ὁ τῶν ἀριστείων σέφανος ἀλλ' ἡ εὐκλείας σέφανος.

467. Πρὸς ἔρυμα] πρὸς τὸ τεῖχος, ἢ τοὐλίχνιον. Ἔρυμα γὰρ, καὶ φρούριον, καὶ προλίχνιον, ταυτόν.

Ib. Πρὸς ἔρυμα Τρώων] μέρος ἤν τι τοῦ τῆς Τροίας τείχους σαθρὸν, ὃ φοβέμενοι Τρῶες μὴ παρθηθεῖεν ἐκεῖθεν, ἄνδρας πρὸς τοῦτο συνεχεῖς κατέστησαν φυλακῆς ἕνεκα, ὃς νῦν καλεῖ ἔρυμα.

Ib. Ξυμπεσὼν] συμπεσεῖν, τὸ συνελθεῖν εἰς μάχην· προσπεσεῖν, τὸ ἐξαίφνης μὴ εἰδότα τινὰ ἀποκτεῖναι.

469. Ἀλλ' ὧδέ γ' Ἀτρείδας] ἀλλ' ἐφησθήσονται οἱ Ἀτρεῖδαι ἐάν τι γενναῖον δράσας πρὸς τῶν Τρώων ἀπεθάνω, ἀγνοοῦντες ὅτι ἐκόσιος γέγονέ μοι ὁ θάνατος. Καλῶς δ' ἐκ ἐπήνεγκε τὴν ἀληθῆ, δόξαν, ἵνα ἂν δράσῃ, ἄπειρ αὐτὸς ὑπονοεῖ.

470. Οὐκ ἔστι ταῦτα] ὠδὶν εἰσι ταῦτα, ἤγουν, ὧδὲ τὸ πᾶς ἕδρας τὰς ναυλόχους λιπεῖν, καὶ ἀπιέναι πρὸς τὸν πατέρα, ὅτι μὴν τὸ εἰς μάχην συνελθεῖν, εἶτα τελευταῖον ἀποθανεῖν.

Ib. Οὐκ ἔστι ταῦτα] ἤγουν, ὅτι τὸ τὰς ἕδρας τὰς ναυλόχους λιπεῖν, καὶ ἀπιέναι πρὸς τὸν πατέρα· ὅτε μὴν τὸ εἰς μάχην συνελθεῖν εἶτα τελευταῖον ἀποθανεῖν.

472. Μήτοι φύσιν γ' ἄσπλαγχος] τυτέστιν ἀσθενῆ, καὶ ἀλλοίαν παρὰ τὴν τοῦ πατρός. Ἄσπλαγχνος δὲ, ἄτολμος, ταπεινὸς, δειλός, ψυχρὸς· σπλαγχνὶς γὰρ, ἡ καρδία. Ἀφ' ἧς καὶ εὔσπλαγχνος ὁ εὐκάρδιος καὶ ἀνδρεῖος· ἄσπλαγχνος δὲ, ὁ ἀκάρδιος καὶ δειλός.

473. Τῷ μακρῷ χρήζειν βίου] τῆς ἐπὶ πολὺ ἐκτεινομένης ζωῆς. Αἰσχρὸν δὲ ἐδὴ Δ, ἀδικον, δειλὸν, ἄκοσμον, ἄμορφον.

Ib. Αἰσχρὸν γὰρ] γνωμικόν.

474. Ἐξαλλάσσεσθαι] ὅστις διαλλαγὴν οὐ δέχεται, ἀεὶ ἐν κακοῖς ἐξετάζεται.

475. Τί γὰρ ποτ' ἦμαρ] τί γὰρ ἡμέρα μέλει ἔχει

" Ὅσις κεναῖσιν ἐλπίσιν θερμαίνεται·
" Ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
" Τὸν εὐγενῆ χρή. Πάντ' ἀκήκοας λόγον."
ΧΟΡ. Οὐδεὶς ἐρεῖ ποθ', ὡς ὑπόβλητον λόγον,
Αἴας, ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
Παῦσαί γε μέντοι, καὶ δὸς ἀνδράσιν φίλοις
Γνώμης κρατῆσαι, τάσδε φροντίδας μεθείς.
ΤΕΚ. Ὦ δέσποτ' Αἴας, " τῆς ἀναγκαίας τύχης
" Οὐκ ἔστιν ὅδε μεῖζον ἀνθρώποις κακόν."
Ἐγὼ δ' ἐλευθέρᾳ μὲν ἐξέφυν πατρὸς,
Εἴπέρ τινος, σθένοντος ἐν πολύτῳ Φρυγῶν·
Νῦν δ' εἰμὶ δούλη· θεοῖς γὰρ ὧδ' ἔδοξέ που,

ἔχει (προσθεῖσα τὸ ζῆν καὶ ἀναβαλλομένη τὸ θανεῖν) τίμιον τὸν ἄνθρωπον;

478. Θερμαίνεται] χλιαίνεται, θάλπεται· τὸ γὰρ τοιοῦτον ἑξαπατᾷν ἴσιν ἑαυτὸν, ἐν ψευδολογίᾳ διάγοντα. Ἄλλως· θερμαίνεται, ἤγουν, θαῤῥεῖ, καθ' ὃ λέγεται θάλπον παρ' Ὁμήρῳ τὸ θάρσος, κατ' ἐναντιότητα τοῦ δέος, ὃ ψυχρὸν αὐτὸς λέγει, Ψυχρὸν δέος εἶλεν.

479. Ἀλλ' ἢ καλῶς ζῆν] φιλοσόφως τὸ καλὸν ἐν ἀμφοτέροις.

480. Τὸν εὐγενῆ] τὸν μεγαλοπρεπῆ καὶ γενναῖον· εὐγενὴς γὰρ, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. Καὶ ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ εὐγενὴς ὁ μεγαλοπρεπὴς, καὶ γενναῖος· καὶ εὐγενὴς ἦθος, τὸ ἀγαθὸν, καὶ πεπαιδευμένον, καὶ ὄγκον ἔχον· καὶ εὐγενὴς ψυχὴ, καὶ εὐγενὴς λόγος.

481. Οὐδεὶς ἐρεῖ] παραμυθία τῶν φίλων Αἴαντος καὶ τῆς αὐτοῦ γυναικός.

Ib. Ὡς ὑπόβλητον λόγον] γνήσια τῆς διανοίας τὰ ἐρημίαν, καὶ οὐχ ὑπόβλητα. Οἰκεῖα δὲ σαυτῷ εἶπας· ὅμως γε μὲντοι παῦσαι, τὸ πᾶν ἀναθεὶς ἡμῖν.

Ib. Ὑπόβλητον λόγον] ὑπόβλητα καλεῖται τὰ νήθη τῶν παιδίων, διὰ τὸ ὑπ' αὐτὰς τιθέναι τὰς πλείστας τῶν γυναικῶν, ἑτέρων τέκνα μητέρων, ὥστε καταπαῦσαι τὰς ἑαυτῶν ἀνδρας, γνήσια ἑαυτῶν εἶναι τὰ ὑπ' αὐτὰς κλαυθμυρίζοντα βρέφη.

485. Ὦ δέσποτ' Αἴας] Τίμησσης ὁ λόγος· ὃ γὰρ δεῖ τὸν χορὸν μηκύνειν τὸν λόγον· μικτὸς δὲ ὁ λόγος· τὸ μὲν γὰρ αὐτῷ γενναῖον καὶ ἐλευθέριον διὰ τὴν παῤῥησίαν τῆς φύσεως· (δούλη γὰρ ἐπάναγκες γέγονε) τὸ δὲ, συναρμόζον τοῖς καιροῖς, δόλια τὴν φιλοσοφίαν ἐμφαῖνον. Καὶ ὅταν τὰ ἑαυτῆς καταβάλῃ, τεχνικῶς ἐπιχειρεῖ, παλθακώτερόν πως καθιστῶσα τὸν Αἴαντα. Διὸ ἂν αὐτῆς εἶναι τοὺς λόγους, ὅτι διὰ τὴν ἐλευθερίαν παῤῥησιάζεται.

Ib. Ὦ δέσποτ' Αἴας] ταῦτα ἐκ τῶν Ὁμήρου μεμίμηται, ὅτι Ἀνδρομάχη πρὸς τὸν ἴδιον ἄνδρα Ἕκτορα εἰς πόλεμον ἐξερχόμενον δυσπαθοῦσα ἐπεχείρει κάμπτειν εἰς ἔλεον, καὶ τῆς ὁρμῆς ἐπισχεῖν.

Ib. Τῆς ἀναγκαίας τύχης] τῆς δυσλυχίας. Τεχνικῶς ὁ λόγος ἐκ προοιμίου, καὶ εἰς ἔλεος ἱκανὸς ἐπισπάσασθαι. Διπλῶς δὲ φησι τὰ ἀναγκαῖον, ποτὲ μὲν, ἐπὶ τῶν κατὰ φύσιν ἀκολουθίαν τινὰ ἐχόντων· (ὡς ἂν εἴποιμεν ἀναγκαίως τὸ πῦρ θερμὸν, καὶ τὸ γάλα λευκὸν) ποτὲ δὲ ὡς ἐπὶ τῶν ἐξ ἀνάγκης γιγνομένων, ὡς καὶ νῦν ἀναγκαίας τύχης τῷ βίῳ φησί.

488. Σθένοντος ἐν πολύτῳ, εἴπερ τινος τῶν Φρυγῶν] ἀντὶ τοῦ, ὡς οὐκ ἄλλου τινός.

489. Θεοῖς γὰρ] συνίζησις. Τὸ δὲ που μειοῦται.

490. Καὶ

Καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν, ἐπεὶ
Τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σά,
Καί σ' ἀντιάζω τῶρός τ' Ἐφεσίᾳ Διὸς,
Εὐνῆς τε τῆς σῆς, ἣ συνηλλάχθης ἐμοί,
Μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν,
Τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν ἀφεὶς τινί.
Ἦν γὰρ θάνῃς σὺ, καὶ τελευτήσας ἀφῇς,
Ταύτῃ νομιζε κἀμὲ τῇ τόθ' ἡμέρᾳ,
Βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο,
Ξὺν παιδὶ τῷ σῷ δουλίαν * ἕξειν τροφήν.

* Aldus, δούλιον.

490. Καὶ σῇ μάλιστα χειρί] τῇ αἰχμαλωτίσασῃ με.

491. Τὸ σὸν λέχος ξυνῆλθεν] τὸ ξυνῆλθεν ἀπορίαν τινὰ ἔχει, διὰ τὸ δοκεῖν πρὸς αἰτιατικὴν συντάσσεσθαι· τὸ δ' οὐκ ἔχει τοιοῦτον. ἀλλ' ὥσπερ φαμὲν, συνῆλθον τὴν σὴν οἰκίαν, ἀντὶ τοῦ σὺν σοὶ τὸν οἶκον ὤδευσα· ἔνιοιαν γὰρ κοινωνίας ἡ σὺν παρίσησιν, εἰ καὶ μὴ τὸ τὴν κοινωνίαν ποιῶν δείκνυσι πρόσωπον· ὕτω δὲ καὶ πανταῦθα, συνῆλθον τὸ σὸν λέχος, ἦγον, μετὰ σοῦ τὴν σὴν κοίτην ἔδην, καὶ κοινωνὸν με ταύτης ἐποίησαι. Ἢ τὸ κατὰ πρὸς τὸ λέχος ἄξωθεν λάμβανε, ὕτω, συνῆλθόν σοι κατὰ τὸν τοῦ λέχος, ἦγον, ἐν σοὶ κατίσην ὡ δούλη, ἀλλὰ γυνὴ εἶναί σοι. Τὸ δὲ τοιγαροῦν ἀντὶ τοῦ ἀληθῶς, τό σοι ἁρμόττον σπεύδω, καὶ κάλλιστα τῶν σῶν φρονῶ.

Ib. Εὖ φρονῶ τὰ σὰ] εὖνης σοι καθίσταμαι, εὖ νοῶ τοῖς σοῖς· φρονῶ αἰτιατικῇ συντάσσεται, καὶ τὸ εὖ φρονῶ, ἐπὶ διακειμένου ἐρῶ· τὸ δὲ εὐφρονῶ, ἐοτικῇ, ἐνίοτε καὶ αἰτιατικῇ.

492. Καὶ σ' ἀντιάζω] ἀντὶ τοῦ παρακαλῶ, κάλλιστα δὲ ἀμφοτέρως τοῖς ἔρκοις ἐχρήσατο. Μέγιστον γὰρ δικαίωμα τὸ τῆς αὐτῆς ἑστίας ἐπιτυχεῖν, ὁπότε καὶ τῶν πολεμίων φειδόμεθα διὰ ταῦτα· καὶ τὸ σεμνὸν τῆς κοίτης χρήσιμον, ὅπω γε καὶ τὸ σεμνότατον τῶν πρεσβύπων περὶ δικαιωμάτων πρὸς ἄνδρα καὶ γυναῖκα διαλεγόμενον, αὐτὸ τοῦτο ὄμνυσι, Σὴ Δ' ἱερὴ κεφαλὴ, καὶ γνήσιον λέχος· ὥρα δὲ ὅτι ἐκαλίραθεν θηλείαις ὁ τοιοῦτος λόγος πρόσκειται. Ἐπὶ δὲ τῆ Ὀδυσσέως καὶ ἄλλο τι οἰκειότερον ὄνομα ἐξεῦρε· Ἀσπάσιοι λάτρειο παλαιᾶ θεσμὸν ἵαντο, τὴν εὔνοιαν δηλῶν τῶν ὕπω συνιόντων ἐπιμοιρῆ παιδοποιίας.

Ib. Ἐφεσίᾳ Διὸς] ἀντὶ τῆ συνοίκω· οἱ μὲν γὰρ συνοικοῦντες τὸν Ἐρίσιον Διὰ πρόστινασιν· οἱ δὲ φίλοι, τὸν φίλιον, οἱ δὲ ἐν τῇ μιᾷ τάξει, καλαλεγόμενοι καὶ μιᾷ συμμορίας ἑταιρίου. Οἱ δὲ ξένοι, ξένιοις· οἱ δὲ ἐν ὅρκοις συμφανίας ποιοῦντες, ὅρκιον· οἱ δὲ ἐρόμενοι, ἱκέσιον· οἱ δὲ ἀδελφοὶ, ὁμόγνιον.

493. Συνηλλάχθης] συναλλαγὰς ἔχεις, γάμῳ συνεζεύχθης, συνηρμόσθης· ὅθεν καὶ συνάλλαγμα.

495. Τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν] ἡ ὑπὸ πρὸς τὸ χειρίαν· ὑποχειρίαν δός τινι τῶν ἐχθρῶν σου. Εἰδυῖα δὲ ἀγριαίνοντα τὸν Αἴαντα πρὸς τὰς ἐπιτιμήσεις, διαβρίδην μὲν ἔφησι. Μὴ διαφθείρε σαυτόν. Στοχαζομένη δὲ τῆ κυρῇ, ἔξωθεν περιέρχεται, τὰ ὑπολελειμμένα λέγουσα· ὅτι ὑποχειρίαν με τοῖς ἐχθροῖς σὺν τῷ παιδὶ καταλείψεις.

496. Τελευτήσας] τὸν βίον δηλονότι. Τελευτῶ τὸ ἔργον, καὶ τελευτῷ ἀντὶ τοῦ ἀποθνήσκω, ἐφ' ᾧ συνυπακούεται τὸν βίον, ἵν' ᾖ τελευτῶ τὸν βίον, ἦγον τελευτῶ καὶ καλαγρίφω τὸ αὐτό. Ἔγει δὲ τὸ τελεύτω καὶ τὸ καταγρίφω, ἔγει δὲ καὶ τὸ μεταλλάττω τὰ αὐτά. Δηλοῖ γὰρ τὸ ἀποθνήσκειν.

497. Ταύτῃ] ἀντὶ τοῦ ὕτως, κατὰ τοῦτο τὸν τρόπον.

499. Δούλιαν ἕξειν τροφὴν] ἡ ψιλὸν τὸ τῆς δουλίας

Καί τις πικρὸν προσφθέγμα δεσποτῶν ἐρεῖ,
Λόγοις ἰάπτων, Ἴδετε τὴν ὁμευνέτιν
Αἴανος, ὃς μέγιστον ἴσχυσε στρατῷ,
Οἵας λατρείας, ἀνθ' ὅσα ζήλα τρέφει.
Τοιαῦτ' ἐρεῖ τις· κἀμὲ μὲν δαίμων ἐλᾷ,
Σοὶ δ' αἰσχρὰ τἄπη ταῦτα καὶ τῷ σῷ γένει.
Ἀλλ' αἴδεσαι μὲν πατέρα τὸν σὸν, ἐν λυγρῷ
Γήρᾳ προλείπων· αἴδεσαι δὲ μητέρα
Πολλῶν ἐτῶν κληρεῦχον, ἥ σε πολλάκις
Θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν.
Οἴκτειρε δ', ὦ ναξ, παῖδα τὸν σὸν, εἰ νέας
Τροφῆς στερηθεὶς, σῦ διοίσεται μόνος
Ὑπ' ὀρφανιστῶν, μὴ φίλων. ὅσον κακὸν

ἀυλειας εἶπεν, ἀλλὰ καὶ ὅσα ἐνεστιν εἰπεῖν τινα ἥδοντα αὐτὸν ἐν ἀυλείᾳ. Καὶ ἡ τοιαύτη δὲ διδασκαλία, Ὁμήρου·

"Μὴ παῖδ' ὀρφανικὸν θείης, χήρην τε γυναῖκα."

Ἀποσρέψαι δὲ βούλεται αὐτὸν διὰ τῶν τοιούτων λόγων.

Ib. Δυλίαν] τὸ ἀυλίαν διὰ τοῦ ῦ μίτυν κανόνα ἰατογραφεῖται, καὶ ἔστιν Ἰωνικὴς διαλέκτου, ὡς καὶ τὸ προμηθίαν, καὶ ἀληθίαν, καὶ τὰ τοιαῦτα· οἱ δὲ διὰ διφθόγγου αὐτὸ γράφοντες, καὶ ὅτι οἱ ἀύλιον λέγοντες, ὀ καλῶς γράφουσιν.

501. Λόγοις ἰάπτων] γράφεται ἀτίζων, ὑβρίζων, παρὰ τὸ Ὁμηρικόν·

τὸ "Ἕκτορος ἦδε γυνή."

503. Τρίφει] αὔξει· ἴχη.

504. Δαίμων ἐλᾷ] δαίμων τὸν, ἡ ἀυλεία, ἢ ἡ δυσλυχία· ἐλᾷ δὲ ἀντὶ τοῦ ἐλάσει, ἵς ταῦτα ἀηδονότι.

505. Σοὶ δ' αἰσχρὰ τἄπη] καὶ διὰ τὴν εὐγένειαν καὶ διὰ τὴ ἀνδρίαν· διὰ μὲν τοῦ σοὶ, τὴν ἀνδρίαν· διὰ τοῦ τῷ σῷ γένει, τὴν εὐγένειαν, τὸς προγόνους. Θαυμαςῶς δὲ ἡ προσθήκη τῷ γένος. Αἴσχος γὰρ προστρίψῃ καὶ τῷ υἱῷ, ἐπὶ τοιούτοις αὐτὸν καταλείπων.

506. Ἀλλ' αἴδεσαι μὲν] καλῶς ἐπὶ τοῦ πατρὸς, ἐν γήρᾳ μακρῷ· ἐπὶ δὲ τῆς μητρὸς, πολλῶν ἐτῶν κληρεῦχον. Ὁ γὰρ ἐπ' ἀμφοτέραν ἐπὶ χρησάμενος ὀνόματι, ἐπιλεμνόμενός ἐςι τὸν λόγον. Τὸ δὲ ἐγχωρίζειν ταῖς διηγήσεσιν, ἀνεςικώτερον. Θαυμαςῶς δὲ, ἐπὶ μὲν ἑαυτῆς ἤδεμῶ τοῖς τοιούτοις ὀνόμασι χρῆται, ὅτι αἰδέσθητι, ὅτι οἰκτειρὶ, ἐπὶ δὲ τῶν γονέων καὶ τοῦ παιδός.

508. Κληρεῦχον] μίτυχον, κεκληρωμένην, κλῆρον ἰσχνικύιαν. Κληρέχης καὶ τὸς γιωργὸς φησὶν Ἡρόδοτος, κληρεῦχοι καὶ ὃς Ἀθηναῖοι, ἔπεμπον ἐπὶ τὰς πόλεις ὰς ἐλάμβανον, κλήρους ἐκάςῳ διανέμοντες.

Ib. Ἢ σε πολλάκις] τοῦτο οἰκείως ἐκ τῆς φύσεως σοχαζομένη παρίλαβεν.

510. Εἰ γίας] ἀ τῆς τροφῆς σῦ χωρὶς διάξει καὶ βιώσεται. Τροφῆς δὲ, ἀντὶ τῆς ἀνατροφῆς. Λέγει δὲ ἀνατροφὴν, ἣν ἀνατρέφουσιν αὐτὸν ἄλλοι.

512. Τῦ' ὀρφανιστῶν] ὀρφανισταί εἰσιν οἱ τὸς ὀρφανὸς τρέφοντες. Ἕλληνες δὲ οὐσιν ὁ

Κείνῳ τε κἀμοὶ τῶθ', ὅταν θάνῃς, νεμεῖς;
Ἐμοὶ γὰρ ἀκέτ' ἐστὶν εἰς ὅ, τι βλέπω,
Πλὴν σοῦ. Σὺ γάρ μ' * παλιρρὶδ' ἠίστωσας δορί,
Καὶ μητέρ'· ἀλλ' ἡ μοῖρα τὸν φύσαντά με
Καθεῖλεν ἅδε θανασίμως οἰκήτορας.
Τίς δῆτ' ἐμοὶ γένοιτ' ἂν ἀντί σε πάλιρις;
Τίς πλοῦτος; ἐν σοὶ πᾶσ' ἔγωγε σώζομαι·
Ἀλλ' ἴσχε κἀμὲ μνῆσιν· "ἀνδρί τοι χρεὼν
"Μνήμην παρεῖναι, τερπνὸν εἴ τί πω πάθοι·
"Χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί."
Ὅτε δ' ἀπορρεῖ μνῆσις εὖ πεπονθότος,
Οὐκ ἂν γένοιτό ποθ' ὅστις εὐγενὴς ἀνήρ.

* Aldus, γὰρ μοι.

φίλως ὀρφανιζὰς, καθὸ δυσμενεῖς. Ἢ, ὀρφανίσαι καὶ ἀρχὴ Ἀθήνησιν τὰ τῶν ὀρφανῶν κρίνουσα. Ἢ, ὀρφανιζῶν, τῶν τῆς ὀρφανίας ἐπιλρόπων· ὀρφανὸς δὲ ὁ ὄρον ἔχων τὸ μὴ φαίνεσθαι· ὁ ἄσημος, καὶ μηκέτι ἐμφανὴς· ἀμέλει καὶ ὑπὸ τῶν ἀμφιθαλῶν ὡς ἐμφανῶν ἐλαύνεσθαι· χηρωσαὶ δὲ οἱ τῶν χηρῶν ἐπίτροποι.

512. Ὀρφανιζῶν] ἤγουν, κακῶν ὄντων φιλήσῃ, καὶ μάλιστα ὁ ἐπίτροπευόμενος, ὡς μὴ προσηκόντως ἐπιμελομένης.

514. Ἐμοὶ γὰρ ἀκέτ'] καὶ τοῦτο Ὁμηρικόν,

"Οὐδέ μοι ἐστὶ πατὴρ καὶ πότνια μήτηρ."

Εἶτα ἐξῆς,

"Ἀλλὰ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ."

515. Ἠίστωσας] ἠφάνισας. Ἀνίστω, τὸ πεπτωκὸς ἐγείρω· αἴσσω, δὲ αἴσσω, τὸ ἀφανίζω, ἀπὸ τοῦ ἐνεργητικοῦ α, καὶ τοῦ ἵσημι, ποιητικῶς τὸ γινώσκω. Αἴσσος, ἀφανὴς γεγονὼς καὶ ληστεπιλικῶς τῆς μνήμης, καὶ ἀπὸ τούτου αἴσσω, αἴσσω, βῆμα.

516. Ἀλλ' ἡ μοῖρα] ὡς τότε ἰδίᾳ θανάτῳ συνελαυνήσοτος· τὸ δὲ ἄλλα, ἀντὶ τοῦ δέ.

517. Θανασίμως] ἀντὶ τοῦ νικηρῶς, ἢ ποιητικῶς θανάτου.

519. Ἔγωγε σώζομαι] ὥσπερ ἐὰν ἐσωζόμην ἐν πᾶσι, σώζομαι ἐν σοί· σώζεται δέ τις ἔν τινι, ὅταν ἐν αὐτῷ ἡ σωτηρία αὐτοῦ ᾖ, ὡς σωζομένου αὐτὸν σώζεσθαι, ἀπολωλότος δὲ συναπόλλυσθαι.

520. Ἀλλ' ἴσχε κἀμοῦ] καλῶς τὸ κἀμοῦ, οἷον, μετὰ τοῦ πατέρα καὶ τοῦ υἱόν, κἀμοῦ ἔν τινι μοίρα κατάθου· αἰσθάνεται γὰρ τῆς τύχης, ἐν ᾗ νῦν ἐστιν· αἰσημόνως δὲ αὐτὸν ὑπομιμνήσκει τὰ τῆς εὐνῆς. διὰ τοῦτο γάρ μάλιστα δοκεῖ αὐτὸν πείσειν. Ὁ δὲ γε Εὐριπίδης μαστροπικώτατα ἐσάγει τὴν Ἑκάβην λέγουσαν,

"Πῶς τὰς φίλας ἔπτ' εὐφρόνας δείξεις, ἄναξ,
"Ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων
"Χάριν τιν' ἕξει παῖς ἐμὴ, κείνης δ' ἐγώ;"

521. Τέρπνὸν] τὸ τέρψιν ποιοῦν· χαροποιὸν δὲ τὸ χαρὰν ἔχον, οἷον, χαροποιὸν ὄμμα.

522. Χάρις χάριν γάρ ἐστιν] ἡ φύσις γὰρ τὴν χάριν χάριτος ἐστὶ προϋπάρξασα.

523. Ὅτε δ' ἀπορρεῖ μνῆσις] ἡ μνήμη τοῦ εὖ πεποιθέναι, ὅτου μὴ ἂν εἶεν εὐγενεῖς. Σχεδὸν δὲ διὰ τούτων τῶν ἰάμβων ᾔρτησαι τὸ περὶ εὐχαριστίας καὶ ἀχαριστίας.

524. Οὐκ

ΧΟΡ. Αἴας, ἔχειν σ' ἂν οἶκ[ον ὡς κἀγὼ φρενὶ, 525
Θέλοιμ' ἄν· αἰνοίης γὰρ ἂν τὰ τῆσδ' ἔπη.
ΑΙΑ. Καὶ κάρτ' ἐπαίνου τεύξεται πρὸς γῶν ἐμοῦ,
Ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.
ΤΕΚ. Ἀλλ', ὦ φίλ' Αἴας, πάντ' ἔγωγε πείσομαι.
ΑΙΑ. Κόμιζε νῦν μοι παῖδα τὸν ἐμὸν, ὡς ἴδω. 530
ΤΕΚ. Καὶ μὴν φόβοισί γ' αὐτὸν ἐξελυσάμην.
ΑΙΑ. Ἐν τοῖσδε τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;
ΤΕΚ. Μή σοι γέ πω δύστηνος ἀντήσας θάνοι.
ΑΙΑ. Πρέπον γέ τ' ἦν ἂν δαίμονος τῷ 'μῷ τόδε.
ΤΕΚ. Ἀλλ' ὃν ἐγὼ φύλαξα, τοῦτό γ' ἀρκέσαι. 535
ΑΙΑ. Ἐπῆνεσ' ἔργον καὶ πρόνοιαν, ἣν ἔθου.
ΤΕΚ. Τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;
ΑΙΑ. Δός μοι προσειπεῖν αὐτὸν, ἐμφανῆ τ' ἰδεῖν.
ΤΕΚ. Καὶ μὲν πέλας γε προσπόλοις φυλάσσε[ται.
ΑΙΑ. Τί δῆτα μέλλει μὴ 'κ παρουσίαν ἔχειν; 540

524. Οὐκ ἂν] ἤγνω, οὐκ ἂν εἰς τὸ ἐξῆς ὄρος γνησίως νομισθείη· ἔστι γὰρ τοῦτο ἀγνώμονος.

525. Ἔχειν σ' ἂν οἶκτον] ἔλεον, δυσωπηλικὰ δὲ τὰ τοιαῦτα. Εἰ γὰρ ὁ ξένος ᾤκτιρε, πόσῳ μᾶλλον ὁ Αἴας.

526. Αἰνοίης γὰρ ἂν] ἤγνω, ἐπαινοίης ἄν, εἰ συμπαθῶς καὶ μετὰ τοῦ πρᾴου οἷς λέγει προσενεχθείης, τὸ σκληρὸν καὶ ἀνενδότως χαλάσας.

527. Καὶ κάρτ' ἐπαίνου] οὐχὶ καθ' ἃ εἶπεν. Ἀλλ', ἐὰν πεισθῆται κατὰ πάντα ἐμοί. Ὁ γὰρ Αἴας, ἐγνωκὼς ἑαυτὸν ἀπεσφάτλειν, ἐβούλετο πρὸ τοῦ θανάτου τὸν παῖδα ἰδεῖν. Εἰκότως ἂν τοῦτο πάλιν λέγει, ὅτι ἄρισον ἴσι τὴν γυναῖκα πειθαρχεῖν εἰς ἅπαντα τῷ ἀνδρί. Ἔοικε γὰρ ὑφορᾶσθαι, ὅτι ὀνηρῶς ἐκδώσει τὸ παιδίον.

531. Καὶ μὴν φόβοισί γ' αὐτὸν] τῶν φόβων χάριν, βύσασθαι δίκυσα ἐξήγαγον. Οὐκ ἀντικρυς μὲν ἀντιλέγει, ἀναβολὰς δὲ πλάττεται, ὡς ὑποκινηκότι μὴ πεισούσα. Λέγει δὲ, καὶ μὴν ἐξελυσάμην αὐτὸν, εἰς τοῦτο ὀηλονότι ἵνα εὐ ὑρᾷς αὐτόν.

534. Πρέπον γέ τ' ἦν ἂν] ἦν καὶ τοῦτο τῷ ἐμῷ δαίμονος, τὸ ὑπ' ἐμοῦ τὸν παῖδα ἀναιρεθῆναι. Ἀντὶ τοῦ, ἔπρεπε τῇ παρούσῃ μου τύχῃ, καὶ τὸ αὐτόχειρά με τοῦ παιδὸς κατασκευάσαι.

535. Τοῦτό γ' ἀρκέσαι] εἰς τοῦτο ἀρκέσαι τῷ παιδὶ ὑπηρετῆσαι, καὶ ἀπασθῆσαι τὸ θανεῖν.

536. Ἐπῆνεσα] ἀντὶ τοῦ ἐπαινῶ.

537. Τί δῆτ' ἂν] τί σε (φησὶν) ἐκ τῶν παρόντων ὠφέλησα; καὶ τί βούλει σοι γενέσθαι; ὠφελοίην ἴδει εἰπεῖν· ποιητικῇ δὲ ἀδείᾳ ὅτος ὅτῳ χρῆται τοῖς ἐυκτικοῖς.

Ib. Ἐκ τῶνδε] κατὰ τὰ μετὰ ταῦτα.

538. Προσειπεῖν] προσφθέγξασθαι, ἀσπάζεσθαι λόγοις.

Ib. Ἐμφανῆ τ' ἰδεῖν] ἐμφανῶς ἰδὼν ἐπεῖν πρὸς τὸ αὐτὸν ἤγαγεν.

540. Μὴ 'κ παρουσίαν ἔχειν] ἤτοι παρεῖναι.

ΤΕΚ. Ὦ παῖ, πατὴρ καλεῖ σε· δεῦρο πρόσπολων
Ἄγ' αὐτὸν, ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
ΑΙΑ. Ἕρπονθ' φωνεῖς, ἢ λελειμμένῳ λόγῳ;
ΤΕΚ. Καὶ δὴ κομίζει πρόσπολων ὅδ' ἐγγύθεν.
ΑΙΑ. Αἶρ' αὐτὸν αἶρε δεῦρο· ταρβήσει γὰρ ὃ
Νεοσφαγῆ τὸν γε προσλεύσσων φόνον,
Εἴπερ δικαίως ἔς' ἐμὸς τὰ πάλροθεν.
Ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πάλρὸς
Δεῖ πωλοδαμνεῖν, κἀξομοιοῦσθαι Φύσιν.
Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
Τἀ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν ὐ κακός.
Καίτοι σε καὶ νῦν τοῦτό γε ζηλῶν ἔχω,
Ὅθ' ἕνεκ' ὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν.
" Ἐν τῷ φρονεῖν γὰρ μηδὲν, ἥδιστος βίος.
" Τὸ μὴ φρονεῖν γὰρ, κἀρτ' ἀνώδυνον κακὸν,

542. Εὐθύνων κυρεῖς] ἤγων, διδάσκεις, παιδεύεις, κυβερνᾷς. Δεῦρο ἄγε αὐτὸν ὅσις ἀπὸ τῶν πρόσπολων κυβερνᾷς αὐτὸν ταῖς χερσίν.

543. Ἕρποντι φωνεῖς] ἐγγὺς ὄντι, ἢ ἀπολιμπανομένῳ τῆς κλήσεως, ἤγων, ὐκ ἀκόοντι.

545. Αἶρε δεῦρο] ἀντὶ τῦ πρόσφερε· ὡς τὸ, " Μή μοι οἶνον ἄειρε."

546. Φόνον] τὰ πτώματα τῶν πεφονευμένων.

547. Εἴπερ δικαίως ἔς' ἐμὸς] εἴπερ ἔστιν ἐμῦ, ὐκ ἐυλαβήθήσεται τὸν φόνον τῶν πεφυμνίων.

1b. Τἀ πατρόθεν] ἤγων, τὰ ἐκ πατρὸς ἰδιώματα· λέγω δὲ ἀνδρίαν καὶ φρόνησιν, καὶ τὸ γενναῖον ἐν συμφοραῖς ἤγων, εἴπερ ὐ μόνον κατὰ τὴν σπορὰν ἐμός ἐστιν υἱὸς, ἀλλὰ καὶ κατὰ τὰ φυσικὰ πλεονεκτήματα ἐμοὶ ἔοικεν ἐληθῶς.

548. Ἀλλ' αὐτίκ' ὠμοῖς] νῦν τὸ ὠμοῖς ὡς κατὰ τῶν χερσῶν· ὅτε εἰσὶν ὠμαί, σκληρότεροί εἰσι καὶ ἰταμοί. Μεγαλοφρανῶν δὲ, νόμως τὴν φύσιν ὠνόμασε καὶ τὸ ἔθος τῇ γεγεννηκάτας.

549. Πωλοδαμνεῖν] ὡς πῶλον γυμνάζειν. Πωλοδαμνῶν ἐπὶ τῶν ἀλόγων λέγεται κυρίως· ἐπὶ δὲ ἀνθρώπων, τὸ παιδαγωγεῖν καὶ παιδοτριβεῖν· ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης, ὁ λεγόμενος βαΐκλος.

550. Ὦ παῖ, γένοιο] μέτριος ὁ λόγος. Ἡ δὲ ὁμοία εὐχὴ καὶ παρ' Ὁμήρῳ,

" Ζεῦ ἄλλοι τε θεοὶ δότε δὴ καὶ τόν δὲ γενέσθαι

" Παῖδ' ἐμὸν ὡς καὶ ἐγώ."

550. Ὦ παῖ, γένοιο] παραίνεσις Αἴαντος πρὸς τὸν ἑαυτῦ παῖδα, καὶ λόγοι συντακλήριοι πρὸ τῆς αὐτῦ τελευτῆς.

552. Καίτοι σε καὶ νῦν] ἐπειδὴ καλεύχεῖται αὐτῷ εὐτυχίαν, φησὶν ὅτι, καὶ νῦν σε μακαρίζω, ὅτι μικρὸς ὢν ὐκ αἰσθάνῃ τῶν ἐμῶν κακῶν.

1b. Ζηλῶν] μακαρίζειν.

554. Ἐν τῷ φρονεῖν γὰρ μηδὲν] ἐν τῷ μηδενὸς αἰσθάνεσθαι, μήτε λύπης, μήτε ἡδέος. Ἤτοι, ἐν τῷ μὴ ἀντιλαμβάνεσθαι τῶν κακῶν. Ἐπὶ ἔξαι γελοιόταλον δόγμα, ὡς τιμῶντος τὴν ἀφροσύνην.

1b. Ἐν τῷ φρονεῖν] γνωμικὸν.

555. τὸ

" Ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.
Ὅταν δ' ἵκῃ ὡρὸς τοῦτο, δεῖ σ' ὅπως πατρὸς
Δείξῃς ἐν ἐχθροῖς οἷος ἐξ οἵου τράφης.
Τέως δὲ κύφοις πνεύμασιν βόσκε, νέαν
Ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.
Οὔτοι σ' Ἀχαιῶν, οἶδα, μήτις ὑβρίσῃ
Στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ' ἐμοῦ.
Τοῖον πυλωρὸν φύλακα Τεύκρον ἀμφί σοι
Λείψω τροφῆς ἄοκνον ἔμπαχ'· εἰ τανῦν
Τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.
Ἀλλ' ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεώς,

555. Τὸ μὴ φρονεῖν γὰρ] δεῖ λαβεῖν τοῦτο ὡς ἐπὶ παιδίου· ὁ γὰρ καθόλου τὴν ἀφροσύνην πρoκρίνει· Ὁ δὲ νῦν, ἐν τῷ νηπίῳ κακὸν μὲν τὸ μὴ φρονεῖν, καικὸν δὲ ὅμως ἀνώδυνον. Καὶ Εὐριπίδης,

" Νέα γὰρ φρονεῖς οὐκ ἀλγεῖν φιλεῖ."

Τάχιστα δὲ διὰ τῶν ἑξῆς ἰσήμανε τὸ συνεκτικὸν καὶ ὡσπερεὶ σύμβολον τῆς φρονήσεως· τὸ γὰρ διαιρετικὸν τῶν χαρτῶν καὶ τῷ λυπηρῶν, συνετοῦ ἐστι.

Ib. Κάρτ' ἀνώδυνον] κακὸν μὲν, διὰ τὸ δίκην ἀλόγου ζώου τὰ νήπια ζῆν, καὶ τὸ οἰκεῖον κακὸν ὡς ἥδιστον πολλάκις αἱρεῖσθαι, ξίφος λέγω καὶ πῦρ, καὶ κρημνὸν, καὶ τὰ τοιαῦτα· ἀνώδυνον δὲ, διὰ τὸ μηδενὸς ἐυσχερῶς ἐπαισθάνεσθαι, καὶ τῇ ἐντεῦθεν τύπεσθαι λύπῃ.

557. Δεῖ σ' ὅπως] ἀντὶ τοῦ, δεῖ σε ἐκδικῆσαι τὸν πατέρα. Τὸ ὅπως ἐπὶ παραγγελίας κείμενον, ὑποπίπτει κατὰ τὰς Ἀττικὰς ὑποτάσσεται.

558. Οἷος ἐξ οἵου τράφης] ὁ πρὸς τὸ ἐξ οὗ λείπεται τὸ ἐτράφης, ἀλλὰ πρὸς τὸ οἷος ἐτράφης. Τὸ δὲ ἐξ οἵου, ἀντὶ τοῦ ἐξ οὗ πατρὸς, δηλονότι γεγονώς. Τὸ πᾶν, οἷος ἀνετράφης ἐξ οὗ πατρὸς ὤν.

559. Κύφοις πνεύμασι] κώφῃ καὶ ἀπαλῇ ζωῇ. Τῇ μετοφορᾷ δὲ τῶν μικρῶν φυτῶν ἐχρήσατο, ἅτινα εὐέλν σφοδρὸν εὐναται ὑποφέρειν, ὁ καύσωνα, οὐκ ἄνεμον.

560. Ψυχὴν ἀτάλλων] ζωὴν βρεφικῶς διαβιβάζων καὶ τρέφων· ἀτάλλειν γὰρ τὸ νηπιάζειν καὶ σκιρτᾶν.

561. Οὔτοι σ' Ἀχαιῶν] ἤγουν, οἶδα ὅτι μὴ ὑβρίσῃ σέ τις τῶν Ἀχαιῶν.

562. Οὐδὲ χωρὶς ὄντ' ἐμοῦ] διὰ τί (φησὶν) ἐνταῦθα τρανῶς ἐκφέρει τὴν ἑαυτῷ γνώμην ὁ Αἴας, ὅτι δεῖ ἑαυτὸν ἐξάγειν τοῦ βίου; ῥητέον ὅτι ἐν ἤθει· οἷον εἰ γένοιτό τις περὶ ἐμὲ συμφορὰ μὴ δείδιθι· ἔξεις γὰρ τὸν προαντα ἀντὶ ἐμοῦ. Ἡ ὅτι ἐκφέρει ταῦτα ὑπὸ τοῦ πάθους προαγόμενος.

563. Πυλωρὸν] ἀπὸ μεταφορᾶς τῶν φυλασσόντων τὰς πύλας, λέγει νῦν τὸν ἀποσοβοῦντα, καὶ μὴ ἐῶντα προσβάλλειν κακόν τι.

564. Τροφῆς ἄοκνον ἔμπαχ'] ἀγαθροφῆς πρόθυμον φροντιστήν.

Ib. Εἰ τανῦν τηλωπὸς οἰχνεῖ] καὶ εἰ ἱκέτης μου νῦν ἐστι. Τηλωπὸς ἱκέτης· γράφεται καὶ τηλεργός.

565. Δυσμενῶν θήραν ἔχων] φυλακὴν ἔχων τῶν ἐχθρῶν. Λέγει δ' ὁτι τῶν Θρᾳκῶν· περὶ γὰρ τὰ τελευταῖα τοῦ Τρωϊκοῦ πολέμου ἐσυμμάχων τοῖς Τρωσὶν οἱ Θρᾷκες. Γνόντες δὲ τοῦτο οἱ Ἕλληνες, φρουροὺς ἔταξαν προμηνύσοντας αὐτοῖς τὴν ἐκείνων ἔφοδον ὅπου ὅτιως ἐκελθόντων, κατὰ τὴν ὁδὸν συμβάλωσιν αὐτοῖς, πρὶν ἐλθεῖν εἰς Ἴλιον. Καὶ πρίσβεις δὲ ἀποστείλαντες, οὐκ ἔπεισαν. Τὸ δὲ θήραν γράφεται καὶ φρουράν.

566. Ἀλλ' ἄνδρες ἀσπιστῆρες] τὸ φρονεῖν πωλεῖσθαι

Ὑμῖν τε κοινῇ * τήνδ' ἐπισκήπτω χάριν,
Κείνῳ τ' ἐμὴν ἀγγείλατ' ἐνολὴν, ὅπως
Τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων,
Τελαμῶνι δείξῃ, μήτρί τ', Ἐριβοίᾳ λέγω,
Ὡς σφιν γένηται γηροβοσκὸς εἰσαεί,
Μέχρις ἂν μυχοὺς † κίχωσι τοὺς κάτω θεούς.
Καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς
Θήσουσ' Ἀχαιοῖς, μήθ' ὁ λυμεὼν ἐμός.
Ἀλλ' αὐτό μοι σὺ, παῖ, λαβὼν ἐπώνυμον
Εὐρύσακες, ἴσχε διὰ πολυῤῥάφου πρέφων

* Aldus, κοινὴν. † Ald. Μέχρις ἄν.

ποιεῖσθαι τὸν οἰκεῖον παιδὸς τὸν χορὸν, καὶ ἀπελθόντα εἰς Σαλαμῖνα μετὰ τοῦ Τεύκρου παραδιδόναι Τελαμῶνι τὸν παῖδα, χάριν αὐτῷ λογίζεται Αἴας. Τὸ δὲ Ἐριβοίᾳ λέγω, εἶπε, ἵν' ἐπειδὴ τοῦτο ἀόριστον ἦν, μή τινες πλανῶνται, ἀγνοοῦντες ὁποίαν λέγει, εἴτε Ἡσιόνην, εἴτε Ἐρίβοιαν. Ἀμφότεραι γὰρ ἔζων τότε, ἡ μὲν ὅσα Τεύκρου μήτης, ἣν Τελαμὼν παρ' Ἡρακλέους γέρας εἰλήφει, ὑπότε εἰς Τροίαν ἐστράτευσεν· Ἐρίβοια δὲ, Αἴαντος.

567. Ὑμῖν τε κοινῇ] προθυμοτέρας αὐτὰς καθίστησι· κοινὴν γάρ καὶ ἴσην φησὶ χάριν ὁμολογεῖν ἐκείνῳ τε τῆς ὑπηρεσίας καὶ τούτοις τῆς ἐπαγγελίας· περιπαθῶς δὲ εἰς ἔσχατον περιεσώσης τὰς ἐλπίδος, ἐμφρόνως τὰ σπουδαιότατα τοῖς ἑταίροις ἐπισκήπτει, ὡ τῇ γυναικὶ. Ἐπισκήπτω δὲ τήνδε τὴν ἐντολὴν, ὤφειλεν εἰπεῖν· ὁ δὲ λέγει, τήνδε τὴν χάριν, ἐπεὶ, ὅπερ ἐντέλλεται, ὡς χάριν τοῦτο αἰτεῖ παρ' αὐτῶν.

571. Ὡς σφιν γένηται] πάνυ περιπαθῶς, τὸ ἐπὶ γονεῦσι καὶ παιδὶ διαθήκας ποιῆσαι. Θαυμαστῶς δὲ πρὸς ἅπαντας τὰς λύγους τῆς Τιμήσσης ἀντιθέσεις ἐποιήσατο, ὃν ἀνῄκεις τοῦτο ὑπισχνημένην τῇ ποιητῇ· τῇ μὲν μὴ ὑβρισθῆναι τὸν παῖδα ὑπὸ τῶν Ἑλλήνων, τὴν ἀπὸ τοῦ Τεύκρου φυλακὴν προβαλλόμενος. Τῇ δὲ μὴ γιλασθήσεσθαι ὑπ' ἐκείνων, τὴν τοῦ παιδὸς ἀρετὴν, ὃν φησι καὶ ἐκδικήσειν αὐτὸν ἐν ἡλικίᾳ γενόμενον· πρὸς δὲ τὰ περὶ τῶν γονέων, ὅτι ἀντ' αὐτοῦ καταλέλειπται ὁ Εὐρυσάκης. Τὸ δὲ γηροβοσκῶ γράφεται καὶ μικρόν, ἀπὸ τῆς γῆρος, (ἔστι γὰρ ἡ εὐθεῖα τὸ γῆρας) καὶ μῆγα, ἀπὸ τῆς γενικῆς τοῦ γήρως.

572. Μέχρις ἂν μυχοὺς κίχωσι] περιφραστικῶς, ἤγουν, ἕως τελευτήσωσι.

573. Καὶ τἀμὰ τεύχη] πιθανῶς τὸν Αἴαντα ἐπὶ τῶν περὶ τῶν ὅπλων λόγον εἶναι συνεχῶς. Ἀπτεῖται γὰρ αὐτοῦ μάλιστα. Ἀνθρώπινον δὲ καὶ μάλα φυσικὸν, τὸ συνεχίστερον μεμνῆσθαι περὶ ὧν ἐν νῷ ἔχομεν. Τεῦχος μὲν τὸ ἀγγεῖον. Τεύχη δὲ πληθυντικῶς, τὰ ὅπλα.

575. Ἀλλ' αὐτό μοι σὺ, παῖ,] πίστεως ὡς οὐδὲν ἀπολειπομένην τοῦ παιδὸς τῆς αὐτοῦ ἀρετῆς. Τὸ δὲ σάκος, διὰ τὸ ἐξαίρετον, τῷ παιδὶ φυλάσσειν κελεύει· τὰ δὲ ἄλλα τεύχη συνθάψαι φησίν. Ἐπίσηται γὰρ καὶ αὐτὰ περιμάχητα ἐσόμενα. Οἶδεν Ὅμηρος ὅπλα συγκαιόμενα·

" Ἀλλ' ἄρα μιν κατέκηε σὺν ἕλκεσι φαιδί-
" μοισι".

Τὸ δὲ σῶν, ἀλλὰ σὺ, Εὐρύσακες παῖ, ἐμοὶ λαβὼν αὐτὸ τὸ σάκος τὸ ἑπτάβοειον, τὸ ἀρίκλου, τὸ ἐπώνυμον σοὶ δηλονότι, ἔχε γρίφων διὰ τοῦ πολυῤῥάφου πόρπακος. Ἔστι δὲ πόρπαξ ὁ λῶρος διὰ οὗ κατέχεσι τὴν ἀσπίδα, ὃς λέγεται καὶ ὄχανον. Σάκος δὲ ἀδιτέρως, ὅπλον, ἀσπίς. Σάκος δὲ ἀρσενικῶς, καὶ αὐτὸ δι' ἓν κ, ὁ Σύλακος· καμνὸν δὲ, πλέγμα δικτυῶν ἄρτων.

577. Ἀρ

Πόρπακος ἑπτάβοιον ἄρρηκ]ον σάκος.
Τὰ δ' ἄλλα τεύχη, κοίν' ἐμοὶ τεθάψε]αι.
Ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχε,
Καὶ δῶμ' ἀπάκτε· μηδ' ἐπισκήνες γόες
Δάκρυε· "κάρτα τοι φιλοίκ]ιτον γυνή."
Πύκαζε θᾶσσον· "ὁ πρὸς ἰατρὸν σοφὸν
"Θροεῖν ἐπῳδὰς πρὸς τομῶντι πήμα]ι."
ΧΟΡ. Δέδοικ' ἀκόων τήνδε τὴν προθυμίαν·
Οὐ γάρ μ' ἀρέσκει γλῶσσά σε τεθηγμένη.
ΤΕΚ. Ὦ δέσποτ' Αἴας, τί πο]ε δρασείεις φρενί;
ΑΙΑ. Μὴ κρῖνε, μὴ ζέταζε· σωφρογεῖν καλόν.
ΤΕΚ. Οἴ μ' ὡς ἀθυμῶ, καί σε πρὸς τοῦ σοῦ τέκνου
Καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ.
ΑΙΑ. Ἄγαν γε λυπεῖς· ὁ κάτοισθ' ἐγὼ θεοῖς

577. Ἀρρηκτον σάκος] ἐρρῶν καὶ μὴ ῥηγνύμενον, ὑπερβολικῶς δὲ τοῦτο λέγει.

580. Καὶ δῶμ' ἀπάκτε] κατὰ τῶν σκηνῶν ἄπαγε. Τὸ δὲ ἀπάκτε, ἄγω, ἄξω, ἦχα, ἦγμαι, ὖχθαι, ἀκτὸν ὄνομα· καὶ ἀπὸ τούτου, ἀπακτῶν ἄπακτῶ ῥῆμα.

Ib. Ἐπισκήνες γόες] ἐπισκήνες λέγει, ἐπὶ καὶ ἐπιτάφιοι εἰσι καὶ ἐξόδιοι· ἐπίσκηνοι δὲ θρῆνοι, οἱ ἐπὶ τῆς σκηνῆς.

582. Πύκαζε] ἀσφαλίζου.

Ib. Οὐ πρὸς ἰατρῷ σοφῷ] οὐκ ἔστιν ἰατρῷ σοφῷ.

583. Θροεῖν ἐπῳδὰς] ὃ λέγει, τοιοῦτόν ἐστιν, Οὐκ ἔστιν ἀγαθῷ ἰατρῷ, ἐὰν τις ἀνιάτως ἔχῃ χειρὸς, ἢ σκέλους, μὴ τομὴν ἐπισπεύδειν τούτῳ, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ λοιπὸν σῶμα συνυποταίη φθορᾷ· ἀλλὰ παραμυθεῖσθαι λόγοις πειρᾶσθαι, ὡς πρόσκαιρον χρὴ τὴν ἀσιν. Ὥστε καὶ αὐτὴ μή με ἀκυρώσῃς ἐπιχείρει μαλάσσειν, καὶ ὃν πρεπόμην σκοπὸν ἀποστερεῖν· λέγω δὴ, τὸ τεθνάναι· τοῦτο γὰρ ἐμοὶ νῦν οὕτως ἔχοντι κρεῖττον ἢ ζῆν.

Ib. Θροεῖν ἐπῳδάς] ἀντὶ τοῦ ἐπιφωνεῖν, ἐπᾴδειν, ἐπῳδαῖς χρῆσθαι.

Ib. Πρὸς τομῶντι] τομῆς ἐτομέθη, τομῶνδι ὡς τὸ Ἀταλῶντι, βασιλιῶντι· τὰ γὰρ τοιαῦτα, ἀευτέρας συζυγίας ὡς ἐπίπαν ἐστίν. Ἔστι δὲ γλυκύτατον λέγειν τὸ τραῦμα τομῆς ἐπιθυμεῖν, ὥσπερ εἰ αἴσθησιν εἶχεν.

Ib. Πήματι] γράφεται τραύματι.

585. Οὐ γάρ μ' ἀρέσκει] οὐκ ἀρέσκουσιν ἐμοὶ οἱ λόγοι σε θρασεῖς ὄντες· τὸ ἔργαον γὰρ λέγει τῶν λόγων ἀντὶ τοῦ λόγου.

586. Δρασείεις] ἤγουν, ἐπιθυμεῖς δρᾶσαι.

587. Μὴ κρῖνε] ἤγουν ἀνάκρινε.

Ib. Σωφρογεῖν] νῦν τὸ μὴ περιεργεῖν, ἐν τούτῳ γὰρ μάλιστα ἡ σωφροσύνη ταῖς γυναιξὶ διασώζεσθαι, εἰ μὴ περιεργάζοιντο ὅ, τι πράττει ἢ ἀνήρ.

589. Καὶ θεῶν ἱκνοῦμαι] συνίζησις. Τὸ δὲ ἱκνοῦμαι, τὸ παρακαλῶ· ἀφικνοῦμαι δὲ τὸ παραγίνομαι.

Ib. Προδοὺς] προδίδωμι, ἐπὶ προδοσίας, ἀφ' οὗ προδότης· προδίδωμι τὸ καταλιμπάνω, ὡς ἐνταῦθα.

590, 591. Οὐ κάτοισθ' ἐγὼ θεοῖς ὡς ἐδίην] οὐκ ἔστι (φησὶν) ἐν τούτῳ εἰμι, ὥστε ὀφείλειν τοῖς θεοῖς ἐπαρκεῖν μοι, διὰ τὸ μὴ περιέχεσθαι τοῦ ζῆν. Ὡς οὐκ ἔστι τοῖς θεοῖς ὀφείλειν ἐγὼ ἐπαρκεῖν ἀντὶ τοῦ οὐδὲν ἐπὶ τιμῇ πράττειν τῶν θεῶν. Πρὸς ὃ καὶ ἡ Τέκμησσα ἐπάγει, Εὐφήμως φώνει, 591. Ὡς

Ὡς οὐδὲν ἀρκεῖν εἶμ' ὀφειλέτης ἔτι;

ΤΕΚ. Εὔφημα φώνει.

ΑΙΑ. Τοῖς ἀκύροις λέγει.

ΤΕΚ. Σὺ δ' οὐχὶ πείσῃ;

ΑΙΑ. Πόλλ' ἄγαν ἤδη θροεῖς. 593

ΤΕΚ. Ταρβῶ γὰρ, ὦ ναῦ.

ΑΙΑ. Οὐ ξυνέρξεθ' ὡς τάχος;

ΤΕΚ. Πρὸς θεῶν μαλάσσου.

ΑΙΑ. Μῶρά μοι δοκεῖς φρονεῖν,
Εἰ τὸμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς. 600

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὦ κλεινὰ Σαλαμὶς, σὺ μέν που
Ναίεις ἁλίπλαγκτος, εὐδαίμων,

591. Ὡς οὐδὲν] ὃ λέγει, τοιοῦτόν ἐστιν· οὐκ εἰμὶ ὀφειλέτης ἀρκεῖν τοῖς θεοῖς, φησὶν, ἀρκετὸς καὶ ἀναλλιπὴς αὐτοῖς εἶναι, τὴν τ' ἔχει τιμὴν καὶ θεραπεύειν, ὡς δεῖ, καὶ μηδὲν ἐλλείπειν τῶν δεόντων εἰς αὐτὸν γίνεσθαι, ὡς τῆς ζωῆς αἰθρώποις αἰτίους καὶ πάντα τἄλλ' ἀγαθὰ παρίχοντας. Ἡ τὸ θεοῖς πρὸς τὸ, εἰμὶ ὀφειλέτης, σύναπτε. Τὸ δὲ ἀρκεῖν ἀντὶ τοῦ διαρκεῖν καὶ εἰς τὸ ἕξῆς ζῆν, λέγει, ὅτως· οὐκ ὀφείλω τοῖς θεοῖς ζῆν εἰς τὸν ἕξῆς. Εἰ μὲν ἐφρόντιζον ἐμοῦ καὶ ἐπιμελοῦντο, ἀνάγκην ἂν εἶχον καὶ αὐτὸς ζῆν, ἐφ' ᾧ τούτης τῆς φροντίδος ἀμείβεσθαι τιμαῖς καὶ θυσίαις· ἐπεὶ δὲ ἠμελήκασι, καὶ ὅτως ἀτιμασθῆναι παρεῖσαν, οὐδέν με τὸ ἀναγκάζον ἐστὶ τῷ ζῆν ἔτι ποιεῖσθαι λόγον. Ἢ ὅτως ἐρεῖς, ἃ κάτοισθα καὶ ἃ γινώσκεις ὡς ἀδαμῶς ἐμὲ ὀφειλέτης τοῖς θεοῖς ἐς τὸ ἕξῆς ἀρκεῖν καὶ βοηθεῖν τινί. Ἤγουν, ἐπεὶ οἱ θεοὶ οὕτω με εἶασαν ἀτιμασθῆναι, οὐ χρεωστῶ διὰ τοῦτο ἔτι βοηθεῖν ἢ σοι, ἢ ἑτέρῳ. Τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἡ Τέκμησσα, Πρὸς θεῶν ἱκνοῦμαί μὴ προδοῦς ἡμᾶς γένῃ, αὐτῷ εἴρηκεν ἔθεν καὶ βλασφημίαν ἠγησαμένη τὸν αὐτοῦ λόγον, Εὔφημα φώνει, λέγει.

593. Τοῖς ἀκύροις] τοῖς παθοῦσιν.

597. Οὐ ξυνέρξεθ'] ἤ συγκλείσετε κωλύει δὲ τοῖς θεραπεύσιν αὐτὴν ἀποκλεῖσαι.

598. Μαλάσσου] μεταβάλλου.

599. Μῶρά μοι δοκεῖς] εὐήθης εἶ νῦν βουλόμενη μεταβάσεως, ἐξαμαρτάνοντος τοῦ καιροῦ.

601. Ὦ κλεινὰ Σαλαμὶς] συγκλείεται ὁ Αἴας διαχρησόμενος ἑαυτὸν, ἐπειδὴ οἱ ἀπὸ τοῦ χοροῦ λόγον περιποιοῦσι. Πρὸς μὲν γὰρ αὐτὸν λέγειν οὐκ ἦν, εἰσελθόντα ἤδη· γέγονε δὲ αὐτοῖς ἀπολόφυρσις ἐπὶ τὰ οἰκεῖα. Καὶ ἔχει ἀκολουθίαν τὰ χορικά· ἀπεσχεδιασμένοι γὰρ τοῦ ἄρχοντος, καὶ ἄλλην ἀποσχεδὸν οὐκ ἔχοντες, περὶ τῆς πατρίδος τὸν λόγον ποιοῦνται, ἐκτιθέμενοι ἐν οἷς εἰσι χαλεποῖς, καὶ ἐν οἷς ἔσονται οἱ γονεῖς αὐτοῦ πυθόμενοι ταῦτα.

Ib. Σὺ μὲν οὖν ναίεις] τὸ τοῦ ἀποδίδονται πρὸς τὸ εὐδαίμων, καὶ πρὸς τὸ ἕξῆς, ἢ πρὸς τὸ ἁλίπλαγκτος. Οὐ γὰρ ἐδεῖτο εἰκασμοῦ εἰ ἔστιν ἁλίπλαγκτος, ἀλλ' εἰ ἔστιν εὐδαίμων. Τὸ δὲ ἁλίπλαγκτος πρὸς τὸ Σαλαμὶς σύναπτε. Τύχῃ μὲν ναίεις αὐτὴ τῶν οἰκῇ ἐνταῦθα λέγει, ἢ ἀπὸ τοῦ οἰκοῦντος τὸ οἰκούμενον, ὥσπερ ἐστὶ καὶ τὸ ὀργάνου ἀντὶ τοῦ ἔργου, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον, ὡς τὸ, Λαΐνοισιν Ἀμφίονος ὀργάνοις, παρ' Εὐριπίδῃ. Ἄλλως δ' ὅτι καὶ ἡ τῶν ἐνοικούντων οἴκησις, αὐτῇ ἐστὶν οἴκησις.

602. Ναίεις ἁλίπλαγκτος] ἐνεργητικοῦ ἀντὶ παθητικοῦ ναῖῃ. Τὸ δὲ ἁλίπλαγκτος, ἤγουν, ἐν θαλάσσῃ οὖσα, ἀτακτοῦσῃ περὶ σέ.

605. Παλαιὸς

Πᾶσιν * περίφαν]ος αἰεί †·
Ἐγὼ δ' ὁ τλάμων,
Παλαιὸς ἀφ' ἧ χρόνος
Ἰδαίᾳ μίμνω
Λειμωνίᾳ μήλων πόᾳ ‡
Ἀνήριθμος, αἰὲν εὐνώμᾳ
Χρόνῳ τρυχόμενος,
Κακὰν ἐλπίδ' ἔχων
Ἔτι με πότ' ἀνύσειν
Τὸν ἀπότροπον
Ἀΐδηλον § ᾠδαν.

* Ald. Πᾶσι. † Ald. αἰὲι. ‡ Ald. πόᾳ μήλων. § Ald. αἴδαν.

605. Παλαιὸς ἀφ' ἧ χρόνος] ἐκ πολλῶν χρόνων.

606. Ἰδαίᾳ] τῇ Τρωϊκῇ, οἵαν ἐν τῷ τῆς Ἰόης χωρίῳ. Τοῖς χλωροῖς καὶ λειμωνιώδεσι ἔχωμι διάγων.

607. Λειμωνίᾳ πόᾳ] ὅμοιον τῷ, Τελαμώνιε παῖ λειμωνίᾳ γὰρ ἡ ἐν λειμῶνι χλόη.

Ib. Μήλων] γενικὸν ὄνομα τοῦτο παρ' Ὁμήρῳ εἰπὼν γὰρ ἕτος μῆλα, ἐπάγει, ὁἵς τε καὶ αἶγες.

Ib. Μήλων πόᾳ] μήλων πόα γράφε, καὶ μὴ ποίᾳ μήλων, διὰ τὸ μίτρον.

608. Ἀνήριθμος] ἐν οἷσινι ἀριθμῷ τατλόμενος, ἀλλὰ παρεξειμένος.

Ib. Εὐνώμᾳ] οἱ γράφοντες εὐνόμᾳ τὸ ν μικρὸν, καὶ συνάπτοντες πρὸς τὸ ποίᾳ, οὐκ ἴσασι τὰ περὶ τῶν μίτρων· χρὴ δὲ πρὸς τὸ χρόνῳ συνάπτειν, καὶ μεγεθύνειν τὸ νω, ἵν' εἴῃ, τῷ εὐνώμᾳ καὶ εὐκινήτῳ χρόνῳ· νωμᾶ γὰρ τὸ κινῶ. Τό γε μὴν μήλων γενικὸν ὄνομα παρ' Ὁμήρῳ ἐστιν. Εἶπων γὰρ ἕτος μῆλα, ἐπάγει οἷς τε καὶ αἶγες.

Ib. Εὐνώμᾳ] ἤτοι τῷ εὐνομουμένῳ καὶ δικαίῳ ἢ εὐκινήτῳ· ἢ εὐνόμᾳ λειμῶνι, τῷ καλοῖς νομοὺς ἔχοντι. Τὸ δὲ ἐξῆς, παλαιὸς ἀφ' ἧ χρόνος αἰὲν εὐνόμᾳ χρόνῳ τρυχόμενος, Ἰδαίᾳ μίμνω λειμωνίᾳ πόᾳ μήλων, ἀνήριθμος, κακὴν ἐλπίδα ἔχων, ὡς με δεῖ τὴν ᾠδὴν ἀνύσειν. Ἀντὶ τοῦ, ἀδὲν ἀγαθὸν προσδοκῶν, ἀλλὰ κακῶς τελευτήσειν ἐν τῷ πολέμῳ ἐλπίζων.

609. Χρόνῳ τρυχόμενος] ἤγουν, ὑπὸ τοῦ εὐκινήτου χρόνου δαμαζόμενος καὶ κακοπαθῶν.

610. Κακὰν ἐλπίδα] ἤγουν, φόβον ἔχων ἀνύσειν ἐμὲ ἔτι ποτὲ τὸν ᾠδὴν, τετίσει, λήψεσθαι σπεύδοντα εἰς τοῦτο.

611. Ἔτι με πότ' ἀνύσειν] τὸ ποτ' ἀνύσειν, οὐκ ἔστι ποτὲ ἀνύσειν, εἰ διαλελυμένως εἴποις, ἀλλὰ ποτὲ ἀνύσειν, διὰ δὲ τὴν συναλοιφὴν μετετέθη ὁ τόνος. οὕτω δὲ ἐρεῖς, ἔχων ἐλπίδα κακὴν ἀνύσαι καὶ διελθεῖν καὶ περάσειν ποτὲ ἐμὲ ἔτι καὶ εἰς τὸ ἑξῆς, τὸν ἀπότροπον καὶ μισητὸν πᾶσιν ἀΐδην, τὸν ἀδηλον καὶ ἀφανῆ. Ὃ δὲ λίγει τοιοῦτόν ἐστι, πολὺν χρόνον μίμνω ἐν τῇ Τροίᾳ ἀνήριθμος καὶ ἄτιμος, καὶ μὴ εἰς ἀριθμὸν ὤν, τρυχόμενος καὶ δαμαζόμενος τῷ τοσούτῳ χρόνῳ, ἐλπίδα ἔχων κακὴν ἀποθανεῖν ποτὲ καὶ διελθεῖν τὸν ᾅδην· ὁ γὰρ ἐλπίζων ὑποστρέψειν εἰς τὴν αὐτὴν χώραν· κακὴν δὲ τὴν ἐλπίδα εἶπε, διὰ τὸ τῷ θανάτῳ ἐλπίδα εἶναι, καὶ οὐκ ἀγαθοῦ τινός.

Ib. Ἀνύσειν] ἀντὶ τοῦ ἐκπράξαι. Λέγεται δὲ τὸ δεῖν ἀνύω τὴν ὁδὸν, ἀντὶ τοῦ τελειῶ. Καὶ, ἀνύω τὸ βραθεῖον, ἤγουν, σπεύδοντας λαμβάνω· καθ' ὃ λέγεται ἐνταῦθα.

612. Τὸν ἀπότροπον] τὸν ἀποτρόπαιον, ἤγουν, τὸν ἀποτρεπτὸν καὶ ἀποτροπιασμοῦ ἄξιον.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Καί μοι δυσθεράπευ[τος Αἴας
Ξύνεσιν ἔφεδρος, ὦ μοι *, μοι,
Θείᾳ μανίᾳ ξύναυλος,
Ὃν ἐξεπέμψω
Πρὶν εὖ πο[ε † θυρίῳ
Νικῶντ' ‡ εἰν ἄρει.
Νῦν δ' αὖ φρενός γ' οἰωδ[τας §
Φίλοις μέγα πένθος εὕρη[αι
Τὰ πρὶν δ' ἔργα χερο[ῖν ‖
Μεγίσας ‖‖ ἀρετᾶς
Ἄφιλα παρ' ἀφίλοις
Ἔπεσ' ἔπεσεν
Μελέοις Ἀτρείδαις.

* ALD. Ἰώ μοι, μοι. † ALD. Πρὶν δήποτε. ‡ ALD. Κρατῶντ'.
§ ALD. φρενὸς οἰωδ[τας. ‖ ALD. χερσί. ‖‖ ALD. Μέγις'.

Ἀΐδηλον δὲ ἀΐδην λέγει τὸν σκοτεινόν, ἢ ὥσπερ ἂν τις εἴποι ἀλυκὸν ἅλα· ἀπὸ γὰρ τοῦ ἀΐδης γίνεται τὸ ἀΐδηλον κατὰ παραγωγήν, καθ' ὃν τρόπον ἁλυκὸν ἀπὸ τοῦ ἅλος.

614. Καί μοι δυσθερά[πευτος Αἴας] οἷον, πρὸς τοῖς πρώτοις κακοῖς, ὥσπερ δεύτερον ἐστί μοι κακὸν τὸ τοῦ Αἰαντος συνεστηκος. Τοῦτο γὰρ δηλοῖ τὸ Ἔφεδρος. Ἔφεδρος δέ ἐστιν ἐν τοῖς ἀγῶσιν ὁ μὴ πλανώμενος εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν ἀλλ' ὅταν δύο τινὲς παλαίωσι, παλαίσιν τῷ νικήσαντι παρεσκευασμένος. Ἐνταῦθα δὲ φησὶν, ὅτι ἐσχαῖος καὶ ὡς ἔφεδρος ἔλειφθη μοι ὁ Αἴας εἰς κακόν.

615. Ξύνεσιν ἔφεδρος] ἔφεδρος κυρίως, ὁ παρεσκευασμένος, ὅταν δύο τινὲς παλαίωσιν, τῷ νικήσαντι.

617. Ἐξεπέμψω] ἀντὶ τοῦ ἐπεμψα ὧδε.

618. Πρὶν εὖ] πρὶν εὖ πο[ε γράφει, καὶ νικῶντ' εἰν ἄρει· καὶ φρενός γ' οἰωδ[τας. Οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὰ τῆς τροφῆς κῶλα. Εἰ δ' ἄλλως γράφεις, οὐκ ὀρθῶς ἔχει.

620. Οἰωδ[τας] μεμονωμένος, πεπλανημένος, ἐκ μεταφορᾶς τῶν θρεμμάτων τῶν τῆς ἀγέλης κεχωρισμένων, καὶ καθ' ἑαυτὰ φερομένων.

Ib. Νῦν δ' αὖ φρενὸς οἰωδ[τας] αὐθαίρετος, ὡς ἂν εἴποι τις, αὐτὸς ἑαυτῷ διάνοιαν βόσκων, καὶ μηδενὶ πειθόμενος. Ἢ, μονωθεὶς ἐκ τῆς φρενός. Ἢ, μονότροπος, μεμονωμένος τῷ λογισμῷ. Ἢ, τοιμαίνων τὴν ἑαυτοῦ διάνοιαν, καὶ μόναρχος ὢν τῷ λογισμῷ. Ἢ, οἷον διεσθίων αὐτοῦ τὴν φρένα· παρὰ τὴν βόσιν. Ἢ, ὁ βαίνων ἐν ἐρημίᾳ, διὰ τὸ συγκεκλεικέναι ἑαυτόν. Καὶ ὅμοιόν ἐστι τῷ, Ὃν θυμὸν καθίδων, πατον ἀνθρώπων ἀλείτων· ἢ, φρενὸς οἰωδ[τας, ὁ σὺν φρεσὶν, ἀλλ' ἐκτὸς φρενῶν διάγων. Ἢ, ἀποπλανηθείς; ἀπὸ μεταφορᾶς τῶν πλανηθέντων προβάτων, καὶ μόνων βοσκομένων.

621. Εὕρηται] γράφεται γενέσθαι.

622. Τὰ πρὶν δ' ἔργα χερο[ῖν] λείπει γιγνόμενα. Τὰ δὲ πρότερα μεγίστα τῆς ἀρετῆς τῶν χειρῶν αὐτοῦ ἔργα ἐν ὁπλομαχίᾳ ἐστὶ παρὰ τοῖς Ἀτρείδαις. Ἢ ὅτως, τὰ δὲ πρότερα αὐτοῦ ἀνδραγαθήματα, φρονεῖα παρὰ τοῖς Ἀτρειδαις.

624. Ἄφιλα] ἀχάριστα παρὰ τοῖς πρώην αὐτῷ

ΣΤΡΟΦΗ Β.

Ἦ ὥϛ παλαιᾷ μὲν
Ἐνῆροφος ἀμέρᾳ,
Λευκῷ δὲ γήρᾳ
Μάτηρ, νιν ὅταν νοσθεῖλᾳ
Φρενομόρως * ἀκόσμῳ,
Αἴλινον, αἴλινον,
Οὐδ' οἰκτρᾶς γόον
Ὄρνιθος ἀηδοῦς
Ἥσει δύσμορος·
Ἀλλ' ὀξυτόνους μὲν ᾠδᾶς
Θρηνήσει· χερόπληκτοι
Δ' ἐν στέρνοισι † πεσοῦνται
Δῦποι, καὶ πολιᾶς
Ἀμύγμαλα χαίτας.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Κρείσσων γὰρ ᾅδᾳ ‡ κεύ-

* ALDUS, Φρενομώρως. ALD. † στέρνοις. ‡ ALD. αἴδα.

αὐτῷ φίλοις, νῦν δὲ πάντων ἐπιλελησμένοις. Ἢ, ἀφιλα παρ' ἄφιλοις, ἐχθρὰ παρ' ἐχθροῖς.

627. Παλαιᾷ μὲν ἔνῆροφος ἀμέρᾳ] παλαιὸν, τὸ πάλαι ἀρξάμενον, ᾧ ἀντίκειται τὸ νέον· νέον γὰρ, τὸ νεωστὶ ἀρξάμενον. Ἐνταῦθα δὲ, ἔντροφος παλαιᾷ ἡμέρᾳ· ἡ ἐντεθραμμένη παλαιῷ χρόνῳ· οἷον τῇ ἡλικίᾳ, ἀντὶ τοῦ πολυετής. Ὁ δὲ νεῦς, ὅντως ὢν ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τελείᾳ τῷ παλαιῷ χρόνῳ ἔντροφος. Τὸ δὲ λευκῷ γήρᾳ, κατὰ κοινῶν, τὸ ἔντροφος ἡ μήτης αὐτῷ.

629. Λευκῷ δὲ γήρᾳ] ἐπειδὴ τὸ γῆρας λευκαίνει τὰς τρίχας, διὰ τοῦτο εἶπε τῷ λευκῷ, ἀπὸ τοῦ ποιουμένου τὸ ποιοῦν.

631. Φρενομόρως] ἀντὶ τοῦ εἰς τὴν μοῖραν τῶν φρενῶν νοσοῦντα. Ὁ ἴσως φρενοβλαβῶς, μανικῶς.

632. Αἴλινον] εἶδος θρήνου.

633. Οὐδ' οἰκτρᾶς γόον] οἷον ὁ μίτριον· ἀναγκαιότατον δέ· ἀρχὴ γὰρ τοῦ λόγου τὸ ὅ τι ἦ, ἂν αἴλινον, οὐδ' οἰκτρᾶς γόον ἀηδοῦς ἥσει, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς, καὶ τὰ ἑξῆς.

633, 634. Γόον ὄρνιθος] τοῦτο εἶπε διὰ τὸ ἀεὶ θρηνεῖν τὴν ἀηδόνα τὸν υἱὸν Ἴτυν. Παραβάλλει δὲ τὸν τῆς ἀηδόνος θρῆνον καὶ τῆς Ἐριφύλης, καὶ εἰκάζει μείζω ἐκεῖνον ἔσεσθαι τοῦ τῆς ἀηδόνος.

635. Ἥσει δύσμορος] ἥσει γόον ὁ μίτριον, κατὰ τὴν ἀηδόνα, ἀλλ' ὀξύν. Ἡ ἀηδὼ δὲ, κατὰ Μιλησίους. Ἀηδόνος δὲ λέγει τῆς ἀφροσύνης ἐσεσημένης διὰ τὸ ἀεὶ θρηνεῖν τὸν υἱὸν Ἴτυν. Παραβάλλει δὲ τὸν ἀηδόνος θρῆνον καὶ τὸν Ἐριφύλης, καὶ εἰκάζει μείζω ἐκεῖνον ἔσεσθαι τοῦ τῆς ἀηδόνος.

636. Ὀξυτόνους] ὀξυφώνους. Τόνος, ὁ κοινῶς ἦχος, καθ' ὃ λέγεται Λύδιος τόνος, καὶ Φρύγιος.

639. Καὶ πολιᾶς] περιπαθῶς ἡ πρόθεσις τῆς πολιᾶς.

641. Κρείσσων γὰρ ᾅδᾳ κεύθων] κρείσσων γάρ ἐστιν ὁ τεθνηκὼς ἢ ὁ ζῶν καὶ νοσῶν μόνιμα,

θων, ἢ νοσῶν μάταν,
Ὃς ἐκ παλρώας
Ἥκων γενεᾶς ἄριστος
Πολυπόνων Ἀχαιῶν,
Οὐκέτι συνλρόφοις
Ὀργαῖς ἔμπεδος,
Ἀλλ' ἐκτὸς ὁμιλεῖ.
Ὦ τλάμων πάτερ,
Οἵαν σε μένει πυθέσθαι
Παιδὸς δύσφορον ἄταν;
Ἄν ὅπω τὶς ἔθρεψεν
Αἰὼν Αἰακιδᾶν
Ἀτερθέ γε τῆδε.

ΙΑΜΒΟΙ.

ΑΙΑ. "Απανθ' ὁ μακρὸς κἀναρίθμηλος χρόνος
Φύει τ' ἄδηλα, καὶ φανέντα κρύπλεται.

ὃ ἐστι μεμηνώς. Μάτην γὰρ νοσεῖν, τὸ ἀθεραπεύτως μαίνεσθαι. Οὐ λέγει δὲ ὅτι ὅταν αὐτὴν πύθηται τετελευτηκότα. Ὁ γὰρ μεμήνως καὶ τὰς φρένας διεφθαρμένος, κρίσσων ἀΐδης κεύθων· οἷον, ἄμεινον τῷ μεμηνότι ἐξεῖναι τὸ βίᾳ. Οἷον, ἡγήσεται κρείσσονα τὸν θάναῖον τῆς τῆ Αἴαντος μανίας. Μάτην δὲ, ἀντὶ τῆ ἀψευδῶς, καὶ ἀντὶ τῆ ματαίως, ὡς ἐνταῦθα.

643. Ὃς ἐκ πατρίας] ὡς ἄνωθεν κατὰ πατρίας γενεᾶς ἄριστα ἥκων. Λείκει γὰρ τὸ ἄριστος. Ὥστε προίχειν ἁπάντων τῶν Ἑλλήνων κατὰ γένος, νῦν οὐκέτι ἤθεσιν ἐμμένει.

644. Ἥκων γενεᾶς ἄριστος] ὅτω γράφε, ἵν', ᾖ ὅμοιον τῷ τῆς φροῆς κῶλω· ὅτω γὰρ εὐρέθη καὶ ἕν τινι τῶν παλαιῶν πάνυ.

645. Πολυπόνων] πολυμόχθων τὰ ἐς πόλεμον. Ἦγον, ἐκ πατρὸς ἔχων τὸ πρὸς πολέμους καὶ μάχας ἀνδρείως ὁρμᾶν, τότε μὲν τῷ ἐκ φύσεως προσόντος αὐτῷ ἀπίσῃ, πρὸς δὲ τὰ παρὰ φύσιν ὥρμησεν ὑπὸ τῆς μανίας.

647. Ὀργαῖς] ὁρμαῖς, τρόποις.

648. Ἀλλ' ἐκτὸς] τῷ προσήκοντος ὀηλοῦτι.

649. Ὦ τλάμων πάτερ] ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Τελαμῶνα, οἵαν σε μένει πυθέσθαι, τοιαύτην ἄτην οἵαν ἔδοξε πέπονθε τῶν Αἰακιδῶν. Παραμυθία γὰρ ἐστι τὸ μετέχειν τινὰ τῶν τῆ γένους τῶν αὐτῶν κακῶν.

652. Ἔθρεψεν] ἔσχεν.

654. Ἀτερθέ γε τῆδε] χωρὶς τούτε τῆ Αἰαντος. Ἤτοι τῆ χρόνε.

655. Ἅπανθ' ὁ μακρὸς] ἐξέρχεται ὁ Αἴας ὡς δὴ κατακληθεὶς ὑπὸ Τεκμήσσης μὴ σφάττειν ἑαυτόν. Καὶ προφάσει τῆ δεῖν εἰς ἐρημίαν ἐλθεῖν καὶ κρύψαι τὸ ξίφος, ἐπὶ τούτων ἀναχωρεῖ καὶ διαχρῆται ἑαυτόν. Παρίσησι δὲ ὁ λόγος, ὅτι καὶ οἱ ἔμφρονες καὶ παρακολυθοῦντες τῇ φύσει τῶν πραγμάτων, ὅμως ὑπὸ τῶν τοιούτων παθῶν ἐπὶ τὸ χεῖρον ἀποδισθαίνουσι, ὡς ἐν Τραχινίαις ἡ Δηϊάνειρα περὶ τῆ ἔρωτος διαλεγομένη καὶ τῆ ἀνδρὸς, ὅτι αὐτῷ οὐκ ἀντισήσεται, οὐδὲ λυσιτελεῖ αὐτῇ ἀνλιπράτειν τῇ ἐπιθυμίᾳ τῆ ἀνδρὸς, πράττει μετὰ ταῦτα, ἅπερ αὐτὴν ἀνέκτεινεν ἡ ζηλοτυπία· ἦτοι δὲ σχῆμά ἐστιν. Ἅπαντα ὁ χρόνος φύει, φησίν, εἶτα ἐξαλλαγῇ, καὶ ταῦτα φανέντα κρύπλεται. Ἢ τὸ κρύπλεται ἐπὶ τῆ χρόνε, ἀντὶ τῆ κρύπλει·

" Κὐκ ἔς' ἄελπτον ὐδὲν, ἀλλ' ἀλίσκεσαι
" Χ' ὡ δεινὸς ὅρκος, καὶ περισκελεῖς φρένες."
Κἀγὼ γὰρ, ὃς τὰ δεῖν' ἐκαρτέρουν τότε,
Βαφῇ σίδηρος ὡς, ἐθηλύνθην σόμα
Πρὸς τῆσδε τῆς γυναικός· οἰκτείρω δέ νιν
Χήραν παρ' ἐχθροῖς, παῖδά τ' ὀρφανὸν λιπεῖν.
Ἀλλ' εἶμι πρός τε λέβρα καὶ παρακτίους
Λειμῶνας, ὡς ἂν λύματ' ἀγνίσας ἐμὰ,
Μῆνιν βαρεῖαν ἐξαλεύσωμαι θεᾶς.
Μολὼν δὲ χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω,
Κρύψω τόδ' ἔγχος τεμὸν, ἔχθιστον βελῶν,

κρύπλει· τῶτο δέ φησιν ὡς μεμαθηθλημένος ὑπὸ τῶν πρότερων νοημάτων.

657. Ἀλίσκεσαι] ἐξελίγχεσαι, φώραται· ἀπὸ μεταφορᾶς τῶν ἁλισκομένων θηρίων ὑπὸ θηρατῶν.

658. Χ' ὡ δεινὸς ὅρκος] ὅτι καὶ ὀμόσαντες πολλάκις τινὲς, ἐν μεταβολῇ γίνονται τῷ χρόνῳ.

Ib. Περισκελεῖς φρένες] αἱ ἄγαν σκληραὶ ψυχαί.

659. Ὃς τὰ δεῖν' ἐκαρτέρουν τότε] γράφεται ἐπηπίλησ' ἔπη· ἢ λείπει τὸ ἔπη, ἵν' ᾖ, ὅτις τὰ δεινὰ ἔπη ἐκαρτέρουν λέγειν τότε, ὡς-ανὶ προτοῦ.

660. Βαφῇ σίδηρος ὡς] ἢ πρὸς τὸ ὡς ςικτέον· ἵν' ᾖ ὅτυχ, ὃς ἐκαρτέρουν τὰ δεινὰ, ἤτοι σκληρὸς καὶ ἀνένδοτος ἦν, καθάπερ βεβαμμένος σίδηρος. Ἢ πρὸς τὸ τότε, ἀντὶ τῷ ἐθηλύνθην τὸ σόμα ὑπὸ τῆσδε τῆς γυναικὸς, ὥσπερ ἐν βαφῇ σίδηρος, ἤτοι βεβαμμένος ὑπὸ ἐλαίκ, θηλύνεται· ἔςι δὲ κρεῖττον τὸ πρῶτον· οὕτως δὲ εἶπε τὸ σόμα, ἐπειδὴ καὶ τὰ σκληρὰ ἐκείνα διὰ τῆς γλώττης ἔφερεν.

Ib. Βαφῇ σίδηρος ὡς, ἐθηλύνθην] ἐν τῇ βαφῇ οὐκ ἀνίεται ὁ σίδηρος, ἀλλὰ μᾶλλον σκληραίνεται· ὕτως ἂν διασαλτέον· κἀγὼ γὰρ (φησὶ) ὃς ἠπείλουν καὶ ἔζιον καὶ ἐθέων, ὡς ἐν βαφῇ σίδηρος (ὡς Ὅμηρος

" Εἰν ὕδατι ψυχρῷ βάπτεται μεγάλα ἰά-
" χοντι.")

Νῦν ἐθηλύνθην ὑπὸ τῶν λόγων τῆς γυναικός· ἢ ὅτι δισσῶς βάπτεται ὁ σίδηρος· εἰ μὲν γὰρ μαλθακὸν βάλονται αὐτὸν εἶναι, ἐλαίῳ βάτησιν· εἰ δὲ σκληρὸν, ὕδατι.

663. Ἀλλ' εἶμι πρός τε λωτρὰ] πιθανὴ αὐτῷ ἡ ἔξοδος, ὡς ἐπὶ καθαρμὸν· μανάσαι γὰρ βούλεται χάριν τῆς ἀναιρέσεως.

664. Ὡς ἂν λύματ' ἀγνίσας] ἔθος ἦν τοῖς παλαιοῖς, ὅτι ἢ φόνον ἀνθρώπε, ἢ ἄλλας σφαγὰς ἐποίουν, ὕδατι ἀπονίπλειν τὰς χεῖρας εἰς κάθαρσιν τῦ μιάσματος.

Ib. Λύματα] μολυσμόν.

665. Ἐξαλεύσωμαι] φυλάξωμαι, ἐκκλίνω.

666. Μολὼν δὲ χῶρον] εὑρήσω (φησὶ) τόπον, ὃ ὐδεὶς ἐπιβήσεται. Τῶτο δὲ πιθανὸν ἵνα μή τις αὐτῷ ἀκολυθήσῃ. Πιθανὸν δὲ καὶ τὸ λαβεῖν τὸ ξίφος, ἵνα εὐπορήσῃ ἑαυτὸν διαχρήσασθαι.

667. Τόδ' ἔγχος] ἀντὶ τῦ τὸ ξίφος.

Ib. Τεμὸν ἔχθιστον βελῶν] τὸ ἔχθιστον τῶν βελῶν ἐμῶ. Βέλη δὲ ἀντὶ τῶν ἀμυντηρίων. Βέλη γὰρ τὰ πεμπόμενα.

Ib. Ἔχθιστον βελῶν] τῶν ἀμυντηρίων δηλονότι. βέλη γὰρ τὰ πεμπόμενα, κυρίως.

Γαίας ὀρύξας, ἔνθα μήτις ὄψεται,
Ἀλλ' αὐτὸ νὺξ ᾄδης τε σωζόντων κάτω.
Ἐγὼ γὰρ ἐξ ὃ χειρὶ τῇδ' ἐδεξάμην
Παρ' Ἕκτορος δώρημα δυσμενέστατον,
Οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
Ἀλλ' ἔς γ' ἀληθὴς ἡ βροτῶν παροιμία,
"Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα."
Τοιγὰρ τολοιπὸν εἰσόμεσθα μὲν θεοῖς
Εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
Ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον· τί μή;
Καὶ γὰρ τὰ δεινὰ κἀὶ τὰ καρτερώτατα
Τιμαῖς ὑπείκει· τῆδε μὲν νιφοστιβεῖς
Χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει·
Ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος,

* Aldus, τ. μὴ.

668. Γαίας ὀρύξας] μὴ λάβῃς εἰς τὸ γαίας ἑξαθεν τὸ ἐπὶ, ἀλλ' ὧτω λέγε, κρύψω δὲ τὸ ἐμὸν ἔγχος, ὀρύξας ἔνθα τῆς γαίας μήτις ὄψεται.

669. Ἀλλ' αὐτὸ νὺξ] λέγει τὸ νὺξ καὶ τὸ ᾅδης, κατὰ μὲν τὸ φαινόμενον, ἀντὶ τοῦ ἀφάνεια καὶ φθορά· τὸ δὲ ἀληθὲς, διὰ τὴν μέλλουσαν αὐτὸν καταλήψεσθαι νύκτα καὶ θάνατον, ὃν αἴτιον τὸ ξίφος.

671. Δυσμενέστατον] τοῦτο λέγει, ἢ διὰ τὸ εἶναι αὐτὸν πολέμιον αὐτῷ τε καὶ πᾶσι τοῖς Ἕλλησιν, ἢ (ὅπερ καὶ αὐτὸς λέγει) διὰ τὸ μηδενὸς χρησῷ ἀπολαῦσαι, ἐξότε εἵλήφει παρ' αὐτοῦ τὸ ξίφος.

673. Ἀλλ' ἔς' ἀληθὴς ἡ βροτῶν παροιμία] ἢ διὰ μέσου συναπλῶν τὸ ἀλλὰ, πρὸς τὸ ἐχθρῶν ἄδωρα δῶρα, ἢ ὅτως, ἀλλ' ἔστιν ἡ παροιμία ἀληθής. Ἀντὶ τοῦ εἰπεῖν δὲ τὸ ἐχθρῶν ἄδωρα δῶρα, χωρὶς τοῦτο ἐπήνεγκε, καὶ ἔστι τῇ μὲν ἐνεῖρᾳ συνημμένον, καὶ τῇ τῶ λόγω ὁρμῇ κατὰ δὲ τὴν φράσιν, κομματικόν.

674. Ἐχθρῶν ἄδωρα δῶρα] ὁ νᾶς, ὅτι μηδὲν μέγιστα τῶν ἐχθρῶν ὠφέλησε· τῶν δὲ φίλων, καὶ τὰ ἐλάχιστα· ἄδωρα δὲ, κακόδωρα.

675. Τοιγὰρ τολοιπὸν] ἐπιφθόνως ἔφρασεν ἐν εἰρωνείᾳ, ἀνίσως ἐλπίσας τὴν τάξιν. Ἔδει γὰρ εἰπεῖν, Θεὸς μὲν σέβειν, εἴκειν δὲ Ἀτρείδαις, ὡς τῶν Ἀτρειδῶν ὂν ἧδη καὶ θεομαχέντων.

676. Ἀτρείδας σέβειν] αἰτιῶνται κακῶς τινὲς ἐνταῦθα τὸν ποιητὴν, ὅτι δέον τὸ σέβειν πρὸς τὸς Θεὸς εἰπεῖν, τὸ δὲ εἶχειν πρὸς τὸς Ἀτρείδας, ὁ δὲ ἐναλλὰξ εἴρηκεν· ἀγνοοῦντες ὅτι ἀδιαφόρως εἴρηκεν (ὥσπερ καί τινες τῶν λογοποιῶν) τῆς κυριολεξίας δὲν φροντίσας· ἄλλως τε καὶ τὸ σέβειν οὐ μόνον πρὸς τὸς Θεὸς, ἀλλὰ καὶ πρὸς τὸς ἀνθρώπους φαμέν.

679. Νιφοστιβεῖς] τυτέστιν οἱ χιόνας συντιθέντες· στιβάζειν γὰρ καὶ τὸ συντιθέναι.

680. Εὐκάρπῳ θέρει] διὰ τί οὐκ εἶπε τῷ ἔαρι, μετὰ τὸν χειμῶνα ὄντι, ἀλλὰ τῷ θέρει; καὶ φαμὲν ὅτι τὸ ἔαρ οὐκ ἔστιν ἄλλο ἢ χειμῶνος μέρος καὶ ἀποῤῥοή. Ἔστι γὰρ καὶ ἐν ἔαρι νιφετὸς πολὺς πολλάκις. Διὰ τοῦτο ἀμφοτέρας τὰς ὑπερβολὰς εἴρηκεν, ὡς ἐναντίας. Καὶ γὰρ τὸ μετόπωρον μέρος ἐστὶ θέρους ἑαζόντος.

681. Ἐξίσταται] λέγεται τοῦτο καὶ μετὰ τῆς ὑπὸ, καὶ τάσσεται ἀεὶ ἐπὶ ὕδατ· τὸ δὲ ὑπαγό-

Τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν·
Δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
Στένονθ' πόντον· ἐν δ' ὁ παγκρατὴς ὕπνος
Λύει πεδήσας, ὃν δ' ἀεὶ λαβὼν ἔχει.
Ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
Ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως ὅτι,
Ὅτ' ἐχθρὸς ἦμην, ἐς τοσόνδ' ἐχθραντέος
Ὡς καὶ φιλήσων αὖθις· ἕς τε τὸν φίλον
Τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
Ὡς οὐκ ἐς ἀεὶ μενοῦντα. "Τοῖς πολλοῖσι γὰρ
"Βροτῶν ἄπιστος ἐσθ' ἑταιρίας λιμήν."

ὑπανίσασθαι, ἐπὶ καθέδρας· οἷον, ὑπεξίσαμαί σοι τῆς ὁδοῦ, ὑπανίσαμαί σοι τῆς καθέδρας. Λευκόπωλον δὲ λέγει τὴν ἡμέραν, ἐπεὶ τὸν ἥλιον ὃς ποιεῖ τὴν ἡμέραν, ἐπὶ ἅρματος φασὶν ὀχεῖσθαι, δύο ἵππους ἔχοντα λευκούς, ὧν τὸν μὲν, Λάμπονθα, τὸν δὲ ὁ Φαέθοντα ὀνομάζουσιν.

Ib. Δεινῶν κύκλος] τουτέστιν ὁ σκοτεινὸς, ἢ ἀλιάλειπτος.

683. Δεινῶν τ' ἄημα] λείπει ὑπὸ, ἵν' ᾖ, ὑπὸ δεινῶν πνευμάτων γένοντα πόντον, ἄημα πρῶον ἐκοίμισεν αὐτόν· ἀὴρ μὲν, ὅτος ὢν ἀναπνεύμενον. Πνεῦμα δὲ ἄνεμος, ἀήτης ποιητικῶς. Καὶ αὖραι, ἀὴρ κινηθείς. Διαφέρουσι δὲ ἀλλήλων, τῷ μὲν τὴν αὖραν ἐπὶ τῶν ἐξ ὑγρᾶ ἀτμῶν τάττεσθαι· τὸν δὲ ἄνεμον, ἐπὶ τῶν ἐν ἀέρι πνευμάτων· τὰ πνεύματα δὲ καὶ τὸς ἀήτας ἐπὶ παντὸς ἀέρος κινηθέντος.

Ib. Ἐκοίμισε] παυθὲν δηλονότι καθεπράϋνε· τουτέστι, καὶ ἄνεμος σφοδρὸς κυμαίνων τὴν θάλασσαν, οὐκ ἀεὶ τοῦτο ποιεῖ, ἀλλὰ παυσάμενος, γαλήνην ἴσχει.

687. Ἐγὼ δ' ἐπίσταμαι] σημειωτέον ἐνταῦθα τὸ σχῆμα τοῦ λόγου. Τὸ γὰρ ἐγὼ δὲ, εἰς ἀδὲν ἀποδίδοται, ἀλλὰ τιμῶν τὸν λόγον διὰ τοῦ ἐπίσταμαι γὰρ, πρὸς τοῦτο τὴν ἀπόδοσιν ἐποιήσατο. Ἀγνοοῦντες δέ τινες, οἱ μὲν φασι τὸ γὰρ ἀργὸν, οἱ δὲ τὸ ὅτι, διὰ μέσου τὸ ἐπίσταμαι γὰρ ἀρτίως, λαμβάνοντες. Καὶ μὴν καὶ ἑτέρως ψυχρολέρως ἐστὶν ἰδεῖν, τῷ ὅτι ἀντὶ τοῦ λίαν χρωμένους. Οὓς λάσαγτες ἡμεῖς, φρονοῦμεν ὡς ἔφαμεν. Εὕροις δὲ καὶ παρὰ λογογράφοις πολλὰ ἕτερα τοιαῦτα· καὶ μαρτυρεῖ Διδύμου ἐν τῷ ὑπὲρ ὀρχηστῶν, λέγων ὕτως, Τὸν μὲν δν ἐμὸν ἐς Ἀριστείδην ἔρωτα, καὶ αἱρέσιός μοι δοθείσης ἀπαγαγών. Τόδε, τὸν μὲν δν ἐμὸν ἐς Ἀριστείδην ἔρωτα, ἀναπόδοτον ἐάσας. Ἡ ὕτως, τὸ μὲν ἐγὼ δὲ πρὸς τὸ ὅτε ἀπόδος, τὸ δὲ, ἐπίσταμαι γὰρ φησι Συνέσιος, Ἀλλ', εὖ οἶδ' ὅτι, οὐκ ἀπαγορεύσεις, τὰ ἀλλὰ πρὸς τὸ οὐκ ἀπαγορεύσεις συνάπτων, τὸ δὲ εὖ οἶδ' ὅτι, διὰ μέσου, ὕτω καὶ τοῦτο· εὕροις δὲ καὶ ἐκ ἄλλους ἕτερα τοιαῦτα. Γίνεται δὲ ἡ ἀπάτη ἐνταῦθα διὰ τὸ γάρ.

688. Ὅτ' ἐχθρὸς] ἀποροῦσιν ἐνταῦθά τινες πῶς ὅτε ἐχθρὸς ἦμην, καλῶς εἰπὼν ἐπὶ παρρησιάζεται, ἐπειδὴ τεθνήξεσθαι ἔμελλε, μὴ καὶ τὸ ὠφελεῖν ἐβουλόμην, εἶπεν, ἀλλὰ βουλήσομαι ἐπὶ μέλλοντος, ὁ γὰρ ἔμελλε ζῆν. Καὶ φαμὲν ὅτι βουλόμενος ἀπαῖσαι αὐτὸς, ὡς μὴ ὑποπτεῦσαι αὐτὸν τεθνήξεσθαι, τοῦτο ἐπὶ μέλλοντος εἶπεν. Καὶ ἄνω ἀπατῶν αὐτὸς, Εἰσόμεθα Διὸς εἶναι, καὶ Ἀτρείδας σέβειν, ἔφη. Καὶ κατιὼν, Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον.

692. Ἑταιρίας λιμὴν] καλῶς τοῦτο εἶρηκεν. Ὁ γὰρ ἀληθὴς φίλος λιμένος δίκην τοῖς αὐτὸν ἔχουσι καθίσταται, ἵνικα ἂν ἐν συμφοραῖς περιπέσωσι, καθάπερ ἐν θαλάσσῃ λιμὴν τοῖς χρησαμένοις χειμῶνι.

693. Ἀλ

Ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει· σὺ δὲ
Ἔσω θεοῖς ἐλθοῦσα διατέλεσ, γύναι,
Εὔχου τελεῖσθαι τἄμὸν ὧν ἐρᾷ κέαρ. 695
Ὑμεῖς θ' ἑταῖροι ταὐτὰ τῇδέ μοι τάδε
Τιμᾶτε· Τεύκρῳ τ' ἦν μόλῃ, σημήναθ', ὡς
Μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ' ὑμῖν ἄμα.
Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον.
Ὑμεῖς δ', ἃ φράζω, δρᾶτε, καὶ τάχ' ἄν μ' ἴσως 700
Πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Ἔφριξ' ἐν ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμην.
Ἰὼ, ἰὼ, Πάν, Πάν· ὦ
Πὰν, Πὰν ἁλίπλαγκ[τ]ε *,

* TURN. in marg. ἁλίπλακτε.

693. Σὺ δὲ] σὺ δὲ ἐλθοῦσα εἴσω, ὦ γύναι, εὖχε τοῖς θεοῖς διατέλειν, τελεῖσθαι ἐκεῖνα ὁπερ νοσοῦσι, ἂν ἐρᾷ τὸ ἐμὸν κέαρ. Ἤγουν, ἡ ἐμὴ ψυχή.

697. Τιμᾶτε] τιμᾷ ἀρετήν τις, ἀντὶ τοῦ ἐργάζεται· καὶ ἐπαινεῖ σιωπὴν, ἀντὶ τοῦ σιωπᾷ.

698. Ὑμῖν ἅμα] γράφεται ὑπέρμιγα.

699. Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ'] αἰνιγματωδῶς ὁ λόγος ἐξενήνεκται.

Ib. Ἐγὼ γὰρ] αἰνιγματωδῶς λέγει ὁ Αἴας ἐνταῦθα τὸν αὐτοῦ θάνατον.

700. Καὶ τάχ' ἄν μ' ἴσως] ὁ μὲν χορὸς ἀπαλλάττεσθαι νομίζει λέγειν τῆς νόσου. ὁ δὲ αἰνίττεται τῶν κακῶν τὸ βίᾳ.

701. Σεσωσμένον] ἰσέον, ὅτι ὁ Αἴας ὑγιῆτο τὸν αὐτοῦ θάνατον σωτηρίαν· διὸ καὶ σεσωσμένον ἑαυτὸν λέγει ἐνταῦθα.

702. Ἔφριξ' ἐν ἔρωτι] ἀντὶ τοῦ ὠρθώθην τῇ ἡδονῇ. Χρείας ἕνεκα τὸ χορικὸν νῦν παρείληπται. Ἐξελθόντος γὰρ τοῦ Αἴαντος, ἔδει βραχὺ διάλειμμα γενέσθαι, ἵνα μὴ καταληφθῇ ὑπὸ τῆς ἀγγελίας. Διὸ καὶ τὴν ὄρχησιν ποιοῦσι. Ἔνθεν καὶ βραχύ ἐστι τὸ χορικὸν, ὡς πρὸς χρείαν εἰλημμένον. Ἄλλως· Τέρπεται ὁ χορὸς ἐπὶ τῷ παύεσθαι τῆς νόσου τὸν Αἴαντα, καὶ φησὶν, ὑφ' ἡδονῆς ἔφριξα, καὶ βούλομαι χορεῦσαι. Εὐριπίδης δὲ ὁ ποιητὴς ἐπὶ τὰς τοιαύτας μελοποιΐας, ὥστε ἐντιθέναι τι καὶ τῷ ἡδέος.

Ib. Ἀνεπτάμην] ἀνεπλεμώθην, ἴσι δὲ ἀντὶ τοῦ ἀνέπτην. Οἱ εἰς ην γὰρ ὁριστοὶ τῆς ἐντέρας συζυγίας τῶν εἰς μι, ὃ χρείαν ἔχουσι τῶν παθητικῶν καὶ τῶν μέσων χρόνων.

703. Ἰὼ, Πὰν Πὰν] ἐπικαλοῦνται τὸν Πᾶνα, ὡς χορῶν πρόξενον· καὶ αὐτοὶ γὰρ τοῦτο ποιεῖν βούλονται, ὡς ἐγκώπτοντες τῷ Αἴαντος μηκέτι τελευτᾶν.

704. Ἁλίπλαγκτε] ἐπικαλοῦνται τὸν Πᾶνα, ἢ ὅτι ἐβοήθησε τοῖς Ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ, ἢ ὅτι τὸν Τυφῶνα δικτύοις ἤγρευσεν, ἢ ὅτι ἐν τοῖς ἀκρωτηρίοις τιμᾶται, ἔνθα πολίζεται ἡ θάλασσα. Ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν Πᾶνα ὡς νόμιμον θεόν. Ἢ ἁλίπλαγκτε, ἀντὶ τοῦ μεγαλόφωνε ἐν τῇ χοείᾳ. Ὡς ἁλίβρομε, ὅτι τῆς ἠχοῦς ἱερᾶ. Πολύηχος δὲ ἡ θάλασσα· ἁλίπλαγκτε δὲ, ἐπὶ Κυλλανίας ὄρους Ἀρκαδίας.

706. Φάνητ']

Κυλλανίας χιονοκ[ύπε
Πετραίας ἀπὸ δειράδος Φάνηθ', ὦ
Θεῶν χοροποί' ἀναξ, ὅπως μοι
Νύσσια Κνώσσια
Ὀρχήμα[τα αὐτοδαῆ
Ξυνὼν ἰάψῃς·
Νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
Ἰκαρίων δ' ὑπὲρ πελαγέων *
Μολὼν ἄναξ Ἀπολλων
Ὁ Δάλιος, εὔγνωστος
Ἐμοὶ ξυνείης διὰ παντὸς εὔφρων.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἤλυσε γὰρ αἰνὸν ἄχος ἀπ' ὀμμάτων Ἄρης.
Ἰώ, ἰώ· νῦν αὖ νῦν
Ὦ Ζεῦ, πάρα λευκὸν
Εὐάμερον πελάσαι φάος

* TURN. πελαγαίων.

706. Φάνηθ'] φάνηθι, κακόνισον, φαίνω ὁ μέλλων, φανῶ. Ὁ ἀόριστος, πρῶτος, ἔφηνα. Ὁ δεύτερος ἀόριστος, ἔφανον. Ὁ παθητικὸς δεύτερος ἀόριστος, ἐφάνην. Ἡ μετοχὴ, ὁ φανεὶς, τοῦ φανέντος. Καὶ τὸ προσακλικὸν, φάνηει, ὁ κάνων. Πᾶσα μετοχὴ εἰς ς ὀξύτονος διὰ τῶν ντ κλινομένη, εἰς δι ποιεῖ τὸ προσακτικὸν.

708. Κνώσσια] ἐν Νυσίᾳ καὶ ἐν Κνωσσῷ ἐπιμελὴς ἡ ὄρχησις. Ἡ Νυσία, τὸ ἐν τῇ Νύσῃ γιγνόμενα. Ἔστι δὲ αὕτη Διονύσου ἱερά. Καὶ συνῳδεῖ τῷ Κνώσσια. Καὶ ἡ Κνωσσὸς γὰρ Διονύσου. Ἄλλως· τῶν ὀρχήσεων αἱ μὲν εἰσι Διονυσιακαὶ, αἱ δὲ Κορυβάντιαι, καὶ ἐνόπλιοι. Νύσιαι δὲ, αἱ Διονυσιακαὶ, παρὰ τὴν Νύσην. Κνώσσιαι δὲ, αἱ Κορυβάντιαι. Καὶ Κνωσσὸς γὰρ πόλις Κρήτης. Ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων ἐτράφη ὁ Ζεύς· τῶν δὲ ὀρχήσεων ἡμὲν Βερεκυνθιακὴ λέγεται, ἡ δὲ Κρητικὴ, ἡ καὶ Πυῤῥίχη. Νύσιαι δὲ, αἱ Βερεκυνθιακαὶ· τῆς γὰρ Νυσίας ἡ Βερέκυνθος. Κνωσσία δὲ, Κρητική.

709. Αὐτοδαῆ] αὐτομαθῆ, ἃ ἐκ φύσεως ἔχεις, ὁ διδακτά.

713. Μολὼν ἄναξ Ἀπόλλων] παραγένεσθα δὲ καὶ ὁ Ἀπόλλων διὰ τῆ Ἰκαρίᾳ πελάγους, τουτέστι, τῆς Δήλου.

716. Ἀπ' ὀμμάτων Ἄρης] ἤτοι ὁ Διός. Οὗτος γὰρ αἴτιος τῆς μανίας· ἢ τὸ Ἄρης ἀντὶ τοῦ ὁ πολεμικὸς Αἴας. Τὸ δὲ ὀμμάτων, ἢ τῶν ἡμετέρων, ἢ τῶν ἑαυτοῦ.

717. Νῦν, ὦ Ζεῦ, πάρα] νῦν πάρεστιν ἡμέρα λαμπρὰ ἡμῖν, ὥστε ἐγγίσαι τῶν νεῶν· πρότερον γὰρ ἐξελεπόμεθα ἐπιμίγνυσθαι τοῖς Ἕλλησι διὰ τὴν αἰδῶ.

719. Πελάσαι] ὥστε πελάσαι ἐπὶ τῶν νεῶν.

Θοῶν ὠκυάλων νεῶν, ὅτ' Αἴας
Λαθίπονος πάλιν, θεῶν δ' αὖ
Πάνθυμα θέσμια
Ἐξήνυσεν, εὐνομίᾳ
Σέβων μεγίστᾳ.
" Πάνθ' ὁ μέγας χρόνος μαραίνει
" Τε καὶ φλέγει": καὶ ἀδὲν ἀναύδητον, εὖτέ γ' ἐξ ἀέλπτων
Αἴας μεταγνώσθη
Θυμῶν Ἀτρείδαις μεγάλων τε νεικέων.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Ἄνδρες φίλοι, τοπρῶτον ἀγγεῖλαι θέλω·
Τεῦκρος πάρεσιν ἄρτι Μυσίων ἄπο
Κρημνῶν· μέσον δὲ πρόσμολὼν στρατήγιον,
Κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμῶ.
Στείχονθα γὰρ πρόσωθεν αὐτὸν ἐν κύκλῳ
Μαθόντες, ἀμφέσησαν, εἶτ' ὀνείδεσιν
Ἤρασσον ἔνθεν κἄνθεν· κἄ τις * ἔσθ' ὃς ἁ·
Τὸν τᾶ μανέντος καὶπιβουλεύσᾳ στρατᾶ

* Aldus, ἄτις. recte.

720. Ὅτ' Αἴας λαθίπονος] ὅτι δὴ ὁ Αἴας πάρεσιν ἐκ μετανοίας ἐπὶ τὸ σέβειν τοὺς θεούς, καὶ κατατίθεσθαι τὴν ἔχθραν τὴν πρὸς τοὺς Ἀτρείδας.

721. Λαθίπονος] ἤγουν, ἐπιλελησμένος ὑπὸ τῶν πόνων, καὶ τῆς λύπης, ἣν ἀπὸ μανίας εἶχεν.

732. Κρημνῶν] ἤγουν, ἀπὸ τᾶ κρημνώδους τόπου τῶν Μυσῶν.

Ib. Στρατήγιον] στρατήγιον δὲ τὸ στρατόπεδον, Ἀττικῶς. Κυρίως δὴ στρατήγιον ὁ τόπος, ὃς τοῖς στρατηγοῖς ἀφιέρωται μετὰ τῶν ἄλλων τῶν πρὸ αὐτῶν βουλεύεσθαι.

733. Κυδάζεται] λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων.

Καὶ Ἐπίχαρμος ἐν Ἀμύκῳ,

Ἄμυκε, μὴ κυδάζε μὰ τὸν πρεσβύτερον ἀδελφόν.

Καὶ Αἰσχύλος ἐν Ἰφιγενείᾳ,

" Οὔ τι γυναιξὶ κυδάζεσθαι."

Τί γάρ; ἀρσενικῶς δὲ ὁ κυδος ἐπὶ τῆς ὕβρεως.

734. Ἐν κύκλῳ ἀμφέσησαν] Ἀντὶ τᾶ, περιεκύκλωσαν.

736. Ἤρασσον] ἔπληττον, ἐβλασφήμων πάντες ὁμοφώνως ὄντες.

738. Ἀπο-

Ξύναιμον ἀποκαλέσῃς, ὡς οὐκ ἀρκέσοι *
Τὸ μὴ οὐ πέτροισι πᾶς καλαξανθεὶς θανεῖν.
Ὥστ' εἰς τοσοῦτον ἦλθον, ὥστε καὶ χεροῖν
Κυλεῶν ἐρυσὰ διεπεραιώθη ξίφη.
Λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωλάτου,
Ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.
Ἀλλ' ἡμὶν Αἴας ποῦ 'στιν, ὡς φράσω τάδε;
" Τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλεῖν λόγον."
ΧΟΡ. Οὐκ ἔνδον· ἀλλὰ φροῦδος ἀρτίως, νέας
Βυλὰς νέοισιν ἐγκαλαζεύξας τρόποις.
ΑΓΓ. Ἰὲ, ἰέ.
Βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
Πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς;
ΧΟΡ. Τίδ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον;

TURN. ἀρκέσαι.

738. Ἀποκαλῶντες] Ἀττικὸν ἔθος, τὸ ἐπιφέρειν ἐνικοῖς πληθυντικὰ καὶ ἀνάπαλιν· ὡς καὶ νῦν, Οὔ τις ἔσθ' ὃς οὐχὶ ἕλκει σύναιμον αὐτὸν ἀποκαλῶντες.

Ib. Ὡς οὐκ ἀρκέσοι] ἐπὶ τοῦ Τεύκρου, ὡς οὐκ ἀρκέσοι ἑαυτῷ τὸ μὴ λιθόλευστος γενέσθαι. Ὡς οὐ κωλύσει αὐτὸν καλαλιθωθῆναι.

739. Τὸ μὴ οὐ] συνίζησις.

Ib. Καταξανθεὶς] ἤγουν διαλυθεὶς ὑπὸ τῶν πετρῶν.

740. Ὥστε καὶ χεροῖν] ὥστε καὶ ξίφη διὰ τῶν χειρῶν διεπεραιώθη ἐρυσά. Ἤγουν διόλου ἐξειλκύσθη τῶν κηλῶν.

741. Διεπεραιώθη] διειλκύσθη, διήλθεν, ἐγυμνώθη. Εἰ μὴ γὰρ εἰς πέρας ἑλκυσθῇ, οὐκ ἐξέρχεται.

742. Λήγει δ' ἔρις] ἡ ἔρις εἰς πολὺ δημοῦσα, καὶ προκόψασα, ἔζη τῇ συνάντησει τῇ λόγου Νέστορος· ἐκ τῆς Ἀχιλλέως δὲ πρὸς Ἀγαμέμνονα ἀρχῆς παραγέγραπται· καὶ ὥσπερ ὁ Νέστωρ ἐκεῖ διαλλάσσει, οὕτω καὶ νῦν οἱ γέροντες. Ἡ ἔρις δὴ προκόψασα προσωτάτω, λήγει ἐκ συναλλαγῆς λόγου τῶν γερόντων, οἷον ἐκ τῆς ὁμιλίας.

Ib. Λήγει δ'] τυτίσιν, αὐξηθεῖσα ἕνεκα τοῦ ἐλθεῖν εἰς πλεῖον ἔληξεν ἡ ἔρις ἐν παραινέσει καὶ διδασκαλίᾳ τοῦ λόγου τῶν γερόντων ἀνδρῶν.

743. Ἐν ξυναλλαγῇ λόγου] τῇ ἀμοιβῇ τοῦ λόγου καὶ συμβιβάσει.

747. Νέοισι] καινοῖς.

Ib. Ἐγκαλαζεύξας] συνθείς.

748. Ἰὲ, ἰέ] εἰδὼς ἀπὸ τοῦ μάντεως, ὅτι κακὸν αὐτῷ γίνεται, τοῦτο προαναφωνεῖ.

750. Ἢ 'φάνην ἐγὼ βραδύς] ἤτοι φησὶ δὲ ὅτι οὐκ ἰδράσυνα παραγενόμενος, ἀλλὰ βραδέως ἐπέμφθην.

751. Τί δ' ἐστὶ χρείας τῆσδ'] οἷον, τί σοι λείπει ὥσπερ σπανιῶν ἐστι πρὸς τὴν χρείαν τὴν νῦν; ἐσπάνιζε δὲ τὸ ἄμεινον εἶναι πρὸ ὀλίγου αὐτὸν παραγεγονέναι· καὶ ἐν Σιμωνίδῃ ἐπὶ τοῦ πρὸς Αἰγέα ἀγγέλου πεμφθέντος, Βιότῳ· καὶ σε μᾶλλον ὥσασα πρότερος ἦλθον.

Ib. Ὑπεσπανισμένον] δεόμενον τῆς τοῦ Αἴαντος παρουσίας.

ΑΓΓ. Τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης
Μὴ ἔξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχῃ.
ΧΟΡ. Ἀλλὰ οἴχεταί τοι πρὸς τὸ κέρδιστον τραπείς
Γνώμης, θεοῖσιν ὡς καλλαχθῇ χόλος.
ΑΓΓ. Ταῦτ' ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
Εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύεται.
ΧΟΡ. Ποῖον; τί δ' εἰδὼς τῆδε πράγματος πέρι;
ΑΓΓ. Τοσοῦτον οἶδα, καὶ παρὼν ἐτυγχανον.
Ἐκ γὰρ συνέδρου καὶ τυραννικῆς κύκλου
Κάλχας μεταστὰς οἷος Ἀτρειδῶν δίχα,
Εἰς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
Θεὶς, εἶπε, κἀπέσκηψε πανοίᾳ τέχνῃ
Εἶρξαι κατ' ἦμαρ τὸμφανὲς τὸ νῦν τόδε
Αἴανθ' ὑπὸ σκηναῖσι, μηδ' ἀφέντ' ἐᾶν,
Εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
Ἑλᾷ γὰρ αὐτὸν τῇδε θ' ἡμέρᾳ μόνῃ

752. Τὸν ἄνδρ' ἀπηύδα] ἀναγκαίως δεῖ νοεῖσθαι, ὅπως ἔγνωκεν ἀπόντα τὸν Αἴαντα. Ἔδει γὰρ ἀκηκοέναι τῷ θεάτρῳ. Λέγει δὲ, ὅτι ἀπηγόρευσεν ὁ Τεῦκρος μὴ παρεῖναι τὸν ἄνδρα ἐκ τῆς σκηνῆς ἔξω. Τὸ δὲ μὴ καὶ παρόντος καὶ ἀπόντος σώζεται ἡ ἔννοια.

753. Παρήκειν] παρεῖναι.

754. Πρὸς τὸ κέρδιστον] ἤγουν, πρὸς τὴν ἐπικερδῆ καὶ ἐπωφελῆ γνώμην.

Ib. Πρὸς τὸ κέρδιστον] πρὸς τὴν ἀμείνονα κρίσιν. Τοῦτο γὰρ δηλοῖ τὸ κέρδιστον τῆς γνώμης. Λέγει δὲ τὴν ἐπὶ καθάρσει ἔξοδον.

755. Ὡς καταλλαχθῇ χόλος] πιθανῶς, ὡς πολῖται, χόλον καὶ μῆνιν λέγουσιν. Οἴχεται δὲ τραπεὶς πρὸς τὸ κέρδιστον τῆς γνώμης, ὅπως τὴν ἔχθραν κατάθηται, καὶ διαλλαχθῇ τοῖς θεοῖς ἀπὸ τοῦ χόλου.

756. Ταῦτ' ἐστὶ τἄπη] ἐπίσταται γὰρ ἀκηκοέναι τὰ παρὰ τοῦ Κάλχαντος.

Ib. Πλέα] ἤγουν, πεπληρωμένα· πλέον, τὸ πεπυσσότερον, μικρὸν, καὶ κλίνεται πλέονος, πλέον δὲ, τὸ ἀνάπλεων, μέγα

757. Εἴπερ τι Κάλχας] ἐκ παροιμίας ὁ στίχος παρῆκται, ἣν καὶ Ἀριστοφάνης ἀναγράφει.

758. Εἰδὼς τῆδε πράγματος] περὶ τούτου τοῦ πράγματος, ἤγουν, τῆς ἐξιλεύσεως τοῦ Αἴαντος.

759. Καὶ παρὼν ἐτυγχανον] ἤγουν, ἃ μέλλω εἰπεῖν, οὐ παρ' ἄλλου ἤκουσα, ἀλλ' αὐτὸς παρὼν ἠκροώμην.

760. Κυκλοῦ] χοροῦ.

761. Μεταστὰς] μεταχωρήσας· Μεθίστασθαι τὸ ἀμείβειν φάσιν ἐκ φάσεως· καὶ μεταβαίνειν τὸ ἀμείβειν τόπον ἐκ τόπου.

Ib. Ἀτρειδῶν δίχα] παγύ ἀξιωτίσεως· ὅτι οὐκ ἄνλικρυς τῶν βασιλέων ὁ μάντις διειλέγετο, ἀλλ' ἐν ἀποῤῥήτῳ, κατ' εὔνοιαν τοῦ Αἴαντος.

763. Παντοίᾳ τέχνῃ εἶρξαι] ἤγουν, κωλῦσαι διὰ παντοίας τέχνης καὶ μηχανῆς τὸν Αἴαντα ὑπὸ ταῖς σκηναῖς κατὰ τὴν παροῦσαν ταύτην ἡμέραν.

765. Ἀφέντ' ἐᾶν] ἤγουν, ἀπολύσαντα. Ὅμοιον δὲ τῷ ἔφη λέγων.

767. Τῇ δὲ θ' ἡμέρᾳ] λέγουσί τινες, ὡς τῷ θ' ἀντὶ τοῦ τε λαμβάνεται, καὶ συνάπλιβει πρὸς τὸ γὰρ ὕστω, καὶ γὰρ, ἐλᾷ τῇδε τῇ ἡμέρᾳ

Δίας Ἀθάνας μῆνις, ὡς ἔφη λέγων.
" Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
" Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
" Ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπῳ φύσιν
" Βλαστῶν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ."
Κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος,
Ἄνυς καλῶς λέγοντος εὑρέθη πατρός.
Ὁ μὲν γὰρ αὐτὸν ἐννέπει, " Τέκνον, δορὶ
" Βάλλε κραλεῖν μέν, σὺν θεῷ δ' ἀεὶ κραλεῖν."
Ὁ δ' ὑψικόμπως κἀφρόνως ἠμείψατο,
Πάτερ, θεοῖς μέν, κἂν ὁ μηδὲν ὤν, ὁμῶς,
Κράτος καλαίσαιτ'· ἐγὼ δὲ καὶ δίχα

μάχης τοῦτον· σὺ δὲ ἀντὶ τῶν τοιούτων, κυφιζομένην σε οἱ, ὥσπερ καὶ τῆς αἰ διφθόγγου, ὡς ἔχει τὸ βούλομ' ἐγώ.

768. Ὡς ἔφη λέγων] τὸ ἔφη καὶ τὸ λέγων ἐκ παρελλήλου τινὲς οἴονται. Τὸ δ' ἐ τοιοῦτον, ἀλλ', ἅπερ φαμὲν, τοιαῦτα ἔφη δημηγορῶν ὧτω καὶ τοῦτο, ἅτως ἔφη καὶ οἱονεὶ ἀπεφήναλο, λέγων τὸν περὶ τῦ Αἴαντος λόγον.

769. Τὰ γὰρ περισσὰ κἀνόνητα] τὰ παράλογα καὶ ἀχρήσιμα καὶ πέρα τῦ μέτρε, τὸ χωρὶς δίκης.

770. Βαρείαις] ἀπὸ μεταφορᾶς τῶν βαρέων σωμάτων καὶ δυσβαστάκτων.

771. Ὅστις ἄνθρωπῳ φύσιν] περίεργαται ὁ τὲς ἰὰς τὸ, γνῶθι σαυτόν. Πρὸς τὸ σημαινόμενον δὲ εἶπεν, ὅστις τὸ ἀνθρώπε ἀποδὲς, ἅτινα δίον εἰπεῖν, εἰ καὶ μὴ πληθυντικῶς εἶπεν. Ἁπλούστερον γὰρ ὃ τινες, εἰπεῖν ἐξεῖ. Τὸ δὲ ὅλον, ὅστις ἄνθρωπος πεφυκώς, ἔπειτα μὴ καθ' ἄνθρωπον φρονεῖ.

Ib. Φύσιν] ἀσία φύσεως διαφέρει. Οὐσία μέν ἐστι ἡ ὕπαρξις. Φύσις δὲ, ἡ ἐνοῦσα τινὶ δύναμις. Οἷον, φύσις ἐστὶ γῇ [τὸ ἀναβλαστεῖν βοτάνας, καὶ φύσις τῦ πυρὸς, τὸ θερμαίνειν ἀφ' ἃ εὐφυὴς, ὁ εὖ ἔχων τῆς φύσεως, καὶ εὐφυία ἐπὶ τούτε. Εἰκότως δὲν εὐφυία, καὶ ἐπ' ἀνθρώπων λέγεται, καὶ φυτῶν, καὶ γῆς, καὶ τῶν τοιούτων. Λέγεται φύσις καὶ ἡ ποιότης αὕτη, περιβέβληται φύσεως ἰ μιᾶς· ἤγουν, ποιότητος. Καὶ τὸ κάλλος φύσις, καὶ τὸ γίγνεσθαι ἀπὸ τῆς φύσεως. Οὐ μαθὼν ὃς εἶ φύσιν.

772. Ἔπειτα] τινὲς οἴονται εἰς ἀπόδοσιν μετοχῆς τιθέμενον, ἀργὸν εἶναι. Τὸ δὲ τοῦτ' ἔστι τοιοῦτον, ἀλλὰ τὴν αὐτῦ σώζει φύσιν. Ἠπάτηνται δὲ ἀπὸ τέτε, ὅτι εἰ ἀπῆν τῦ ῥυθμῦ, οὐδὲν ἂν τὸν λόγον ἔβλαπτε· πρὸς ὃ φήσομεν, ὅτι καὶ ἕτερα μυρία τοιαῦτά ἐστιν εὑρεῖν, ὥσπερ καὶ τὸ πρὸς κακῶ ἐστὶ τὸ φρονεῖν. Τὸν γὰρ αὐτὸν λόγον ἔχει τὸ πρὸς, ἀργὸν δοκῶν παρὰ τοῖς πολλοῖς.

Ib. Κατ' ἄνθρωπον] καθὼς ἀπαιτεῖ ἡ φύσις τῶν ἀνθρώπων.

Ib. Φρονεῖ] Διανοεῖται, πίπτει καὶ ἀπόλλυται.

773. Κεῖνος δ' ἀπ' οἴκων] τίνα πρὸς τὸν αὐτῦ πατέρα Αἴας ἔφη, ὅτε πρὸς Τροίαν ἐμέλλε πλεύσειν.

775. Αὐτὸν ἐννέπει] τῶ μόνον πρὸς δοτικὴν τὸ ἐννέπω ἀλλὰ καὶ πρὸς αἰτιατικὴν ἅπαξ, ὥσπερ καὶ τὸ λέγω.

777. Ὁ δ' ὑψικόμπως] παρατήρει κἀνθάδε τὴν προσθήκην τῦ ποιητῦ, ὅτι προσῆψε τῷ Αἴαντ' γλωσσαργίαν, μονονυχὶ θεραπείων τὸν θυατὴν μὴ ἀχθεσθαι τῇ συμφορᾷ τῦ Αἴαντος. Προσακεκαυμένος γὰρ ἦδη τῇ ἀρετῇ αὐτῦ, σχεδὸν καὶ τῷ ποιητῇ ὀργίζονται.

778. Ὁμῶ] Τὸ ὁμῶ ἀντὶ τῆς σύν. Τὸ δὲ ἑξῆς, θεοῖς ἠμῶ.

780. Πέποιθα]

Κείνων, ὡς ἔοικα τῦτ' ἐπισπάσειν κλέος.
Τοσόνδ' ἐκόμπει μῦθον· εἶτα δεύτερον
Δίας Ἀθάνας, ἡνίκ' ὀτρύνασά νιν
Ὑδᾶτ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
Τότ' ἀντιφωνεῖ δεινὸν ἄῤῥητόν τ' ἔπος,
Ἀνασσά, τοῖς ἄλλοισιν Ἀργείων τέλας
Ἴσω, καθ' ἡμᾶς δ' ὕποτ' ἐκῤῥήξει μάχη.
Τοιοῖσδε τοῖς λόγοισιν ὀξεργῆ θεᾶς
Ἐκτήσατ' ὀργήν, ὃ κατ' ἄνθρωπον φρονῶν.
Ἀλλ' εἰπέρ ἐσι τῆδέ θ' ἡμέρᾳ, τάγ' ἂν
Γενοίμεθ' αὐτῷ σὺν θεῷ * σωτήριοι
Τοσαῦθ' † ὁ μάντις εἶφ'· ὁ δ' εὐθὺς ἐξ ἕδρας
Πέμπει με σοὶ φέροντα τάσδ' ἐπιστολὰς
Τεῦκρος φυλάσσειν. Εἰ δ' ἀπεσερήμεθα,
Οὐκ ἔσιν ἀνὴρ κεῖνος, εἰ Κάλχας σοφός.
ΧΟΡ. Ὦ δαΐα Τέκμησσα, δύσμορον γένος,

* Turn. in marg. θεοῖς. † Aldus, τοιαῦθ'.

780. Πέποιθα] ὥσπερ κανονίζεται τὸ εἴκω, ὃ μέλλων εἴξω. Ὁ παρακ. εἶκα. Ὁ μίσος, οἶκα, καὶ τὸ ἐνασμῷ τὸ ε, ἔοικα, καὶ εἶδω, εἴσω, εἶκα, οἶδα, καὶ λείπω, λείψω, λέλειφα, λέλοιπα. Οὕτω καὶ πείθω, πείσω, πέπεικα, πέποιθα.

781. Εἶτα δεύτερον] τῶτο ὡρὸς τὸ, ἄνες καλῶς λέγοντος, ἀποδέδοται. Ἦγεν, τῷ παῤῥὸς καλῶς λέγοντος, ἄνες ἐφωράθη. Εἶτα δεύτερον τῆς δίας Ἀθάνας λεγήσης δηλονότι, ἄνες εὑρέθη.

784. Τότ' ἀντιφωνεῖ] τὸ τότε ἐπαναληψίς ἐσι τῶν προλαβόντων· ὥςε ὃκ ἐπὶ τῆς δίας Ἀθάνας δεῖ λέγειν, ἀλλὰ λεγέσης τῆς Ἀθηνᾶς. τὰ καὶ τὰ τότε, καθ' ὃν δηλονότι καιρὸν ἐκείνη ταῦτα ἐνετέλλετο.

786. Ἴσω] ἴσασο.

Ib. Καθ' ἡμᾶς δ'] ἡ καθ' ἡμᾶς μάχη.

Ib. Ἐκῤήξει] ἦγεν, σχίσμα ποιήσει.

787. Ἀξεργῆ] ἀμάλακτον, ἀδιάθετον.

788. Οὐ κατ' ἄνθρωπον] ἦγεν, κατὰ φύσιν ἀνθρώπε.

789. Ἀλλ' εἰπέρ ἐσι] ἀντὶ τῦ, περίεσιν, ἦγεν, ζῇ.

Ib. Ἀλλ' εἰπέρ ἐσι] ἢ παρέλθοι ταύτην τὴν ἡμέραν, σωθεὶη ἂν. Μέχρι γὰρ τῆς σήμερον παραλείψειν τὴν ὀργὴν τῆς Θεῦ ἔλεγεν.

790. Σὺν Θεῷ] ἦγεν, μετὰ τῆς βοηθείας τῦ Θεῦ.

Ib. Σωτήριοι] ἦγεν, σωτηριώδεις, χρήσιμοι εἰς τὴν αὐτῶ σωτηρίαν.

791. Ὁ δ' εὐθὺς ἐξ ἕδρας] ἅμα μὲν διὰ τὸ ἀξιόπιςον τῆ προσώπε· ἅμα δὲ ὡς μὴ δοκοίη ἐξ ἀπέχθειαν ταῦτα λέγειν. Διὸ τῶν τῶν καὶ διδάσκει, ὅτι κρατεῖ τῶν ἀνθρωπίνων ἡ εἱμαρμένη. Καὶ γνῶναι μὲν τὰ ἐσόμενα διὰ μαντικῆς ἐσιν, ὃ μὴν φυλάξασθαι δυναλόν.

795. Ὦ δαΐα Τέκμησσα] δαΐον κοινῶς τὸ πολέμιον, Ἀτλικῶς δὲ τὸ δύσηνον. Τίνος δὲ ἕνεκεν ὃκ ἐποίησεν ἐξιῶσαν τὴν Τέκμησσαν; ἵνα μετὰ

Ὅρα μολοῦσα τόνδ', ὁποῖ' ἔπη θροεῖ·
Ξύρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά.
ΤΕΚ. Τί μ' αὖ τάλαιναν, ἀρτίως πεπαυμένην
Κακῶν ἀτρύτων, ἐξ ἕδρας ἀνίστα[ε];
ΧΟΡ. Τοῦδ' εἰσάκουε τἀνδρὸς, ὡς ἥκει φέρων
Αἴαν[ος ἡμῖν πρᾶξιν, ἣν ἤλγησ' ἐγώ.
ΤΕΚ. Οἴμοι, τί φῄς, ἄνθρωπε *; μῶν ὀλώλαμεν;
ΑΓΓ. Οὐκ οἶδα τὴν σὴν πρᾶξιν· Αἴαν[ος δ' ὅτι

* Aldus, ὦ ἄθρωπε.

μετὰ τοῦ χοροῦ ἀκούσῃ τὰ περὶ τοῦ Αἴαντος· ὡς ἐν τοῖς ἄλλοις δράμασιν, ἵν τε Ἠλέκτρα καὶ Οἰδίπους ἅμα τῷ χορῷ τὰς τῶν γυναικῶν περῳδὰς ποιεῖ, ἵνα μὴ εἰσελθόντες οἱ ἄγγελοι. Ῥητέον δέ, ὅτι ὁ Αἴας ἐκέλευσεν αὐτὴν κατ' οἶκον εὐξασθαι τοῖς θεοῖς, εἰπὼν, καὶ δῶρ' ὀπάκτη. Οὐδὲ μὴν αἰχμαλώτου σχῆμα ἔχουσαν εἶδεν συνεχῶς ἐξιέναι, μᾶλιστα ἐν τοιούτῳ κειρῷ ἠγεμονικῶν, καὶ παρακολουθηκυῖαν τῇ τοῦ Αἴαντος μανίᾳ. Εἶδεν δὲ μέγα τὸ φαίνεσθαι τὸ ἐξάγον αὐτήν. Διὸ πρὸς τὸ χορὸν εἶδεισε πρῶτον εἰπεῖν. Ἢ ὡς ἐπὶ μεγάλῃ προφάσει ἐκκαλοῦσιν αὐτήν· ἄλλως τε οἱ ἀπὸ τοῦ χοροῦ οἰκειότεροί εἰσιν, ὡς πολῖται τοῦ Αἴαντος. Ὥιξε καὶ ὁ ἄγγελος καλῶς οὐκ ἐζήτησε μεῖζον πρόσωπον, ἀλλὰ τὸν Αἴαντα ὑ καταλαβὼν ἔνδον, πρὸς τὸν χορόν φησιν. Εἰς ἀνάγκην δὲ γεγονὼς ὁ ποιητὴς τοῦ διαλογῆσαι, ἀδεμιᾶ προσκορὴς ἐγένετο, ἀλλὰ τὰ δεύτερα διὰ βραχέων ἐξήνεγκεν. Ἄλλως· ὦ δαῖα· δηίᾳ πεποιθυῖα, ἡ καίτοι κεκομμένη, καίπερ πολεμομένη, κεκακωμένη. Ὦ δύσνε. Ὦ πεπολεμηκέναι καὶ ἀθλία. Ἀπρεπὲς γὰρ πολεμίαν αὐτὴν ἀπεκαλεῖν. Καὶ Αἰσχύλος ἀντὶ τοῦ ἀθλία κέχρηται τῇ λέξει.

796. Ὅρα μολοῦσα] ἤγουν, σκόπει ἐλθοῦσα. Ὁμοίων δὲ, Ὅρα τιν' ἤδη κρᾶτα καλύμμασι κρυψάμενον.

797. Ξυρεῖ γὰρ ἐν χρῷ] ἁπλῶς τῶν ἀναγκαίων τοῦ χρώτος. Καὶ ἔστι παροιμία ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων, ξυρεῖ ἐν χρῷ. Ἐνίοτε γὰρ καὶ τοῦ σώματος ἐφάπτεσθαι ὁ σίδηρος. Ἄλλως· μέχρι βάθους ἐφικνεῖται, ὥστε μὴ χαίρειν. Τὸ δὲ τινὰ παρίλκει.

Ib. Ξυρεῖ γὰρ ἐν χρῷ] παροιμία ἐπὶ τῶν εἰς βάθος ἀποτομίαν λεγομένη, καὶ ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων. Λέγεται δὲ καὶ ὅτως, Ἐν ξυρῷ ἵσταται τὸ πρᾶγμα.

798. Τί μ' αὖ τάλαιναν] πρὸς τὸ Εὐριπίδειον ἐν Δίκτυι, "Τί μ' ἄρτι πημάτων λι- "λησμένην ὀρθοῖς;"

799. Ἀτρύτων] πολυτρύτων. Πάνυ κακῶν.

Ib. Ἔξ ἕδρας ἀνίστα[ε] ὡκῶν διὰ τὸ κεκμηκέναι καὶ ἀναπαύσεως δέεσθαι, ἵνδον διέτριβε. Καὶ τὴν πρόφασιν τοῦ μὴ προϊέναι διασαφεῖ.

801. Ἤλγησ'] ἀλγεινῶς ἤκουσα.

802. Τί φῄς, ἄνθρωπε] περιπαθῶς ἀναθορὼν συνομίνη, ὅτι ἀγγέλλει τις νεώτερόν τι περὶ τοῦ Αἴαντος. Ἴδιον δὲ τῶν φίλων τὸ τὰ χείρω ἀεὶ ὑποπτεύειν.

Ib. Μῶν ὀλώλαμεν] τοιαῦτα γὰρ ἔλεγεν, ὅτι συναπολοῦμαί σοι, ἐὰν σὺ ἀποθάνῃς.

803. Οὐκ οἶδα τὴν σὴν πρᾶξιν] ἀντὶ τοῦ, τὴν τύχην, ἤγουν, εὐπραγίαν, ἢ δυσπραγίαν. Πρὸς δὲ τὸ μῶν ὀλώλαμεν, ἐπήγαγεν ὁ ἄγγελος περὶ τοῦ Αἴαντος μόνου. Οὐ γὰρ τοιοῦτός ἐστιν ὁ καιρὸς, ὥστε σοφίζεσθαι, καὶ τὰς φωνὰς ἐξετάζειν. Καλῶς δὲ τὸ θαρσῶ. Οὐδὲ γὰρ αὐτὸς οἶδεν, ἀλλ' ἀπὸ τῶν λόγων τοῦ Κάλχαντος ἀγωνιᾷν φησίν.

803. Ὅτι θυραῖος] τοῦτό φησι, διότι παρ' αὐτῶν ἦκουσε. Τὸ δὲ εἰπὲρ ἔστιν, ἀντὶ τοῦ εἴπερ ἀληθῶς ἐστὶν ἐκτός. Οὐ γὰρ οἶδε σαφῶς. Λέγει δὲ καὶ ὅτω, ὦ θαρσῶ δὲ περὶ τοῦ Αἴαντος, εἰπὲρ ἔστι, τυτίσγιν ἐὰν ζῇ, ὅτι θυραῖός ἐστιν ἢ (ὅπερ καὶ κρεῖττόν μοι δοκεῖ) ὅτω λέγει οὐκ οἶδα καὶ ὦ γνώσκω τὴν σὴν πρᾶ-

ξιν,

Θυραῖος εἴπερ ἐστίν, ὃ Θαρσῶ πέρι.
ΤΕΧ. Καὶ μὴν Θυραῖος, ὥστέ μ᾽ ὠδίνειν, τί φῄς;
ΑΓΓ. Ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίεται
Σκηνῆς ὕπαυλον, μηδ᾽ ἀφιέναι μόνον.
ΤΕΚ. Πῦ δ᾽ ἐστὶ Τεῦκρος, καὶπὶ τῷ λέγει τάδε;
ΑΓΓ. Πάρεστι κεῖνος ἄρτι· τήνδε δ᾽ ἔξοδον
Ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν.
ΤΕΚ. Οἵ μοι τάλαινα, τῦ ποτ᾽ ἀνθρώπων μαθών;
ΑΓΓ. Τῦ Θεσπεσίου μάντεος καθ᾽ ἡμέραν
Τὴν νῦν, ὅτ᾽ αὐτῷ θάνατον ἢ βίον φέρει.
ΤΕΚ. Οἰ ἐγώ, φίλοι, πρόσητ᾽ ἀναγκαίας τύχης·
Καὶ σπεύσαθ᾽ οἱ μὲν, Τεῦκρον ἐν τάχει μολεῖν·
Οἱ δ᾽ ἑσπέρους ἀγκῶνας, οἱ δ᾽ ἀνηλίους *

* Ald. Turn. in marg. ἀνθηλίους.

ξιν, ἤγαν, ἥπερ λέγεις σὺ πρᾶξιν τῦ Αἴαντος. Οἶδα δὲ καὶ γινώσκω, ὅτι ὁ Θαρσῶ περὶ τὸ Αἴαντος, εἰπὼν ἐστὶ καὶ ὑπάρχει Θυραῖος, καὶ ἐκτὸς τῆς σκηνῆς. Ἐπὶ δὲ ἀμφιβόλως τὸ εἰπὲρ εἰρηκε, βεβαιῶσα ἡ Τέκμησσα ὅτι ἔξω ἐς τῆς σκηνῆς, φησὶ, καὶ μὴν Θυραῖος ἐστι.

804. Οὐ Θαρσῶ πέρι] περὶ τῦ Αἴαντος δὲ οἶδα δηλονότι, ὅτι εἰπὲρ ἐστι Θυραῖος, ἤγουν ἐκτὸς, καὶ δηλοῖ φάσιν. Θύραζε δὲ, ἀντὶ τῦ εἰς τὸ ἔξω. Θύραθεν ἀντὶ τῦ ἔξωθεν, καὶ δη οἱ κίνησιν ἀπὸ τῶν ἐκτὸς εἰς τὰ ἔσω.

805. Ὠδίνειν] ἀντὶτε τῦ ὀδυνᾶσθαι, ἀλγεῖν Ἐμφατικῶς δὲ τὸ ὠδίνειν. Οἰκεῖον γὰρ γυναικὶ· χαλεπώταλον δὲ τῶν γυναικείων πόνων ἡ ὠδίς.

806. Ἐξεφίεται] ἀντὶ τῦ ἐφίεται, ἤγουν, ἐντέλλεται.

807. Ὕπαυλον] ἐνδόμυχον. Ὑπὸ τὴν αὐλὴν τῆς σκηνῆς.

810. Ὀλεθρίως] ἀντὶ τῦ ὀλεθρίαν, τὸ δὲ φέρειν τετάρτει δέχεσθαι.

811. Οἵ μοι τάλαινα] ἐρώτησις. Παρά τίνος τῶν ἀνθρώπων μαθὼν ὁ Τεῦκρος, ἐλπίζει φέρειν καὶ δέχεσθαι τὴν ἔξοδον τήνδε τῦ Αἴαντος ὀλεθρίαν; Ἀπόκρ. Παρὰ τῦ υἱῦ τῦ Θέστορος, κατὰ τὴν παρεῦσαν ἡμέραν. Ὅτι ἡ παροῦσα ἡμέρα δηλονότι φέρει θάνατον αὐτῷ τῷ Αἴαντι, ἢ ζώην.

812. Καθ᾽ ἡμέραν τὴν νῦν] ἀμφιβόλως, ἤτοι μαθὼν τὴν νῦν ἡμέραν, ἢ ὅτι κατὰ τὴν νῦν ἡμέραν τεθνήξεται.

813. Ὅτ᾽ αὐτῷ θάνατον ἢ βίον] εἰ μὲν ἔνδον μένει, σωθήσεται· εἰ δὲ μὴ, ἀπόλλυται. διὰ τῦτο δὲ τὸ διττὸν τῦ μοιριδίου δηλοῖ· ὡς καὶ Ὅμηρος·

" Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέ-
" λοσδε."

814. Πρόσητ᾽ ἀναγκαίας τύχης] ἤγουν, τῦ παρόντος καιρῦ, ὃ ἀναγκαῖόν ἐστι προσῆναι. διὰ τὸ ἐπὶ ξυρῷ ἡμῖν τὰ πράγματα ἵστασθαι.

815. Οἱ μὲν τεῦκρον] πιθανῶς καὶ Τεῦκρον μεταπέμπεται, ἵνα μὲ δείσῃ ἄγγελον πέμπειν, ὅτ᾽ ἐντύχωσι τῷ σώματι.

Ib. Ἐν τάχει] ἀντὶ τῦ ταχέως· καὶ σὺν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ ταχέος, καὶ διὰ τάχης, καὶ διὰ ταχέων, ἐπὶ τῦ αὐτῦ.

816. Ἑσπέρους] ὠτικῶς.

Ib. Ἀγθηλίους]

Ζητεῖτ' ὄντες τἀνδρὸς ἔξοδον κακήν.
Ἔγνωκα γὰρ δὴ φωτὸς ἠπαλημένη,
Καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
Οἴμοι, τί δράσω, τέκνον; ἀκ ἰδρυτέον.
Ἀλλ' εἶμι κἀγὼ κεῖσ' ὅποι περ ἂν σθένω.
Χωρῶμεν, ἐγκονῶμεν, ὠχ ἕδρας ἀκμή,
Σώζειν θέλοντες ἄνδρα γ', ὃς σπεύδει θανεῖν.
ΧΟΡ. Χωρεῖν ἕτοιμος, κὐ λόγῳ δείξω μόνον·
Τάχος γὰρ ἔργῳ καὶ ποδῶν ἅμ' ἕψεται.

ΑΙΑΣ, ΤΕΚΜΗΣΣΑ, ΤΕΥΚΡΟΣ, ΜΕΝΕΛΑΟΣ, ΧΟΡΟΣ.

ΑΙΑ. Ὁ μὲν σφαγεὺς ἔσηκεν, ἡ τομώταλος

Ib. Ἀγκῶνας] τὰς ἄκρας τῶν ὀρῶν τὰς πρὸς δύσιν.

Ib. Ἀνθηλίκης] ἴσως, τὰς ἀντικρὺ τῆς ἀφαυσμοῦ τοῦ ἡλίου.

Ib. Οἱ δ' ἀντηλίης] τὸ ἀντηλίης ἀπὸ τοῦ ἀντηλίης γίγνει, κατὰ τροπὴν τοῦ ο εἰς η, ὥσπερ καὶ τὸ φυτοκόμος φυτηκόμος. Τοῦτο δὲ ἐκ τοῦ μέτρου ὅτω γίγνεται. Οὐ χρὴ τοίνυν ἀντηλίης γράφειν· μακρὰ γὰρ ὀφείλει εἶναι ἡ συλλαβὴ αὕτη. Ἀλλ' ἐδὲ πάλιν ἀνθηλίκης, ὡς ἐν τισὶ τῶν βιβλίων εὕρηται, ἡ γὰρ ἀπὸ τοῦ ἥλιος γίνεται, ἀλλ' (ὡς εἴρηται) κατὰ τροπὴν τοῦ ο εἰς η.

818. Ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη] εἶπε, δι' ὧν εὐνοϊκῶς ἔπραξε εἰς αὐτὴν κατασφρήσας ἐπάτησέ με.

819. Τῆς παλαιᾶς] ἤγουν, τῆς τῶν πολλῶν ἐπῶν ὑποσχῆς.

820. Οἴμοι, τί δράσω] περιπαθῶς ἐφάψασθαι τῆς ζητήσεως καὶ τῷ τέκνῳ κελεύει, καὶ ὥσπερ ἀπολογιζομένη ὅτι καταλιμπάνει αὐτὸν φησιν ὅτι, ἐν ἀπόρῳ γενομένη, τί δράσω; εἶον, πῶς μένω σε καλελίπω.

Ib. Οὐκ ἰδρυτέον] οὐκ ἀξίων καθίζεσθαι.

821. Ὅποι περ ἂν σθένω] οἷον, τῆς προθυμίας θέλειν ἐλλείπω, καὶ εἰ τῷ σώματι ἀδύνατῶ.

822. Ἐγκονῶμεν] ἤγουν, σπεύδωμεν. Τὸ ἐγκονεῖν λέγουσιν ἀντὶ τοῦ σπεύδειν, ἐπὶ οἱ μετὰ σπουδῆς πορευόμενοι κόνιν ἐγείρουσιν.

Ib. Οὐχ ἕδρας ἀκμὴ] ἤγουν, καθέδρας, ἀναπαύσεως καιρὸς ἐστίν.

823. Σώζειν θέλοντες ἄνδρα γ'] τουτέστιν, θέλοντες φυλάξαι ἐκ τῆς κινδύνου τὸν Αἴαντα.

824. Χωρεῖν ἕτοιμος] μετακινεῖται ἡ σκηνὴ τοῦ χοροῦ ἐξελθόντος· ἀναγκαία δὲ ἡ ἔξοδος, ἵνα εἴη καιρὸν ὁ Αἴας χειρίσασθαι ἑαυτόν.

825. Τάχος γὰρ ἔργῳ] ἤγουν, ἅμα γὰρ ἕψεται, ἀντὶ τοῦ συνέρχεται τάχος ἔργῳ καὶ σπουδῇ ἤγουν, ποσίας. Τυτίζει καὶ ταχίως ἅψομαι τοῦ ἔργου, καὶ ταχίως ἐργάσομαι αὐτό.

826. Ὁ μὲν σφαγεὺς ἔσηκεν] μελάκιλαι ἡ σκηνὴ ἐπὶ ῥήμασι τινὸς χαρίν, ἔνθα ὁ Αἴας ἐντρεπίσας τὸ ξίφος, φησὶν τινὰ πρὸ τοῦ θανάτου προφέρεται. Ἐπεὶ γελοῖον ἦν καφὸν εἰσελθόντα παρὰ τοῖς παλαιοῖς σπάνια. Εἰώθεσι γὰρ τὰ πεπραγμένα δι' ἀγγέλων ἀπαγγέλλειν. Τί δ' ἂν τὸ αἴτιον; φθάνει Αἰσχύλος ἐν Θρῄσσαις "τὴν "ἀναίρεσιν Αἴαντος δ' ἀγγέλου ἀπαγγείλας."
Ἴσως δὲ καινολογεῖν βουλόμενος, καὶ μὴ κατὰ καλεῖν τοῖς ἑτέροις, ὑπ' ὄψιν ἔθηκε τὸ δρώμενον. Ἢ μᾶλλον ἐκπλῆξαι βουλόμενος. Εἰκὸς γὰρ καὶ ἀγγελεῖν ἀνδρὸς παλαιὸν οὐ ὅσιον. Πῆξας δὲ τὸ ξίφος ταῦτά φησι. Σφαγία δὲ λέγει, ἢ τὸν καιρὸν τοῦ ἀποθανεῖν, ἢ τὸ εἰς σφαγὴν ξίφος.

826. Ἡ, τομώτατος] ἀντὶ τοῦ ὅτι. Πρέπον γὰρ ἂν εἴη τῷ ἀπηνεκάστι, ἀλογίως λέγει ἐπὶ τὸ προκείμενον. Ἕπεται δὲ τῷ λόγῳ, ὅτι τοῖς καρτερικοῖς καὶ ἄπαξ κρίνασι περί τινος, ἡ γίνεται ἀναβολὴν οὐδὲ μετάθεσις. Ὥσπερ δὲ ἀποδίδοται τὸ ὡς πρὸς τὸ ὅτως, ὅτω καὶ τὸ ἡ τῷ ἐπιῤῥήματι πρὸς τὸ ταύτῃ ἐπιῤῥήματι.

Γένοιτ' ἂν, εἴτω καὶ λογίζεσθαι σχολή.
Δῶρον μὲν ἀνδρὸς Ἕκτορος, ξένων ἐμοὶ
Μάλιστα μισηθέντος ἐχθίστῳ θ' ὁρᾶν·
Πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρωάδι,
Σιδηροβρῶτι θηγάνῃ νεηκονής.
Ἔπηξα δ' αὐτὸν εὖ περισείλας ἐγὼ
Εὐνέστατον τῷδ' ἀνδρὶ διὰ τάχους θανεῖν.
Οὕτω μὲν εὐσκευῶμεν· ἐκ δὲ τῶνδέ μοι
Σύ πρῶτος, ὦ Ζεῦ (καὶ γὰρ εἰκὸς) ἄρκεσον.
Αἰτήσομαι δέ σ' ὀ μακρὸν γέρας λαβεῖν,
Πέμψόν τιν' ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρῳ φέρονθα, πρῶτος ὡς με βασάσῃ
Πεπληγὼτα τῷδε περὶ νεορράπτῳ ξίφει,
Καὶ μὴ πρὸς ἐχθρῶν τε καλοπευθεὶς πάρος
Ῥιφθῶ κυσὶ πρόβλητος, οἰωνοῖς θ' ἕλωρ.

827. Εἴτω καὶ λογίζεσθαι] ὅμοιον τῷ, ἵνα τί καὶ παραθεωρήσω, καὶ, εἰ δεῖ τοῦτο εἰπεῖν. καὶ τοῖς τοιούτοις ἀντὶ λίγεται ὅτε ἀνακύψει τὶ καὶ προτρπάσει τοῦτο ὁ νοῦς. Εὐθὺς γὰρ ἐπίγεται ταῦτα, ἵνα δηλώσῃ ὅτι καὶ ἕτερόν τι ἀνέκυψεν, ὅπερ οὐκ ἦν ἐν τῇ γνώμῃ τῷ προκειμένῳ σκοπῷ. Ἐμφαίνει δὲ ταῦτα εὐπορίαν τῷ λέγοντος, ὡς μεταξὺ δύνασθαι σχεδιάζει παρέργως καὶ ἑτέρας ἐπιβολάς.

829. Μάλιστα μισηθέντος] μεγαλόφρων Αἴας, καὶ μίχρις ἰσχάτης ὥρας μισῶν τὸ βαρβάρως. Ὅτι δὲ δῶρον εἶπεν, ξένιον ἐπήνεγκε. Ξένιον γὰρ λέγομεν τὸ δῶρον τὸ παρὰ ξένων δεδόμενον. Εἶτα προσέθηκεν, ἐμοὶ μάλιστα μισηθέντος.

Ib. Ἐχθίστῳ θ' ὁρᾶν] ἐμοὶ ὅλον εἰς τὸ ὁρᾶν, ὅμοιον τῷ, ἡδὺς ὁ ποταμὸς πιεῖν, ἡγὼν, εἰς τὸ πιεῖν τινὰ ἐξ αὐτοῦ.

830. Πέπηγε δ' ἐν γῇ] πρόδηλον μὲν, ὅμως διὰ τὸ περιπαθὲς, ὅτι ἐν πολεμίᾳ γῇ ὑπὸ δυσμενῶν ἀπόλλυμαι.

831. Θηγάνῃ] ἀκόνῃ. Ὅθεν καὶ θήγειν, τὸ ἀκονᾶν.

832. Περισείλας] εὐτρεπίσας, διαχειρισάμενος. Περισείγξας ἐν τῇ γῇ.

833. Εὐνέστατον τῷδ' ἀνδρὶ] οἱ μὲν τὸ εὐνούστατον πρὸς τὸ σφαγέα φασὶν· οἱ δὲ ζέζκασιν εἰς τὸ ἐγὼ, καὶ τὸ ἐξῆς κομματικὸν ἐκφέρουσιν, εὐδέτερον τὸ εὐνούσαιον νοοῦντες πρὸς τὸ θανεῖν.

836. Οὐ μακρὸν γέρας λαχεῖν] ὁ μεγάλων ἀρχῶν τυχεῖν, λαχεῖν κυρίως τὸ ἀπὸ κλήρου τυχεῖν. Ἐνταῦθα δὲ ἁπλῶς ἀντὶ τοῦ τυχεῖν. συντάσσεται δὲ τὸ μὲν λαχεῖν αἰτιατικῇ, τὸ δὲ τυχεῖν γενικῇ.

838. Φέροντα] ἀντὶ τοῦ οἰσοντα. Φάτιν δὲ, τὴν ἀγγελίαν.

839. Πεπλῶτα] περιπεπλωκότα, κατὰ συγκοπὴν ἀπὸ τοῦ περιπλωκότα.

Ib. Περὶ νεορράντῳ ξίφει] ἤγουν, τῷ νεωστὶ ὑφ' αἵματος φανθέντι. Λέγει δὲ τοῦτο ὅσον πρὸς τὸν καιρὸν, καθ' ὃν ἔμελλε Τεῦκρος αὐτὸν βασάσειν. Τότε γὰρ νεόρραντον ἦν.

Ib. Νεορράντῳ] προσφάτῳ. Ἢ τῷ δι' ὀλίγου ῥαντισθησομένῳ ὑπὸ τοῦ αἵματος.

841. Ῥιφθῶ] ἀντὶ τοῦ ῥιφῶ. Ὡς ἀπολοπλισθῶ,

Τοσαῦτά σ', ὦ Ζεῦ, προτρέπω*· καλῶ δ' ἅμα
Πομπαῖον Ἑρμῆν χθόνιον εὖ με καιμίσαι,
Ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι,
Πλευρὰν διαῤῥήξαντα τῷδε φασγάνῳ.
Καλῶ δ' ἀρώγὲς τὰς ἀεί τε παρθένὲς,
Ἀεί θ' ὁρώσας πάντα τἀν βροτοῖς πάθη,
Σεμνὰς Ἐριννῦς, τανύποδας, μαθεῖν ἐμὲ
Πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
Καί σφας κακὲς κάκισα καὶ πανωλέθρὲς
Ξυναρπάσειαν· ὥσπερ εἰσορῶσ' ἐμὲ

* Turn. in marg. προστρέπω.

φεν, ὅτε εἰσὶν οἱ εἰς ην παθητικοὶ δεῦτεροι ἀόριστοι ἐν γρήσει, οἱ παθητικοὶ πρῶτοι ἀόριστοι ἀχρηστοι εἰσὶν, εἰ μὴ παρὰ ποιηταῖς. Οἷον ῥίπτω, ῥίψω, ἔῤῥιψα, ἐῤῥίφην, ἐῤῥίφθην. Φαίνω, ἐφάνην, ἐφάνθην.

Ib. Οἰωνοῖς] ὄρνισιν. Κυρίως δὲ οἱ γῦπες.

842. Τοσαῦτά σ', ὦ Ζεῦ] γράφεται τοιαῦτα.

Ib. Προτρέπω] κατευκτικῶς λέγω. Προστρέπαιοι γὰρ οἱ ἱκέται.

843. Πομπαῖον] τὸν ψυχοπομπόν.

Ib. Εὖ με καιμίσαι] Θαυμασίως καὶ γενναίως καιμίσαι εἶπεν ὡς ἐπὶ ὕπνῳ τὸν Θάνατον, καὶ Ὅμηρος·

" Κοιμίσαι χάλκεον ὕπνον."

844 Ξὺν ἀσφαδάστῳ] ἀσκαρίστῳ καὶ σπασμὸν μὴ ἔχοντι· ἀντὶ τοῦ συντόμῳ. Ὅπως κεῖρας τῆς πληγῆς γιγνομένης, μὴ προσγενήσεται, σπασμὸν, μηδὲ πολλὴν ἐν τῷ Θανάτῳ διατριβήν. Καὶ παρ' Εὐριπίδῃ·

" Ὁ δ' ἐσφάδαζεν, οὐκ ἔχων ἀπαλλα-
" γάς."

Σπαδάζειν ἔλεγον τὸ σπᾶσθαι καὶ σφακελίζειν. Παραδεδομένων δὲ κατὰ ἰσορρόπιαν, ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην τρωτὸς, διὰ τὸ τὸν Ἡρακλέα, ᾧ λεοντῆ αὐτὸν σκεπάσαντα, κατὰ τοῦτο τὸ μέρος ἀσκέπαρνον ἔασαι, διὰ τὸν γωρυτὸν, ὃν περίκειτο. Φησὶ δὲ περὶ αὐτοῦ Αἰσχύλος, ὅτι καὶ τὸ ξίφος ἐκάμπτιλο ἑδαμῇ ἐνδιδύντος τῷ γρωτῷ τῇ σφαγῇ, Τόξον ὡς τις ἐντείνων, πρὶν ἀφῆ τις, φησὶ, παρῇσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ. Ὁ δὲ Σοφοκλῆς, ἐριθεῦσαι μέν τι ὡς πρισβυτέρῳ μὴ βεληθεὶς, ἐ μὴν παραλιπεῖν αὐτὸ δοκιμάζων, ψιλῶς φησὶ πλευρὰν διαῤῥήξαντα τῷδε μασγάνῳ, κατά τι τὴν πλευρὰν μὴ εἰπών.

846. Τὰς ἀεί τε παρθένας] μυθικὴν ἴσι τὸ λέγειν τὰς Ἐριννύας ἀεὶ παρθένας. Νῦν δὲ τὰς ἀδωροδοκήτους, καὶ ἐχὶ κρυφθήναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικόντων.

847. Ἀεί θ' ὁρώσας] ἀντὶ τοῦ ἑρᾶσας, ἐκδικώσας τὰ ἀνθρώπινα πάθη.

848. Τανύποδας] τὰς ἀκοπιάστως ἐπιούσας. Συναπτέον δὲ τῷ μαθεῖν τὸ τανύποδας. Οἷον ταχέως μαθεῖν τὸ κατ' ἐμοὶ, καὶ μὴ ἀμελῆσαι, ἐπιξιλθεῖν τὸν ἐμὸν φόνον· τὸ γὰρ τείνειν τὰς πόδας, ἐστὶ τὸ βαδίσαι. Ἢ καθ' ἑαυτὰ τὸ τανύποδας λακτίσειν, τὰς παλαιὰς τινύσας τὰς πόδας.

850. Πανωλέθρὲς] ἀντὶ τοῦ πανολεθρίως, τελείως, παντελεῖ καὶ καθολικῷ ὀλέθρῳ.

851. Συναρπάσειαν] ἀντὶ τοῦ ἁρπάσας ἐμὲ ποιήσειαν. Ἁναρπάσας δὲ ὁ αἰφνιδίως ἀποθανών.

Ib. Ξυναρπάσειεν] ἡ ἀκολουθία τοῦ λόγου συναρπάσαι ἀπῄτει πρὸς τὸ μαθεῖν· ἀλλ' ἐπειδὴ εὐχῆς ἐστιν ὁ λόγος, ὡς εὐκτικὸν ἔθηκε.

Αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
Πρὸς τῶν φιλίσσων ἐκγόνων ὀλοίατο.
Ἴτ', ὦ ταχεῖαι ποίνιμοί τ' Ἐρινύες,
Γεύεσθε, μὴ φείδεσθε παγδήμυ στρατοῦ.
Σὺ δ', ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
Ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν,
Ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
Γέροντι πατρὶ, τῇ τε δυστήνῳ τροφῷ.
Ἡ πού τάλαινα, τήνδ' ὅταν κλύῃ φάτιν,
Ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην·
Ἀλλ' ἀρκτέον τὸ πραγμα σὺν τάχει τινί.
Ὦ θάνατε, θάνατε, νῦν μ' ἐπίσκεψαι μολών.
Καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών·
Σὲ δ', ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,

τοῦτο δὲ καὶ κομματικὸν καὶ ἀσύλλητον ἐποίησε τοῦτο, διὰ τὸ εἶναι εὐγάν· τὰς γὰρ εὐχὰς οὕτω ποιεῖσθαι εἰώθαμεν· ἀποβᾶσι δὲ πῶς αὐτοσφαγεῖς εἰπών, εἶτα ἐπιφέρει, πρὸς τῶν ἐκγόνων· καὶ φαμὲν, ὅτι οὐδέν ἐστιν ἐναντίωμα τῷ λόγῳ· εἰγε ἐκεῖνοι μὲν τοὺς παῖδας ἔσπειραν, αὐτοὶ δὲ αὐτοὺς ἀναιρήσουσιν.

852. Αὐτοσφαγῆ] αὐτοχειρίᾳ σφαγῆ Ἔστι δὲ ἀντὶ τοῦ ἐπιῤῥήματος.

Ib. Τὼς αὐτοσφαγεῖς] τοῦτο ἀπέβη τῷ Ἀγαμέμνονι. Ὑπὸ γὰρ τῶν φιλτάτων ἀπώλετο. Ταῦτα δὲ νοθεύεσθαί φησιν, ὑποβληθέντα πρὸς σαφήνειαν τῶν λεγομένων.

853. Πρὸς τῶν φιλίσσων] παρὰ τῶν φιλτάτων· ἢ πρὸ τῶν φιλίσσων, ἤγουν, ἔμπροσθεν.

Ib. Ὀλοίατο] ὄλοιντο, ἀφανισθεῖεν.

854. Ἴτ', ὦ ταχεῖαι] τὸ ὦ πρὸς τὸ Ἐρινύες σύνταπτέον. Κρεῖττον γὰρ τοῦτο, εἰ καὶ δοκεῖ τινὰ ἔχειν λόγον καὶ πρὸς τὸ ταχεῖαι συντάσσεσθαι.

855. Γεύεσθε] τὸ ἐξῆς, γεύεσθε παγδήμυ στρατοῦ, μὴ φείδεσθε.

856. Σὺ δ' ὦ τὸν αἰπὺν οὐρανον] ὑπερβολικῶς· εἰώθασι γὰρ περὶ τῶν δεινῶν λέγειν, ὅτι ἐπικαλυψάμενος ὁ ἥλιος τὰ τοιαῦτα παρέρχεται. Ὁ δὲ πρὸς τὸν ἥλιον φησὶ, καὶ ἀνάγγειλον ἐποπτεύσας τοῖς γονεῦσι τὰ πεπραγμένα.

858. Ἐπισχὼν] κωλύσας τῆς πορείας. Τὴν ἡνίαν δὲ ἀντὶ τοῦ ἅρματος.

860. Τῇ τε δυσήνῳ τροφῷ] καὶ ταῦτα πεπαθὼ καὶ ἀνθρώπινα· ὁρᾷ γὰρ ὅτι καὶ Ἡρακλῆς ἐπὶ τῷ θανάτῳ τὴν μητέρα μεταπέμπεται, ὅπου καὶ πάνυ οἰκτρῶς αὐτὴν ἀνακαλεῖ. Καλεῖ δὲ τὴν τάλαιναν· ὡς ἀνιλαμβανόμενος δὲ ἑαυτῆς, ἔπαγε. Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην. Ἄλλως· οἱ μὲν, τῇ θρεψαμένῃ, οἱ δὲ καὶ ἐπὶ τὸ σαφέστερον.

861. Ἡ που] ὄντως.

862. Ἥσει] ἀφήσει. Ὁ δὲ κωκυτὸς καὶ ὁ γόος, ποιηταί φασι.

864 Ἀρκτέον] ἤτοι, ἄξιον ἀρχὴν λαβεῖν τὸ πραγμα. Ἔστι γὰρ ὄνομα ἐπίθετον, ἀλλ' οὐκ ἐπιῤῥημα· τὸ μὲν γὰρ οὕτω προφερόμενον ἐπιῤῥήματα, ἐνεργητικὴν ἔχουσι τὴν σημασίαν. Τὸ δὲ ὀνόμαῖα, παθητικήν.

869. Πανύ-

Καὶ τὸν διφρευτὴν ἥλιον προσεννέπω
Πανύσταλον δή, κἄ ποτ' αὖθις ὕστερον.
Ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
Κλειναί τ' Ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
Κρῆναί τε, ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
Πεδία προσαυδῶ· χαίρετ', ὦ τροφεῖς ἐμοί,
Τῦθ' ὑμὶν Αἴας τῦπος ὕσταλον θροεῖ·
Τὰ δ' ἄλλ' ἐν ᾅδᾳ τοῖς κάτω μυθήσομαι.

ΗΜΙΧΟΡΟΣ.

Πόνος πόνῳ πόνον φέρει.
Πᾶ πᾶ γὰρ ἐκ ἔβαν ἐγώ;
Κἀδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος.
Ἰδὲ, ἰδέ· δῦπον γὰρ κλύω* τινά.

* Aldus, ἔστον αὖ κλύω.

869. Πανύσταλον] ἀντὶ τοῦ ὕσταλον· τῶν ποιητῶν ἐπὶ τὸ προστιθέναι τοῖς ὑπερθετικοῖς ἐπίτασιν, οἷον, ὕσταλον, πανύσταλον. ἀρίστου, πανάριστον.

870. Ὦ γῆς ἱερὸν πέδον] τῆς οἰκείας γῆς τῆς Σαλαμῖνος.

871. Πατρῷον] ἀντὶ τοῦ πατρῴας, ἤγουν, κηπεῖς τῆς πατρῴας οἰκίας.

Ib. Ἑστίας βάθρον] δύναται καὶ τὸ κράτος νοεῖσθαι καὶ ὁ τόπος, καὶ ἡ βάσις τῆς ἑστίας.

872. Κλειναί τ' Ἀθῆναι] τῶν Ἀθηναίων μέμνηται διὰ τὴν συγγένειαν. Καὶ ὅτι ἐν Ἀθήναις ὁ ποιητὴς ἠγωνίζετο, ταῦτά φησιν, ἐπισπώμενος αὐτὰς εἰς εὔνοιαν.

Ib. Σύντροφον γένος] οἱ ἡμῆλικες.

873. Κρῆναί τε, ποταμοί θ' οἵδε] καὶ ἐν ἀρχῇ ἔφη, ἐν γῇ πολεμίᾳ τῇ Τρωάδι. Ἐπὶ δὲ τῷ τέλει, καὶ τὰς κ ἥνας καὶ τὰς ποταμὰς καλεῖ, παρ' οἷς μέλλει τελευτᾶν. Καὶ ἔστιν εὐσεβῶς ἀνδρὸς ἐξευμενίζειν πρὸ τῆ θανάτῳ θεὰς, τόπους, χώραν, πατρίδα, ἀδελφὰς, ὥσε μετ' εὐμενείας ἀποθανεῖν. Ἴσως δὲ καὶ ἐπιμαρτυρόμενος λέγει.

874. Ὦ τροφεῖς ἐμοί] ἤγουν, ἀναθρεψάμενοί με, τρέφοντες, οἱ γονεῖς.

875. Τῦθ' ὑμὶν Αἴας] περιπαθῶς καὶ τὸ ὄνομα ἀνακαλεῖται· δεῖ δὲ ὑπονοῆσαι, ὅτι περιπίπτει τῷ ξίφει, καὶ δεῖ κερτερόν τινα εἶναι τὸν ὑποκριτὴν, ὡς ἀξαι τὸς θεατὰς εἰς τὴν τῦ Αἴαντος φαντασίαν. Ὁποῖα περὶ τῦ Ζακυνθίου Τιμοθέου φασὶν, ὅτι ἦγε τὸς θεατὰς, καὶ ἐψυχαγώγει τῇ ὑποκρίσει, ὡν σφαγέα αὐτὸν κληθῆναι.

Ib. Θροεῖ.] λέγει.

877. Πονῷ πόνῳ] βουλόμενος ὁ χορὸς δεῖξαι τὴν ὑπερβολὴν τῦ κόπε, ὃν ἔσχεν ἐπὶ ζητήσει τῦ Αἴαντος, φησὶν, ὅτι πόνον ἐπὶ πόνῳ προστίθημι, καὶ ἀδαμῶς ὁ σπεύδω γίνεται· λέγω δὴ, τὸ εὑρεῖν Αἴαντα.

879. Συμμαθεῖν τόπος] τὸ συμμαθεῖν ἀντὶ τῦ σὺν ἐκείνῳ γνῶναι, τετίχθαι, ὡδὶς τόπος ἔχει τὸν Αἴαντα (τῦτο γάρ ἐςι τὸ ἐπίσταται) ὥσε ἐν τούτῳ εὑρεῖν με αὐτὸν κείμενον. Οἱ δὲ λέγοντες τὸ συμμαθεῖν ἀντὶ τῦ εἰδέναι, οὐκ ὀρθῶς λέγουσιν.

880. Ἰδὲ, ἰδέ] πιθανὰ ταῦτα, καὶ σχεδὸν τῆς ἀληθείας ἐγγύς. Τὸ δὲ δῦπον, ἐλπίζοντες τῷ σώματι περιπεσεῖν.

881. Καιτόπ-

ΗΜΙ. Ἡμῶν γε ναὸς κοινόπλουν ὁμιλίαν.
ΗΜΙ. Τί ἦν δή;
ΗΜΙ. Πᾶν ἐσίβηται πλευρὸν ἔσπερον νεῶν.
ΗΜΙ. Ἔχεις ἔνα;
ΗΜΙ. Πόνῳ γε πλῆθος, κἀδὲν εἰς ὄψιν πλέον.
ΗΜΙ. Ἀλλ' ἐδ' ἐμοὶ δὴ τὴν ἀφ' ἡλίου μολὼν
Κέλευθον ἀνὴρ ἑδαμᾷ δηλοῖ φανείς.

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Τίς ἂν δή μοι, τίς ἂν
Φιλοπόνων ἁλιαδᾶν,
Ἔχων αὐπνες ἄγρας *,
Ἢ τίς Ὀλυμπιάδων
Θεῶν, ἢ ῥυτῶν
Βοσπορίων πόλαμῶν
Ἴδρις, τὸν ὠμόθυμόν γε,
Εἴποθι πλάζοιτ', ἂν
Προσβλέπων ἀπύοι;
Σχέτλια γὰρ ἐμοὶ, τῶν

* Aldus, ἔθρας.

881. Κοινόπλουν ὁμιλίαν] ἢ συνναῦται, ἐπὶ τῆς αὐτῆς νηὸς πλεύσαντες. Ἢ τροπικῶς τὸν αὐτὸν ἡμῖν πλοῦν ἑταλμένοι πρὸς τὴν ζήτησιν. ὁμιλίαν κλύῃ δηλονότι ἡμῶν τῆς κοινόπλου νηὸς, ἤγουν, τῷ ναυτικῷ λαῷ τῷ ὁμοῦ ἡμῖν πλεύσαντος.

883. Πᾶν ἐσίβηται] ἤγουν, ὅλον τὸ ἑσπέριον μέρος τῶν νεῶν διώδευται.

886. Ἀλλ' ἐδ' ἐμοὶ δὴ] ἡ σύνταξις, ἀλλ' ἔ μοι δηλοῖ καὶ φαίνεται ὁ ἀνὴρ, ἤγουν, ὁ Αἴας, μολὼν καὶ ἐλθὼν τὴν ἀφ' ἡλίου κέλευθον καὶ ὁδὸν, φανεὶς ἑδαμᾷ. Τοῦτ' ἔστιν, ἐπειδὴ ἐκ ἐνταῦθα εὕρηται, δείκνυται, ὡς ἐδ' ἐν τοῖς μέρεσι τούτοις ὥρμηται. Ἢ καὶ ὅτως, ἀλλ' ἐδ' ἐμοὶ δὴ, μολὼν (ἤγουν ἐλθὼν) ὁ ἀνὴρ τὴν ῥόδον τὴν ἀπὸ τοῦ ἡλίου ἄγουσαν δηλονότι, φαίνεται ἑδαμᾷ. Τοιοῦτόν ἐστιν, ἐν οἱονεὶ τύπῳ φαίνεται.

887. Δηλοῖ] ἀντὶ παθητικῶς δηλεῖται.

888. Τίς ἂν δή μοι] ἡ σύνταξις, τίς ἁλιεὺς ἢ Θεὸς, διατριβὴν περὶ τὰς ποταμὰς ποιούμενος, καὶ ἔμπειρος ὢν αὐτῶν, βλέπων τὸν Αἴαντα εἴ πω πλάζοιτ', ἀπύοι ἂν καὶ φωνήσοι, καὶ εἴποι ἐμοὶ εἰ ἄρα πλάζεται καὶ ὐκ ἀπόλωλεν.

895. Εἴποθι] εἴποθι πλάζοιτ' ἂν, ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς κώλῳ.

896. Προσβλέπων ἀπύοι] λεύσσων ἀπύοι μοι, ἤγουν, ἰδὼν εἴποι μοι καὶ μηνύσοι μοι, τὸν ὠμόθυμον Αἴαντα πλαζόμενον εἴποθι, ἤγουν, πώποτε.

897. Σχέτλια γὰρ ἐμοί γε] ἐπινὰ γὰρ πράγματα

Μακρῶν πόνων ἐρίῳ
Μὴ πελάσαι δρόμῳ.
Ἀλλ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπᾳ.

ΣΥΣΤΗΜΑ Α.

ΤΕΚ. Ἰώ μοι, μοι.
ΧΟΡ. Τίνος βοὴ παράυλος ἐξέβη νάπας;
ΤΕΚ. Ἰὼ τλήμων.
ΧΟΡ. Τὴν δεριλήπ]τον δύσμορον νύμφην ὁρῶ
Τέκμησσαν, οἵκτῳ τῷδε συγκεκραμένην.
ΤΕΚ. Οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.
ΧΟΡ. Τί δ' ἐστίν;
ΤΕΚ. Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
Κεῖται, κρυφαίῳ φασγάνῳ περιπ]υχής.

ΣΤΡΟΦΗ Β.

ΧΟΡ. Ὦ, μοι * ἐμῶν νόσων· *

* Aldus, Ἰὼ μοι.

πράγματα ἐμὲ τὸν ἐπιτόνως πλανηθέντα, μὴ τυθυρομῶσαι εἰς τὸ τῆς ζητήσεως μέρος, καθὸ ὁ Αἴας ἐποιήσατο τὴν ἔφοδον. Τοῦτο γὰρ ἂν εἴη ὄρνιν.

898. Μακρῶν πόνων] περισσὸν ἦν καὶ ταῦθα εἰς τὸ μακρῶν πόνων τὸ ἀλάστων, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. Σύνταξον δὲ ὧδε, σχέτλιόν ἐστιν ἐμοὶ (ἦγον χαλεπὸν) μὴ πελάσαι καὶ πλησιάσαι ἀρόμῳ ἐρίῳ, τοῦτ' ἔστι, τίλει ὑδατουμένῳ τῶν μακρῶν πόνων. Τίλει δὲ ὀφείλων εἶπεν, ἀρόμῳ εἶπεν, ἐπεὶ καὶ τὸ τίλος τῷ δρόμει ὅμοιος ἐστί.

900. Ἀλλ' ἀμενηνὸν] ἐφ' ἑαυτῷ, οὐκ ἐπὶ τῷ Αἴαντος. Σχέθλια ἂν εἴη μὴ ἐπιτετυχηκέναι αὐτῷ, ἀλλ' ἠσθενηκέναι μετὰ τῆς ζητήσεως.

901. Ἰώ μοι, μοι] ἔκοτος ἐκ ἄλλου τινὸς ἢ τὴν Τέκμησσαν πεποίηκεν εὑρεῖν τὸν Αἴαντα, δικηὺς ἐντεῦθεν, ὡς οὐδεὶς ἕτερος τοσοῦτον φρεντίζει, ὅσον ἡ γυνὴ τῷ ἰδίῳ ἀνδρός.

902. Πάραυλος] παρατέλαμένη ἐγγὺς παμὲ τὴν αὐλήν. Ἡ Θρηττικὴ, παρὸ τὰς αὐ-

903. Ἰὼ τλήμων] τοῦτο ἐν τῷ ἐμφανεῖ γενόμενον, ὅπερ δηλοῖ ὁ χορός. Ἄλλως· Τέκμησσα βοᾷ ἐπιτυχοῦσα τῷ σώματι. Φαίνεται δὲ οὐδέπω ἐνοπτος οὖσα τῷ χορῷ.

905. Οἴκτῳ] τῷ οὐθυρμῷ, ἤγουν σχετλιασμῷ.

Ib. Συγκεκραμένην] συμμεμιγμένην.

906. Διαπεπόρθημαι] ἤγουν, ἐκπεπολιόρκημαι. ἀπὸ μεταφορᾶς τῶν ἁλωκότων φρουρίων.

907. Τί δ' ἐστίν] Πρὸς ὃ βλέπουσα Θρηττὶς καὶ πυθεῖς;

908. Νεοσφαγὴς] Ἤγουν, πρὸ ὀλίγου ἐσφαγμένος.

909. Κρυφαίῳ] ἤγουν, λαθραίῳ· λάθρα ἐργασαμένῳ τὸν φόνον τῶν φίλων τοῦ Αἴαντος.

Ib. Κρυφαίῳ] τῷ λαθραίως τῶν φίλων γενόντι· ἢ ἀποκεκρυμμένῳ, εἰσδεδυκότι εἰς τὸ σῶμα· τὸ δὲ περιπλυχὴς, κυριώταλα μὲν ὠθήμασι, ἡμῖν δὲ δυσμετάβλητον, τινὲς δὲ περικεκυλισμένως.

910. Ὦ, μοι ἐμῶν νόσων] ἐν πρώτοις περὶ ἑαυτῶν ὀλοφύρονται.

Ὦ, μοι κατέπεφνες,
Ἄναξ, τόνδε τὸν συν-
ναύταν. Ὦ τάλας,
Ὦ ταλαῖφρον * γύναι.

ΣΥΣΤΗΜΑ Β.

ΤΕΚ. Ὡς ὧδε τῶδ' ἔχονος, αἰάζειν πάρα. 915
ΧΟΡ. Τίνος πότ' ἄρ' ἔπραξε χειρὶ δύσμορος;
ΤΕΚ. Αὐτὸς πρὸς αὑτῷ δῆλον· ἐν γάρ οἱ χθονὶ
Πηκτὸν τόδ' ἔγχος περιπετὲς καθηγορεῖ.

ΣΤΡΟΦΗ Γ.

ΧΟΡ. Ὦ, μοι † ἐμᾶς ἄτας.
Οἷος ἆρ ἡμάχθης, 920
Ἄφρακτος τῶν φίλων.
Ἐγὼ δ' ὁ πάντα κωφὸς, ὁ πάν-
τ' ἄϊδρις, καθημέλησα.

* Aldus, Ἰώ, ταλαίφρων. † Ald. Ἰὼ μοι.

912. Τόνδε συνναύταν] ἀντὶ τοῦ, ἐμὲ τὸν χορὸν, συνήθως.

916. Τίνος πότ' ἄρ' ἔπραξε] ἤγνοι, διὰ χειρὸς τίνος ἄρα ἔπραξε τὸν φόνον; οἱ Ἀττικοὶ τὸ ἆρα, ὅταν μὲν ἐρωτηματικὸν ᾖ, προπαροξύνουσι· γράφουσιν· ὅταν δὲ ὡς σύνδεσμος συναπτικὸς λέγηται, ἀδιαφόρως, ποτὲ μὲν προπαροξυτόνως, ποτὲ δὲ, παραληγομένως.

917. Ἐν γάρ οἱ χθονὶ] αὐτὸ τὸ σχῆμα (φησὶ) δηλοῖ, ὅτι ὑφ' ἑαυτῷ ἀνηρέθη. Πᾶν δὲ ἀμυντήριον, καὶ ὀφυὴ καὶ ἔγχος κυκλοῦσιν οἱ πάντοθεν.

Ib. Ἐν γάρ οἱ χθονὶ] ἡ σύνταξις, τὸ γὰρ ἔγχος τὸ περιπετὲς οἱ καὶ αὐτῷ, τὸ ἐν τῇ χθονὶ πηκτὸν καὶ πεπηγμένον, κατηγορεῖ αὐτῷ δηλονότι τὴν πρᾶξιν. Ἤγνοι, παρίσησιν ὡς αὐτὸς τὴν σφαγὴν εἰργάσατο; καὶ αὐτόχειρ αὐτῷ γίγονεν. Ἔστι γὰρ καὶ κατηγορῶ οὐ μόνον τὸ τινὸς κατηφέρομαι λόγοις, ἀλλὰ καὶ τὸ ἔπαινω τινὸς ἀγορεύω, ὥσπερ ἔχει καὶ ἡ παρὰ φιλοσόφοις κατηγορία. Δηλοῖ δὲ καὶ Φιλόστρατος ἐν τῷ Ἰσοκράτους βίῳ, λέγων, Ἡ δὲ Σειρὴν ἡ ἰρισηκυΐα τῷ Ἰσοκράτει σήμαινε εὐμουσίαν κατηγορεῖ τοῦ ἀνδρός.

918. Πηκτὸν] περιπεπηγὸς αὐτῷ.

Ib. Περιπετὲς] ᾧ περιέπεσε· τοῦ δὲ Διατοῦ εἰδότος τὸν τρόπον τῆς ἀναιρέσεως, ἴδει καὶ τὸν χορὸν καὶ τὴν Τέκμησσαν συλυπραγμονῆσαι.

Ib. Κατηγορεῖ] σημαίνει, λέγει. Τὸ δὲ ὅλον ὕπτως, πηκτὸν γὰρ ὂν (δηλονότι) ἐν τῇ χθονὶ τόδε τὸ περιπὲλὲς ἔγχος αὐτῷ, καθηγορεῖ (ὅτι περιεῖχε) ὅτι ὑφ' ἑαυτῷ δηλονότι ἐφονεύθη. Κατηγορῶ σε ἀγαθὸν ἢ φαῦλα, ἀπὸ γενικῆς εἰς αἰτιολικήν. Κατηγορεῖν δὲ τὸ παρίστων καὶ δεικνύειν, μετὰ αἰτιολικῆς μόνης λέγεται.

920. Οἷος ἆρ' ἡμάχθης] μόνος ἡμαίχθης.

921. Ἄφρακτος τῶν φίλων] ἀφύλακτος· ἢ περφαγμένος καὶ τετειχισμένος τοῖς φίλοις, διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε.

922. Ὁ πάντα κωφὸς] τὰ πάντα εἰς τὴν ἀπάτην· ἐγὼ δὲ (φησὶν) ὁ ἀναίσθητος κατημέλησα.

924. Πᾶς

Πᾶ, πᾶ
Κεῖται ὁ δυστράπελος, ὁ
Δυσώνυμος Αἴας;

ΣΤΣΤΗΜΑ Γ.

ΤΕΚ. Οὗτοι θεατός· ἀλλά νιν περιπλυχεῖ
Φάρει καλύψω τῷδε πομπήδην, ἐπεὶ
Οὐδεὶς ἂν ὅστις καὶ φίλος τλαίη βλέπειν
Φυσῶντ' ἄνω πρὸς ῥῖνας, ἔκ τε φοινίας
Πληγῆς, μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
Οἴμοι, τί δράσω; τίς σε βαστάσει φίλων;
Πῆ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι,
Πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι!
Ὦ δύσμορ' Αἴας, οἷος ὢν, οἷως ἔχεις!
Ὡς καὶ πάρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν!

934. Πᾶ, πᾶ] πῶτο κατ' ἄλλης ἀρχῆς βαλόμενοι τὸ σῶμα διάσασθαι τοῦτο λέγουσιν· ὃ διακωλύει ἡ Τέκμησσα.

935. Ὁ δυσράπελος] δύσκολος, δυσκίνητος, ἀμετάτρεπτος, ὃς οὐκ εὔρεν ἐκκυχλῆν τῷ πάθει. Οὕτω λέγουσι καὶ δυστράπελον τὸ ὄργημα, τὸ οὐκ εὐδιάλλακτον. Ἄλλως· δυστράπελον, φασὶν Ἀττικῶς τὸν ἀμεταπείθητον ἐν ὀργῇ ἢ διαθέσει, ἢ φιλαργυρίᾳ. Τὸν αὐτὸν δὲ καὶ ἀτράπελον.

936. Ὁ ἐυσώνυμος Αἴας] ὡς καὶ αὐτὸς λέγει ὁ Αἴας. Λέγεται δυσώνυμος καὶ ὃ τὸ ὄνομα ἐπαχθῶς οἱ ἀνθρωποι ἔχονται διὰ τὸ μῖσος, ὅπερ ἔχασι πρὸς αὐτὸν, καθ' ὁ λέγεται δυσώνυμος ὁ Ἰάδας.

929. Οὐδεὶς ἂν ὅστις καὶ φίλος] ἤγουν, ὁ μόνον ἐχθρὸς βουλεύεται αὐτὸν ἰδεῖν (ὁ γὰρ μίσει αὐτῷ τοῦτο) ἀλλὰ καὶ οὐδεὶς φίλος τλαίη ἂν καὶ ὑπομένει αὐτὸν ἀπὸ τῆς οἰκείας σφαγῆς φυσῶντα καὶ ἀναπίμποντα ἄνω πρὸς τὰς ῥῖνας τὸ μιλανθὲν αἷμα, καὶ ἐκ τῆς φοινικῆς πληγῆς. Ἀμφοτέρωθεν γὰρ τὸ αἷμα ἐξέρχετο, καὶ ἐκ τῆς πλευρᾶς, πρὸς ἣν ἡ πληγὴ γέγονε, καὶ ἐκ τῆς βινῶν διὰ τοιαύτην αἰτίαν. Περιτεσόντος γὰρ αὐτῷ τῷ ξίφει ἐν γῇ στρέφως πεπηγμένῳ, καὶ διὰ τοῦτο πρὸς τὸν φόνον ἐνθα ἡ λαβὴ τῷ ξίφει ἐπέπηκτο, ἐκ βάρους πεσόντος, οὐκ εἶχεν ἐξέρχεσθαι ῥαδίαν, καὶ διὰ τοῦτο ἐρχόμενον, καὶ ζητῶν ἐξέρχεσθαι, ἐκ τῶν βινῶν ἀνεδίδοτο. φοινίαν δὲ πληγὴν ἴσως λέγει, ἢ τὴν πρώτην ἐν τῇ πλευρᾷ τομὴν, ἀλλὰ τὴν ἑτέραν τῷ ξίφει ἐξέρχεσθαι.

941. Μελανθὲν αἷμα] χυθὲν ἀφεῖλεν εἰπεῖν, ἢ γεγονὸς ἀπὸ τῆς οἰκείας σφαγῆς· ὃ δὲ, διὰ τὸ μέλαν εἶναι τὸ αἷμα, μιλανθὲν αἷμα λέγει.

932. Τίς σε βαστάσει φίλων] πάντα τὰ ἀπορηματικὰ, καὶ μάλιστα ἐπὶ τῶν πρώτων προσώπων τῶν ἐνικῶν, ὑποκακτικῶ γράφεται.

933. Ὡς ἀκμαῖος] κατάρμος, κατὰ καιρόν. Παρὰ τὴν ἀκμὴν τῷ καιρῷ. Καλῶς δὲ ζητεῖ τὸν Τεῦκρον, ὥ' ἡ κηδεία γένηται ἀπὸ τῶν συγγενῶν.

934. Συγκαθαρμόσαι] περιελθεῖν.

936. Ὡς καὶ πάρ' ἐχθροῖς] αὔξησις περὶ τὸ πάθος, ὡς καὶ τὰς ἀκμαιοτέρας ἐλθεῖν.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἔμελλες δὴ τάλας,
Ποτὲ χρόνῳ σεσοφρονῶν
Ἄρ' ἐξανύσειν κακὰν
Μοῖραν ἀπειρεσίων
Πόνων· τοιά μοι
Πάννυχα καὶ φαέθοντ'
ἀνεστέναζες ὠμόφρων
Ἐχθοδόπ' Ἀτρείδαις
Οὐλίῳ σὺν πάθει.
Μέγας ἄρα γ' ἐκεῖνος
Ἄρχων χρόνος πημάτων,
Ἥμος ἀρισσόχειρ
Ἀχιλλέως ὅπλων ἔκειτ' ἀγὼν πέρι.

ΑΝΤΙΣΤΣΤΗΜΑ Α.

ΤΕΚ. Ἰώ μοι, μοι.
ΧΟΡ. Χωρεῖ πρὸς ἦπαρ (οἶδα) γενναία δύη.
ΤΕΚ. Ἰώ μοι, μοι.
ΧΟΡ. Οὐδέν σ' ἀπίσω καὶ δὶς οἰμῶξαι, γύναι,
Τοιῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλα.

937 Ἔμελλες τάλας] Ἰακῶς. Ἐώκεις ἄρα καὶ ὄλβος ὤν.

938. Στερεόφρων] οἷον, ἐφ' οἷς ἐνόησας καὶ ἤλγεις σωφρονισθεὶς ὑπὸ τῶν Ἀτρειδῶν, ἔμελλες πλημμέλειν κατὰ τὰς φρένας τὴν μοῖραν.

942. Πάννυχα καὶ φαέθοντ'] κατὰ νύκτα καὶ ἡμέραν. Φαέθων, ὁ Ἥλιος, καὶ ὁ υἱὸς τοῦ Ἡλίου.

943. Ὠμόφρων] Ἀττικῶς μέγα. Οὕτω γὰρ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς· οὕτω καὶ, ὦ δύσμορ· Αἶας, ἀντὶ τοῦ Αἶαν.

947. Ἄρχων χρόνος] ἀρχηγός. Γενναία δὲ ἡ ἰσχυρά.

948. Ἥμος ἀρισσόχειρ] ἥνικα, ἀγῶν ἀρίστων καὶ ἀνδρείων διώμενος, ἐνιαμένων βασιλέα τὸν Ἀχιλλέα, ἵνα τὰ αὐτοῦ λάβῃ ὅπλα τότε ἔνεκα.

949. Ἀχιλλέως] ἰαμβος ὀφείλει εἶναι τέλειος ὁ τρισὶν σίχος, ἵν' ᾖ ὅμοιος τῷ τῆς ἀντιστροφῆς. Διὸ τὸ Ἀχιλλέως προσετέθη παρ' ἐμοῦ, ἁρμοδίως οἶμαι.

953. Οὐδέν σ' ἀπίσω] εἰάθεσιν ἐν τοῖς πάθεσι καὶ συγχωρεῖν τοῖς ἀλγοῦσι. Φέρει γὰρ τοῦτο καὶ κόρη τῇ Ὀρήνῃ καὶ παραμυθίαν.

954. Τοιῦδ' ἀποβλαφθεῖσαν] στερηθεῖσαν. Ὅταν γάρ τις τινὸς στερηθῇ, ἀπ' ἐκείνου, ὃ ἐστέρηται, βέβλαπται, αὐτῷ ἐστερῆσθαι.

955. Σὺ

ΤΕΚ. Σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν. 955
ΧΟΡ. Ξυναυδῶ.
ΤΕΚ. Οἴμοι, τέκνον, πρὸς οἷα δηλείας ζυγὰ
Χωρεῖμεν· οἵοι νῷν ἐφεζόμενοι σκοποί.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΧΟΡ. Ὦ, μοι, ἀναλγήτων
Διοσῶν ἐθρόησας
Ἀναυδόν γ' Ἀτρειδῶν
Ἔργον τῷδ' ἄχει. 960
Ἀλλ' ἀπείργοι θεός.

ΑΝΤΙΣΤΑΣΙΜΑ Β.

ΤΕΚ. Οὐκ ἂν ταὐδ' ἔστη τῇδε, μὴ θεῶν μέτα.
ΧΟΡ. Καὶ μὴν ἄγαν ὑπερβριθὲς ἄχθος ἤνυσαν. 965
ΤΕΚ. Τοιόνδε μέντοι Ζηνὸς ἡ δεινὴ θεὸς
Παλλὰς φυτεύει πῆμ', Ὀδυσσέως χάριν.

ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΧΟΡ. Ἦ ῥὰ κελαινώπαν

955. Σοὶ μὲν δοκεῖν] σοὶ μὲν ταῦτα εἰ δόξῃ καταλαμβάνεται, ἐγὼ δὲ σαφῶς ἐπίσταμαι. Ἐγὼ μέν γὰρ τῷ χορῷ οἰκειάτης πρὸς Αἴαντα, ἀλλ' οὐχ ὅσον πρὸς τὴν Τέκμησσαν.

Ib. Σοὶ μὲν] σοὶ μὲν δοξάζειν ἐστὶ ταῦτα μοὶ δὲ ἄγαν φρονεῖν ἐστὶ ταῦτα δηλονότι, ἤγουν, ἀκριβῶς γινώσκειν.

Ib. Δοκεῖν] δοξάζειν.

Ib. Ἄγαν φρονεῖν] τὸ αἰσθάνεσθαι τῆς λύπης.

957. Δηλίας ζυγὰ] ἀπὸ μεταφορᾶς τῶν ζυγῶν τῶν ζευγνύντων τοὺς βοῦς.

958. Σκοποί] ἀντὶ τοῦ, ἐπίσκοποι. οἱ Ἀτρεῖδαι δηλονότι.

Ib. Ἥγουν, κατάσκοποι, ἵνα ποιήσωσι οὗλως δηλονότι ἡμᾶς.

959. Ὦ μοι ἀναλγήτων] ἀσυμπαθῶν, εἰ τοῦτο πράξειαν. Ἢ, τῶν μηδ' ὅλως ἀλγόντων ἐπὶ ταῖς συμφοραῖς τῶν Ἑλλήνων. ἢ πολυαλγήτων, τῶν εἰς πολλὰ ἄχη ἡμᾶς ἐμβαλόντων. Ἄλλως· γράφεται καὶ μοι. περιπαθῶς δὲ ὁ χορὸς ἀναβοᾷ ἐπὶ τῷ Τεκμήσσης λόγῳ.

961. Ἀναυδὸν ἔργον] ἐπὶ τῷδε τῷ ἄχει ἐθρόησας ἔργον ἀναυδὸν τῶν ἀναλγήτων δύο Ἀτρειδῶν· τυπίσιν, ἐπάιω τῆς σφαγῆς τοῦ Αἴαντος· εἶπας καὶ ἕτερον ἔργον ἀναυδὸν τῶν δύο Ἀτρειδῶν τῶν ἀναλγήτων· ἤγουν ὅτι βουλεύονται ποιῆσαι ἡμᾶς δῆλως. Τοῦτο δὲ ἐστὶ τὸ ἀναυδὸν ἔργον.

962. Τῷδ' ἄχει] τῇ παρούσῃ συμφορᾷ.

964. Οὐκ ἂν ταὐδ' ἔστη] οὐκ ἂν ταῦτα ἐπράχθη ὕπω, μὴ θεῶν βουλομένων. Ὡς καὶ ταῦτά ἐστι προσδοκῆν περὶ τῶν Ἀτρειδῶν. Ἄλλως· πρὸς τὸ εἰρημένον ὑπὸ τοῦ θεοῦ, ἀλλ' ἀπείργοι θεός, φησὶν οὐκ εἰκὸς συλλήψεσθαι ἡμῖν τοὺς θεοὺς, ἐπεὶ οὐδ' ἂν ἐπράχθη ταῦτα.

965. Ἄγαν ὑπερβριθὲς] μέγα καὶ βαρὺ ἤνυσαν οἱ πράξαντες τὰ περὶ τὸν Αἴαντα· ὃ ἐστιν οἱ αἴτιοι τούτων.

968. Κελαινώπαν] οἷον ἐκ τῆς φαντασίας

Θυμὸν ἐφυβρίζει
Ὁ πολύτλας ἀνὴρ,
Γελᾷ δὲ τοῖσι μαινομένοις
Ἄχεσιν πολὺν γέλωτα.
Φεῦ, φεῦ,
Ξὺν διπλοῖ βασιλέες
Κλύοντες Ἀτρεΐδαι.

ΑΝΤΙΣΤΣΤΗΜΑ Γ.

ΤΕΚ. Οἱ δ' ἓν γελώντων, καὶπιχαιρόντων κακοῖς
Τοῖς τῶδ'· ἴσως τοι, κεἰ βλέπουσα μὴ 'πόθεν,
Θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.
" Οἱ γὰρ κακοὶ γνώμαισι, τἀγαθὸν χεροῖν
" Ἔχοντες οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.
Ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκὺς,
Αὐτῷ δὲ τερπνός, ὧν γὰρ ἠράσθη τυχεῖν,

ἀλλ' ἐν σκότῳ ὂὴν βλεπόμενον, καὶ μέλαιναν, καὶ οἷον κεκυμμένον, καὶ δόλιον, καὶ οὐχ ἁπλῆν θυμὸν ἐφυβρίζει. Ἔξωθεν δὲ ἡ κατά. τὸ δὲ ἡμᾶς, λείπει· ἵν' ᾖ, κατὰ τὸν θυμὸν ἐφυβρίζει ἡμᾶς. Κελαινώπαν δὲ θυμὸν, ἦγεν, βαθυγνώμονα ψυχήν

Ib. Ἦ ῥὰ κελαινώπαν] ὄντως ὁ πολύτλας ἀνὴρ, ἦγεν, ὁ Ὀδυσσεὺς, κατὰ τὸν κελαινώπαν θυμόν, τυτίσιν, κατὰ τὴν βαθυγνώμονα ψυχὴν αὐτῶ γελᾷ πολὺν γέλατα, ἐπὶ τοῖς ἄχεσι τοῖς μαινομένοις. Τυτίσι, τοῖς διὰ τὴν μανίαν συμβεβηκόσιν, ἦγεν, ταῖς συμβεβηκυίαις διὰ τὴν μανίαν.

971. Τοῖσι μαινομένοις] τοῖς διὰ μανίαν συμβεβηκόσιν.

975. Κλύοντες Ἀτρεΐδαι] ἀκούσιλες τὴν θλῖψιν ἡμῶν υἱοὶ τῶ Ἀτρέως Ἀγαμέμνων καὶ Μενέλαος, ἐγγελῶσι δηλονότι.

976. Οἱ δ' ἓν γελώντων] ἀντὶ τῶ γελάσωσαν Τοῦτο δ' ἔφαμεν, λαμβάνοντες ἔξωθεν ὡς τὴν τοιαύτην γνώμην τὸ ἔχωσαν. Ἐπὶ δὲ τῶν παθητικῶν, οἷον τυπτέσθων καὶ τῶν τοιούτων, οὐχ ὕστω λέγομεν, ἀλλὰ τὸ δυϊκὸν ἀντὶ τῶ πληθυντικῶ φαμὲν λαμβάνεσθαι.

977. Ἴσως τοι, κεἰ βλέποντα] καὶ τῶν βλέποντα εἶπεν ἀντὶ τῶ ζῶντα, διὰ τὸ χρήσκειται. Τὸ δὲ οἰμώζω, ἀμεταβάτως, καὶ οἰμώζω τὸν τεθνηκότα.

979. Οἱ γὰρ] οἱ κακότροποι ἄνθρωποι ταῖς γνώμαις.

980. Οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ] ἀγνώσκουσιν πρότερον, ἕως ἂν ἀποβάλῃ αὐτὸ τὸ ἀγαθὸν ὀλιγότι ἀπ' αὐτῶν.

981. Ἐμοὶ πικρὸς] μᾶλλον ἐμοὶ πικρὸς τέθνηκεν, ἤπερ ἐκείνοις γλυκύς. ἐπεὶ ὧν ἐπεθύμει ἔτυχεν· οὐκ ἂν δὲ ἐπεγγελῶν αὐτῷ ὅτι ἐχθροὶ, ὡς αὐτοὶ τῆς ἀπωλείας αἴτιοι γεγόμενοι.

Ib. Ἐμοὶ πικρὸς τέθνηκε] ἢ τέθνηκε γλυκὺς ἐκείνοις, ἦγεν, τοῖς Ἕλλησιν, ἑαυτῷ δὲ τερπνός. Ὧν γὰρ πραγμάτων ὀλιγότι ἠράσθη τυχεῖν, ταῦτα ἐκτήσατο ἑαυτῷ. Λίγω θάνατον

Ἐκτήσαθ' αὑτῷ, θάνα]ον, ὅνπερ ἤθελε.
Τί δῆτα τῶδ' ἐπεγγελῷεν ἂν κάτα;
Θεοῖς τέθνηκεν ὅτος, ὐ κείνοισιν, ὅ.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω·
Αἴας γὰρ αὐτοῖς ὐκέτ' ἐστὶν, ἀλλ' ἐμοὶ
Λιπὼν ἀνίας τε καὶ γόους διοίχε]αι.
ΤΕΥ. Ἰώ μοι, μοι.
ΧΟΡ. Σίγησον· αὐδὴν γὰρ δοκῶ Τεύκρυ κλύειν,
Βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.
ΤΕΥ. Ὦ φίλτατ' Αἴας, ὦ ξύναιμον ὄμμ' ἐμοὶ,
Ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;
ΧΟΡ. Ὤλωλεν ἀνὴρ, Τεῦκρε, τῶτ' ἐπίσασο.
ΤΕΥ. Ὤ, μοι, βαρείας ἄρα τῆς ἐμῆς τύχης.
ΧΟΡ. Ὡς ὧδ' ἐχόντων.
ΤΕΥ. Ὤ τάλας ἐγὼ, τάλας.
ΧΟΡ. Πάρα στενάζειν.
ΤΕΥ. Ὤ περισπερχὲς πάθος.
ΧΟΡ. Ἄγαν γέ, Τεῦκρε.
ΤΕΥ. Φεῦ τάλας· τί γὰρ τέκνον

Θάνατον, ὃν ἤθελεν. Εἰ ἂν ἃ ἐπεθύμει, τοῦτο ἐτίλεισε δηλονότι· πῶς ἂν, ἐπαγγελῶεν αὐτῷ οἱ ἐχθροὶ αὐτοῦ, ὥσπερ ἂν εἰ εἶδον αὐτὸν παθόντα ὅπερ οὐκ ἤθελεν; ἄλλως τε, καὶ ὑπὸ τῶν θεῶν τέθνηκεν ὅτος, ὐχ ὑπ' ἐκείνων.

985. Θεοῖς τέθνηκεν] θεῶν βυλομένων· οἱ γὰρ οἱ Ἕλληνες τὴν τοιαύτην αἰτίαν αὐτῷ παρίσχον.

989. Ἰώ μοι, μοι] δεῖ γενίσθαι βοὴν, ἣν ἀκούσας ὁ χορὸς ἱρίζησι, γνωρίζων τὸ φθίγμα τοῦ Τεύκρυ βοῶντος.

991. Ἐπίσκοπον μέλος] σημαντικόν, ἵφρων· ὐκ ἡμαρτηκὸς τῆς συμφορᾶς, ἀλλ' ἐσεχασμένον.

992. Ὦ φίλτατ' Αἴας] ἔρχεται μεταπιμφθεὶς ὑπὸ Τεκμήσσης.

993. Ἆρ' ἠμπόληκας] ἀντὶ τοῦ, ἀπημπόληκας, ἤγων, πέπρακας, προδέδωκας.

Ib. Κρατεῖ] ἀντὶ τοῦ, ἐπικρατεῖ.

996. Ἐχόντων] ἤγων, διακειμένων· τῶν κατὰ τὸν Αἴαντα πραγμάτων δηλονότι. Τὸ ἑξῆς, ὡς ὧδ' ἐχόντων, πάρα στενάζειν.

999. Περισπέρχες] ἀντὶ τοῦ βαρύ, ἤτοι ἀμηχανίαν ἐμποιοῦν, περισσῶς κατεπεῖγον. ἀπὸ τοῦ περισπέρχεσθαι τὸ περιγρέφεσθαι· οἱ ἐν δεινῷ τινὶ καταφάντες ἢ χρείᾳ, καὶ μὴ εὑρίσκοντες λύσιν τούτων, ἄνω καὶ κάτω φέρονται πλανώμενοι ὑπ' ἀπορίας. ἐφ' ὧν λέγεται καὶ τὸ ἀλύειν, ὃ γίνεται ἀπὸ τοῦ ἄλη ἢ πλάνη.

1001. Τὶ γὰρ κέκναι τὸ τῶδε] καὶ πρὶν ἀκοῦσαι τῶν ἐντολῶν ὁ Τεῦκρος ἔδειξε τὴν περὶ τὸν παῖδα κηδεμονίαν ἀφ' ἑαυτοῦ φρονίμως.

1005. Μήτε]

Τὸ τῦδε; ὤ μοι γῆς κυρεῖ τῆς Τρωάδος;
ΧΟΡ. Μόνος παρὰ σκηναῖσιν.
ΤΕΥ. Οὐχ ὅσον τάχος
Δῆτ' αὐτὸν ἄξεις δεῦρο, μήτις ὡς κενῆς
Σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ;
Ἴθ', ἐγκόνει, σύγκαμνε· "τοῖς θανοῦσί τοι
"Φιλοῦσι πάντες πειμένοις ἐπεγγελᾶν."
ΧΟΡ. Καὶ μὲν ἔτι ζῶν, Τεῦκρε, τῦδέ σοι μέλειν
Ἐφίετ' ἀνὴρ κεῖνος, ὥσπερ ἦν μέλει.
ΤΕΥ. Ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
Ἄλγιστον, ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ·
Ὁδός τ' ἀνάσασα δὴ πασῶν ὁδῶν
Μάλιστα τἀμὸν σπλάγχνον, ἦν δὴ νῦν ἔβην,
Ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπησθόμην
Μόρον, διώκων κἀξιχνοσκοπούμενος.
Ὀξεῖα γάρ σε βάξις, ὡς θεοῦ τινός,
Διῆλθ' Ἀχαιοὺς πάντας, ὡς οἴχῃ θανών.
Ἃ γὼ κλύων δύστηνος, ἐκποδὼν μὲν ὤν,
Ὑπεξέναζον· νῦν δ' ὁρῶν ἀπόλλυμαι.
Οἴ μοι.

1005. Μήτις] ἵνα μήτις ὑπὸ τῶν δυσμενῶν ἀναρπάσῃ αὐτὸν τὸν Εὐρυσάκην, ὥσπερ σκύμνον ἀπὸ κενῆς λεαίνης, ἤγουν, ἐρημίνης τὸ ἄρρεν.

1007. Ἴθ', ἐγκόνει, σύγκαμνε] ἄπειθε, ἀπὸ σπουδῆς ἔγειρε κωφοτόν, καὶ συγκακοπάθει τοῖς θανοῦσιν.

1008. Κειμένοις] τὸ κεῖσθαι ἐπὶ τῷ τεθνηκότος ἰδίως εἰώθασι ταύτην.

1012. Ἄλγιστον] ἤγουν, ἀλγεινότατον, λυπηρότατον ἐμοὶ θέαμα ὀνομότι ἁπάντων τῶν θεαμάτων, ὧν εἶδον ἐγὼ τοῖς ὀφθαλμοῖς.

1013. Ὁδός τ'] καὶ ὦ ἓξ ἀνιάσασα τὸ ἐμὸν σπλάγχνον μάλιστα πασῶν τῶν ὁδῶν, ἣν νῦν ἔβην, ὦ φίλτατ' Αἴας, διώκων. Ἤγουν, φθάσαι ζητῶν, καὶ ἐξιχνοσκοπούμενος. Τοῦτ' ἐστι, κατ' ἴχνος ἀκολουθῶν, ὡς ἐπησθόμην αὐτὸ τῷ, ὅτι σὸν τὸν σὸν μόρον.

1016. Διώκων] ἤγουν, φθάσαι ζητῶν.

Ib. Κἀξιχνοσκοπούμενος] κατ' ἴχνος ἀκολουθῶν.

1017. Ὀξεῖα γάρ σε βάξις] ὃ κοινῶς τὸ ἐξὸν ἐπὶ τῆς φήμης, ἀλλ' ὁρμὴν ἔχει, ἐπὶ τοῖς ἀξιώμασι τρυφερήκοσι.

Ib. Ὡς θεοῦ] ἤτοι ὡς ἀπὸ θεοῦ, ἢ ὥσπερ θεοῦ τοῦτο δὲ πρὸς τὴν φήμην μόνον, ἐπεὶ γίγνεται βλάσφημον διὰ τῶν ἐξῆς.

1020. Ὑπεξέναζον] ἴσως ἠσύχως ἐξέναζε διδοικὼς τοὺς ἐχθρούς.

1021. Ἰ

Ἰὼ ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
Ὦ δυσθέατον ὄμμα, καὶ τόλμης πικρᾶς,
Ὅσαφ ἀνίας μοι κατασπείρας, φθίνεις;
Ποῖ γὰρ μολεῖν μοι δυνατὸν, εἰς ποίους βροτοὺς,
Τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
Ἦπου Τελαμὼν, σὸς πατὴρ ἐμός θ' ἅμα,
Δέξαιτ' ἂν εὐπρόσωπος ἱλεώς τ' ἴσως
Χωροῦντ' ἄνευ σοῦ; πῶς γὰρ οὔχ; ὅτῳ πάρα
Μηδ' εὐτυχοῦντι, μηδὲν ἥδιον γελᾶν.
Οὗτος, τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν;
Τὸν ἐκ δορὸς γεγῶτα πολεμίᾳ νόθον,
Τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ

1022. Ἰὼ ἐκκάλυψον] πρὸς τὸν χορόν φησιν, ἢ τινα τῶν Θεραπόντων· ἡ γὰρ Τεκμησσα ἐπὶ τὸν παῖδα ἀπῆει.

1023. Ὦ δυσθέατον] ὡς ἀνακαλύψας τοῦτ' φησί.

Ib. Δυσθέατον] ἤγουν, δυσκόλως θεαθῆναι δυνάμενον.

Ib. Πικρᾶς] τὸ πικρὸν ἐπὶ γεύσεως λέγεται· Καὶ ἀπὸ τούτου ἐπὶ τῆς ἄλγους τῆς ψυχῆς· γὰρ πικρὸν ἐπὶ γεύσεως, τοῦτο ἀλγεινὸν ἐπὶ ψυχῆς. Λέγεται καὶ πικρόν τι, ὡς προέχοντι πικρίας, οὐκ ὡς πικρὸν αὐτὸ ὄν· ὡς τὸ ξίφος ἐνταῦθα λέγει πικρόν.

1023. Ὦ δυσθέατον ὄμμα] ἰσέον ὅτι τὸ ὄμμα μόνον πρὸς κλητικὴν, ἀλλὰ καὶ πρὸς γενικὴν φέρεται. Ἀμφότερον δὲν ἰσὸν ἐνταῦθα. Ἄλλως· ὦ δυσθέατον λέγε ὄμμα, καὶ ὦ ὄμμα τολμῆς πικρᾶς· τολμῆς γὰρ ἦν τὸ ὄμμα πρὸς γενικὴν δὲ, τὸ ὦ συνάπτειν. Λόγον ἔχει πρὸς εὐθεῖαν μένται σπανίως, ὡς τὸ, ὅστος, καὶ ὦ δυστυχής.

1024. Καὶ σπείρας] δαιμονίως καὶ τὸ σπείρας. Οἷον, ἀρχὴν κακῶν παρασχών· ἢ τὸ σπείρας ἐπὶ πλήθης κακῶν τακτέον.

1025. Ποῖ γὰρ μολεῖν] ἤγουν, πῶ γὰρ ἔστιν μοι ἐλθεῖν μέ τὴν ἀρήξασα καὶ βοηθήσωσιν ἀδαμῶς τοῖς σοῖς πόνοις. Τὸ δὲ ἐν παρέλκον ἐστί.

1026. Τοῖς σοῖς ἀρήξαντ'] ἤγουν, μηδαμοῦ ἐν τοῖς σοῖς πόνοις ἀρήξαντα, ἤγουν, βοηθήσωσιν.

1027. Ἦπου Τελαμὼν] τὸν ἐναντίον συναγάλογος. Ἤγουν, οὐκ εὐμενῶς με ἐκβάλει. Πρὸς ἐπάγεται τὸ, πῶς γὰρ οὐχ; Ἆρα ὁ Τελαμὼν ὁ σὸς πατὴρ καὶ ὁ ἐμὸς ἅμα, δέξαιτο ἂν εὐπρόσωπος καὶ ἵλεως τυχὼν ἐρχόμενον ἐπὶ εἰς τὴν Σαλαμῖνα ὠνευ σοῦ; πῶς γὰρ δέξαιτο; οὐχὶ δέξοιτο ὅτινι Τελαμῶνι μηδὲ εὐτυχοῦντι πάρεστι τὸ γελᾶν ἥδιον. Οὗτος ὁ Τελαμὼν ἆρα κρύψει τὸ πρᾶγος; μηδέν. Ἤγουν, φανερῶς. Ποῖον κακὸν οὐκ ἐρεῖ πρὸς ἐμέ;

Ib. Ἦπου Τελαμὼν] ἀμφιβολία μὲν πρὸς τὴν ἐξέτασιν, ὅτι ἐκβέβληται. Ἅμα δὲ καὶ πρὸς τὸ ἀνάγκαιον τῆς ὑπονοίας.

1028. Εὐπρόσωπος] ἀντὶ τοῦ εὐπροσώπως, ἐστὶ, ἱλαρῶς πρόσωπον. Εὐπρόσωπος δὲ, ὁ εὐειδὴς. Καὶ ἐπὶ τούτου εὐπρόσωπος αἰτίαι, ἡ πιθανὴ καὶ εὐμενής.

1029. Ἰὼ, γὰρ οὐχ; ὅτῳ πάρα] συνάγει τὸ ἐναντίον ὁ λόγος, ἤγουν, οὐκ εὐμενῶς μὲ ἐκβάλει· πρὸς ὁ ἐπάγεται, πῶς γὰρ οὐχ; ὅτα πάρεστιν, ὅτῳ μηδὲν (τοῦτ' ἐστὶ μηδαμῶς) πάρεστιν τὸ εὐτυχοῦντι γελᾶν ἥδιος. Ἄλλως. πῶς γὰρ τὸς με ἡδέως δέξεται, ᾧ καὶ εὐτυχοῦντι τὸ προσηνὲς ἄπεστι καὶ ἱλαρόν. Οὐχ ὅτῳ πάρεστιν ᾧ τινι δὲ εὐτυχοῦντι πάρεστι τὸ γελᾶν· τυχοῦντι δὲ εἶπεν, οὐκ ἐπὶ τῷ υἱῷ ἐσφαγμένῳ, ἀλλ' ἐπὶ ταῖς ἐλπιζομέναις τῷ υἱῷ, καὶ τῇ ἁλώσει τῆς Τροίας.

1031. Τί κρύψει; κακὸν σιγήσει, ἀπὸ κοινοῦ.

1032. Τὸν ἐκ δορὸς] ἤγουν, τὸν γεγεώτα νόθον

Σὲ, φίλτατ' Αἴας, ἢ δόλοισιν, ὡς τὰ σὰ
Κράτη θανόντος, καὶ δόμους νέμοιμι σούς.
Τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήρᾳ βαρὺς,
Ἐρεῖ πρὸς ὠδὲν, εἰς ἔριν θυμούμενος.
Τέλος δ' ἀπωστὸς γῆς ἀποῤῥιφθήσομαι,
Δῦλος λόγοισιν ἀντ' ἐλευθέρᾳ φανείς.
Τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίᾳ δέ μοι
Πολλοὶ μὲν ἐχθροὶ, παῦρα δ' ὠφελήσιμοι.
Καὶ ταῦτα πάντα, σῦ θανόντος, εὐρόμην.
Οἵ μοι, τί δράσω; πῶς δ' ἀποσπάσω πικρᾶ
Τᾶδ' αἰόλᾳ κνώδοντος, ὦ τάλας, ὑφ' ἕ

φον ἐκ δορὸς πολεμίου, τυπτίοις, ἐκ γυναικὸς μάχη πολεμία κρατηθείσης.

1034. Ὡς τὰ σὰ] ὅπως τὰ σά.

1036. Ἀνὴρ δύσοργος] ὁ ἄνθρωπος ὢν ἐκ φύσεως βαρύθυμος, ὁ Τελαμὼν ὀηλονότι. Ἰσίον, ὅτι ἰδιόν ἐστι τοῖς γέρουσιν, ἔχειν ἀεὶ τὸ δυσώριστον καὶ δύσκολον, καὶ τὸ βαρύνεσθαι ἐπὶ ποσίν. Ἦν μὲν ὁ Τελαμὼν καὶ ἀφ' ἑαυτοῦ δύσοργος, καὶ πάνυ ὀργίλος. Γέγονε δὲ καὶ βαρὺς ἕνεκα τῶν γηράτων.

1037. Πρὸς ὠδὲν] πρὸς ὠδὲν ἀληθές, ἢ αἰτιῶν μοι.

Ib. Εἰς ἔριν] εἰς μάχην· ἔρις ὁ ζῆλος καὶ ἡ μίμησις, καὶ ἔρις ἡ μάχη.

1038. Τέλος] κατὰ τὸ τέλος, ἐπιῤῥήματι ποιῶς.

Ib. Ἀποῤῥιφθήσομαι] ἐκπεσοῦμαι τῆς γῆς τῆς πατρίδος.

1039. Δῦλος λόγοισιν] ταῖς τοῦ πατρὸς λοιδορίαις.

1041. Πολλαὶ μὲν ἐχθροὶ] πολλοὶ ἐχθροὶ Ἕλληνές τε καὶ Τρῶες· ὀλίγοι δὲ ὠφελήσιμοι. Ἕλληνες.

Ib. Παῦρα δ'] παρὰ τισὶ μὲν τῶν βιβλίων, παῦροι, παρὰ τισὶ δὲ παῦρα εὑρίσκεται· ἔστι δὲ τὸ παῦρα κρεῖττον τοῦ παῦροι, διὰ τὸ σώζειν τὸ μέτρον· τέταρτος γὰρ πούς ἐστιν ὁ φίλει δὲ ὅτος ἴαμβος εἶναι. Εἰ δέ τις εἴποι, ὅτι καὶ τὸ παῦροι τὸ ροὶ βραχύ ἐστι (διὰ τοῦτο γὰρ καὶ τὸ παῦ πεπίσπωμαι) ἴσω, ὅτι οἱ ποιηταὶ τῶν εὐθειῶν πληθυντικῶν τὰ τέλη, εἴτε διὰ τοῦ αι ἐκφέρονται, ὡς τὸ μῶσαι, εἴτε διὰ τοῦ οι, ὡς τὸ πλόοι, ἀντὶ μακρῶν δέχονται, ἐὰν μὴ ἡ ἐπαγομένη λέξις ἀπὸ φωνήεντος ἄρχηται. Τότε γὰρ αὐτὰ κοινῆν συλλαβὴν ἡγοῦνται· ἔστι δὲ τὸ παῦρα ἀντὶ τοῦ ὀλίγα καὶ ἀδαμῶς, ὥσπερ ἐστὶ καὶ τὸ, Τί βαιὸν ὕστως ἐντρίπῃ τῆς συμμάχης; τὸ γὰρ βαιὸν ἀντὶ τοῦ ὀλίγον καὶ ἀδαμῶς ἐνταυθοῖ νοητέον. Οὐ μόνον δὲ τὰ τέλη τῶν πληθυντικῶν εὐθειῶν, ἀλλὰ καὶ τὰ τῶν ὁριστικῶν ῥημάτων, καὶ ἀπαρεμφάτων, καὶ προστακτικῶν, τὰ δίφθογγον ἔχοντα ἐν τῷ τέλει, ἀντὶ μακρῶν δέχονται, συμφώνου ἐπιφερομένου φωνήεντος δὲ, καὶ ταῦτα κοινὴν συλλαβὴν ποιοῦνται.

Ib. Ὠφελήσιμοι] ἀντὶ τοῦ ὠφέλιμοι. Ἐπιτήδειοι εἰς ὠφέλειαν.

Ib. Ὠφελήσιμοι] Ἦσαν, ὠφέλειαν ἐμοὶ προξενήσαντες. Διὰ τὸ κοινῶς ἅπασιν ἀθελῆσαι βλάψαι τὸν Αἴαντα.

1043. Πῶς σ' ἀποσπάσω] πῶς (φησὶ) καὶ σῶμα ἀπὸ τοῦ ξίφους ἑλκύσω; συμπληρώσας δὲ βούλεται καὶ θάπτειν αὐτὸν καλῶς δή, τῇ μὲν τεκμήσῃ πειρᾶται τὸ σκιπάσαι αὐτὸν, ὡς γυναικί. Τῷ δὲ Τεύκρῳ ὡς ἀνδρὶ καὶ ἀδελφῷ τὰ δέοντα ποιεῖν περὶ τὸ σῶμα.

1044. Τᾷδ' αἰόλᾳ κνώδοντος] τῆς ἀκμῆς τοῦ ξίφους, τῆς ὀξείας εἰς τὸ καίειν, ὡς ὀδὼς ὀδοῦσι γὰρ περιβάλλεται ὀξέσιν. Ἀπὸ δὲ τοῦ ξίφους

φονέως ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνῳ
Ἔμελλέ σ' Ἕκτωρ, καὶ θανὼν, ἀποφθίσειν;
Σκέψασθε τῶρος θεῶν τύχην δυοῖν βροτοῖν·
Ἕκτωρ μὲν, ᾧ δὴ τῦδ' ἐδωρήθη τἀρα,
Ζωσῆρι τωρισθεὶς, ἱππικῶν ἐξ ἀντύγων
Ἐγναύπλετ' αἰὲν, ἕς' ἀπέψυξεν βίον·
Οὗτος δ' ἐκείνῳ τήνδε δωρεὰν ἔχων,
Πρὸς τῦτ' ὄλωλε θανασίμῳ τεσήμαι.
Ἆρ' ἦκ Ἐριννὺς τῦτ' ἐχάλκευσε ξίφος,
Κἀκεῖνον Ἅιδης δημιωργὸς ἄγριος;
"Ἐγὼ μὲν ἦν καὶ ταῦτα καὶ τὰ τἀντ' ἀεὶ
"Φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεός."
Ὅτῳ δὴ μὴ τάδ' ἔστιν ἐν γνώμῃ φίλα,
Κεῖνός τ' ἐκεῖνα τεργέτω, κἀγὼ τάδε.

ΧΟΡ. Μὴ τεῖνε μακρὰν, ἀλλ' ὅπως κρύψεις τάφῳ
Φράζε τὸν ἄνδρα, χ' ὥ, τι μυθήσῃ τάχα.

ὦκρη τὸ ξίφος δηλοῖ. Αἴολ. τὴν συνεχῆ κίνησιν πάσχοντος διὰ τὴν λεπτότητα.

1047. Πρὸς θεῶν] συνίζησις.

Ib. Σκέψασθε] ἤγουν, ὦ ἄνδρες, σκοπήσατε καὶ ἴδετε, ἵνικα τῶν θεῶν τὴν τύχην τῶν δύο ἀνθρώπων, Αἴαντός τε καὶ Ἕκτορος.

1048. Ἕκτωρ] ὁ Ἕκτωρ ἐν τῷ ζωστῆρι, ᾧ ἐδωρήθη καὶ ἐφιλοφρονήθη παρὰ τῦδε τῦ Αἴαντος, ἐκπάπτετο, καὶ συρόμενος κατεκόπλετο ἐκ τῶν ἱππικῶν ἀντύγων καὶ τῆς τῦ ἅρματος περιφερείας, ἕως καὶ ὅλως ἀπέψυξε τὸν βίον. Ἀπέψυξε δὲ εἶπεν ἀντὶ τῦ ἀπεβάλετο τὸν βίον καὶ τὴν ζωὴν, τρισθεὶς καὶ κατακοπεὶς· παρ' ὅσον οἱ εἰσπίπτοντες ψυχραίνονται ἑαυτὶ τῷ σώματι, τῦ τὴν θέρμην ἐμποιῦντος αἵματος εἰς τὴν καρδίαν εἰσερχομένοις, φυλακῆς ἕνικα, καὶ πάντα τὰ μέρη καταλειποτάκτως ψυχρά.

1049. Περισθεὶς] ἤγουν, ἐβλίς.

Ib. Ἀντύγων] ἤγουν, ἁρμάτων.

1051. Οὗτος δ' ἐκείνῳ] οὗτος δὲ ὁ Αἴας ἔχων τὴν δωρεὰν ἐκείνῳ τῦ Ἕκτορος, ἤγουν, τόδε τὸ ξίφος, παρὰ τῦδε ὅλαλε θανασίμῳ τρώματι.

1052. Πεσήματι] ἀντὶ τῦ τρώματι.

1054. Κἀκεῖνον] δηλονότι τὸν ζωστῆρα.

1055. Ἐγὼ μὲν ἦν καὶ ταῦτα] καλῶς τὸ φάναι πάντα κατὰ γνώμην θεῶν γίγνεσθαι· εἰσὶ γάρ τινες ἐτεροδοξάντες.

1057. Ὅτῳ δὲ μὴ τάδ' ἔστιν] τὸ ἐκ θεῶν μηχανᾶσθαι ταῦτα.

Ib. Ὅτῳ μὴ] ἔστινι μὴ ταῦτα, ἃ λέγω καὶ φρονῶ ἐγὼ, εἰσὶν ἐν τῇ γνώμῃ αὐτῦ ἀγαπητά.

1058. Ἐκεῖνα τεργέτω] τὰ ἑαυτῦ δόγματα. Γέγονε δὲ τῦτο καὶ παροιμιακόν.

1059. Μὴ τεῖνε] ἀντὶ τῦ ἀπότεινε, λέγε δηλονότι. Τὸ ἀποτείνειν γὰρ ἐπὶ λόγων λέγεται· οἷον, ἀπότεινε λόγον μακρόν.

1059, 1060. Ἀλλὰ—Φράζε] σκόπει, ὅπως κρύψεις τὸν ἄνδρα ἐν τάφῳ. Ὅπως ἀντὶτῦ ὡς· καὶ ἀντὶ τῦ ἵνα, καὶ ἀντὶ τῦ καθάπερ. Ἐνταῦθα ἀντὶ τῦ πᾶς.

1060. Χ' ὅ, τι μυθήσῃ τάχα] καὶ ὅτι μέλλοντι

Βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς
Γελῶν, ἃ δὴ κακῶργος ἐξίκοιτ' ἀνήρ.
ΤΕΥ. Τίς δ' ἐστὶν, ὅτ]ιν' ἄνδρα προσλεύσσεις στρατῷ;
ΧΟΡ. Μενέλαος, ᾧ δὴ τόνδε πλὴν ἐσείλαμεν.
ΤΕΥ. Ὁρῶ· μαθεῖν γὰρ, ἐγγὺς ὢν, ὃ δυσπετής. 1065
ΜΕΝ. Οὗτος, σὲ φωνῶ· τόνδε τὸν νεκρὸν χεροῖν
Μὴ συγκομίζειν, ἀλλ' ἐᾷν ὅπως ἔχει.
ΤΕΥ. Τίνος χάριν τοσόνδ' ἀνηλωσας λόγον;
ΜΕΝ. Δοκῶντ' ἐμοὶ, δοκῶντα δ' ὃς κραίνει στρα]τῷ.
ΤΕΥ. Οὐκῶν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς; 1070
ΜΕΝ. Ὅθ' ὕνεκ' αὐτὸν ἐλπίσαν]ες οἴκοθεν
Ἄξειν * Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
Ἐξεύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν·
Ὅσις στρατῷ ξύμπαν]ι βουλεύσας φόνον,
Νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δορί. 1075
Κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
Ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὅδ' εἴληχεν τύχην,

* Aldus, Ἄγειν.

θήσῃ πρὸς τὴν ἔφοδον Μενελάου τινὰς τὴν ἄφιξιν· ἢ τοι πρὸς αὐτὸν Μενέλαον.

1062. Ἐξίκοιτ' ἀνὴρ] πιθανῶς πάρεσιν, ὅτι δ' συμπαθήσων πάρεσιν. Οὐκ ἀργῶς δὲ τάττει, ἀλλ' ὥσπερ προπαρασκευάζων τὸν Τεῦκρον· Λέγει δὲ, ἐξίκοιτο ἂν (ἦγον, διεξέλθοι) ἃ ἀνὴρ κακῶργος ἐξίκοιτο ἂν ἐηλονότι.

Ib. Ἐξίκοιτ' ἀνὴρ] ἃ μόνον διεξέρχομαι, ἀλλὰ καὶ ἐξέρχομαι χωρὶς τῆς διὰ φαμὲν, ὡς ἐνταῦθα. Καὶ Εὐριπίδης·

"Θνητοὶ γὰρ ἐξίασι πάντα δὴ κάλων."

1063. Τίς δ' ἐστὶν] ἦγον, τίς ἀνὴρ ἐστὶν ἀπὸ τοῦ στρατοῦ, ὃν προσλεύσσεις, ἦγον, βλέπεις;

1064. Ὦ δὴ τόνδε πλὴν] ἀντὶ τοῦ, δι' ὃν ἐπὶ Τροίαν ἐστειλάμεθα πλῆν.

Ib. Ἐσείλαμεν] ἀντὶ τοῦ ἐστειλάμεθα. Στέλλω, τὸ κοσμῶ· στέλλομαι δὲ, ἀπὸ τῆς ἐν θαλάσσῃ πορείας, οἷον, ἐστείλατό τις τόνδε τὸν πλοῦν.

Ib. Μαθεῖν γὰρ, ἐγγὺς] ἦγον, ἐγγὺς γὰρ ὢν ὁ δυσπετὴς ἐστὶν οἷς τὸ θεαθῆναι. Δυσπετὴς, ὁ δυσκόλως ὑπείκων, ἦγον, ὁ δυσχέρης, ᾧ ἐναντίον ὁ εὐπετὴς, ὁ εὐκόλως ὑπείκων. Πρᾶστὴς, ὁ ἐμπροσθεν κείμενος· προπέτης δὲ, παροξυτόνως, προαρπάζων τὸ πρᾶγμα, καὶ παρὰ τὸν καιρὸν παρῄνησιαζόμενος· ἀπὸ τῶν στρθίων τῶν πρὸ τοῦ καιροῦ ζητούντων πίστισθαι.

1067. Μὴ συγκομίζειν] μὴ θέλε κηδεύειν, ἀλλὰ θέλε ἀφιέναι καθὼς διάκειται.

1070. Οὐκῶν] οὐκῶν, εἶποις ἂν, προσθεὶς δ' ἥντινα αἰτίαν προσλώσσεις μοι μὴ συγκομίσαι τὸν νεκρὸν, ἀλλ' ἐᾶν αὐτὸν καθὼς διάκειται.

1076. Κεἰ μὴ θεῶν] καὶ ἂν μὴ τὶς ἀπὸ τῶν θεῶν ἔσβεσε τήνδε τὴν πεῖραν, ἡμεῖς μὲν ἂν θανόντες προκείμεθα ἐν αἰσχίστῳ μόρῳ, κατὰ ταύτην τὴν τύχην, ἣν εἴληχεν ὅτος ὁ Αἴας. Ἦγον, ἀνελπίστως οὕτω καὶ αἰφνιδίως.

1078. Πρό-

Θανόντες ἂν πρὸκείμεθ' ἐχθίστῳ μόρῳ *.
Οὗτος δ' ἂν ἔζη· νῦν δ' ἐνήλλαξεν θεὸς
Τὴν τῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν·
Ὧν ὕνεκ' αὐτὸν ὅστις ἔς' ἀνὴρ σθένων
Τοσοῦτον, ὥστε σῶμα τυμβεῦσαι τάφῳ·
Ἀλλ' ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος †,
Ὀρνισι φορβὴ παραλίοις γενήσεται.
Πρὸς ταῦτα, μηδὲν δεινὸν ἐξάρῃς μένος.
Εἰ γὰρ βλέποντος μὴ δυνήθημεν κρατεῖν,
Πάντως θανόντος ἄρξομεν, κἂν μὴ θέλῃς,
Χερσὶν παρευθύνοντες· ὃ γὰρ ἔσθ' ὅπῃ
Λόγων ἀκοῦσαι ζῶν ποτ' ἠθέλησ' ἐμῶν.
" Καίτοι κακοῦ πρὸς ἀνδρὸς, ἄνδρα δημότην

* Aldus, αἰσχίστῳ μόρῳ. † Turn. ἐκβεβλημένον.

1078. Πρὸκείμεθ'] δέον εἰπεῖν πρὸς τὸ μόῤῥω, ὡ ἐλλιχιν, ἐπειδὴ ὁ τοιοῦτος μόρος δυστυχία τις ἦν· Οὐ γὰρ φυσικῶς, ἀλλ' ἐκτρῶς διὰ ξίφος γίγνεται, θᾶττον καὶ ἔχθιστον καλεῖ· πρὸς τοῦτο καὶ τὴν σύνταξιν ἀπίστευτον ὅπως, ἡμεῖς μὲν θανόντες ὑπ' αὐτοῦ πρὸκείμεθα ἂν ἐν ἐχθίστῳ θανάτῳ, ἦν τύχην καὶ δυσυχίαν εἶληχε καὶ ἐκπεπώκατο ὗτος, τήνδε καὶ ταύτην ἦν ὁρᾶμεν, σφαγὴς αὐτὸς ὑπ' αὐτοῦ.

1081. Ὧν ὕνεκ' αὐτὸν] ἐδεάς ἐστιν ἀνὴρ σθένων τοιοῦτον, ὥστε τυμβεῦσαι τάφῳ, ἤγουν, ἐνταφιάσαι αὐτόν. Εἶτα ἐπάγει τὸ σῶμα. Καὶ ἔστι ὅμοιον τῷ, ποῖόν σε φύγεν ἔρκος ὀδόντων· ἀντὶ τοῦ ὅ, τι σε εἰέκυλαι καὶ μέρος. Προεμπαίζει δὲ τὸ ὅλον τὴν δύναμιν τοῦ ῥήματος, εἶτα ὅπως ἐκ μεταμελείας εἰδωσιν αὐτὴν τῷ μέρει. Συνυπακούεται γὰρ ἐν τούτοις ἐπὶ τοῦ μέρους ἡ κατὰ πρόθεσις, ἵν' ᾖ ὅπως, ποῖαν ἔπος ἔννηψε σε; λέγω κατὰ τὸ ἔρκος τῶν ὀδόντων. καὶ ὧδε· ἐστὶν ἀνὴρ σθένων τοσοῦτον, ὥστε τυμβεῦσαι τῷ τάφῳ αὐτὸν, λέγω κατὰ τὸ σῶμα.

1083. Ἀμφὶ χλωρὰν ψάμαθον] διὰ τὰ ἐκεῖσε ῥυτά.

1085. Δεινὸν] δεινὸν ἀντὶ τοῦ μέγα καὶ δειλὸν καὶ χαλεπὸν καὶ ἐπιβλαβὲς μένος· ἀνδρός.

1086. Μὴ δυνήθημεν] Εἰ γὰρ μὴ ἐδυνήθημεν ἄρχειν αὐτοῦ ζῶντος, πάντως γε ἄρξομεν αὐτοῦ θανόντος, κἂν σὺ μὴ θέλῃς, ὦ Τεῦκρε, βίᾳ χερῶν νικῶντες· ἃ γὰρ ἦν δυνατὸν ποτὲ, ὑπακοῦσαι τῶν ἐμῶν λόγων. Ἔχει δὲ ὁ λόγος ὅπως· ἃ γὰρ ἐθέλησε ζῶν αὐτὸς ὁ Αἴας ἀκοῦσαι τῶν ἐμῶν λόγων.

1088. Χερσὶν παρευθύνοντες] ἐκτρέποντες, ἀπὸ τῶν μὴ ἐόντων τινὰς βιαίζειν τὴν ἑαυτῶν ὀργὴν, ἀλλὰ παρακλίνοντες αὐτούς.

Ib. Οὐ γὰρ ἔσθ' ὅπῃ] οὐκ ἔστιν ὅπῃ, ἀντὶ τοῦ οὐδαμοῦ· τελίσιν, οὐκ ἔστι τόπος ὅπῃ. Οὐκ ἔστιν ὅστις, ἀντὶ τοῦ οὐδείς· ἤγουν οὐκ ἔστι χρόνος ὅτε, οὐκ ἔστιν ὅπως, ἀντὶ τοῦ, οὐκ ἔστι τρόπος ὅπως.

1090. Καίτοι κακοῦ πρὸς ἀνδρὸς] ἐκ γενικῆς ἀρξάμενος, αἰτιατικὴν ἐπήνεγκε πρὸς τὸ ἀπαρέμφατον· ὅτως γὰρ ἔδει εἰπεῖν, ἀνδρὸς κακοῦ ἔστι μηδὲν ἀκοῦσαι δικαίου τῶν ἀρχόντων. Ἐπεὶ δὲ ὅπῃ μὴ ἀκοῦσαι τῶν ἐρισώτων, ὡς πρὸς ἑκείνης ἰδιότητα ἦν, διὰ τοῦτο εἶπε τὸν, ἀνδρα δημότην, τοῦ τὸ ἀπαρέμφατον, ἀπὸ γενικῆς πρὸς αἰτιατικὴν τρέψας τὸν λόγον.

Ib. Καίτοι κακοῦ] καίτοι ἰδιόν ἐστιν ἀνδρὸς κακοῦ, μηδὲν δικαίων ἀκοῦσαι τῶν ἀγαθῶν, τὸν ἄνδρα τὸν δημότην. Τοιοῦτον δ' ἐστὶν ἀνδρὶ

" Μηδὲν δικαιῶν τῶν ἐφεστώτων κλύειν.
" Οὐ γὰρ ποτ' ἄν τις ἐν πόλει νόμοι καλῶς
" Φέροιντ' ἄν, ἔνθα μὴ καθεστήκοι δίος·
" Οὔτ' ἂν στρατὸς γε σωφρόνως ἄρχοιτ' ἔτι,
" Μηδὲν φόβῳ προβλημα μηδ' αἰδῶς ἔχων. 1095
" Ἀλλ' ἄνδρα χρὴ, κἂν σῶμα γεννήσῃ μέγα,
" Δοκεῖν πεσεῖν ἄν, κἂν ἀπὸ σμικρᾶ κακᾶ.
" Δέος γὰρ ᾧ πρόσεστιν, αἰσχύνη θ' ὁμᾶ,
" Σωτηρίαν ἔχονθα τόνδ' ἐπίστασο·
" Ὅστις δ' ὑβρίζειν, δρᾶν θ' ἃ βέλεται πάρα, 1100
" Ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
" Ἐξ ἐρίων δραμεῖσαν εἰς βυθὸν πεσεῖν.
" Ἀλλ' ἑστάτω μοι καὶ δέος τὶ καίριον,

ἀνδρὶ κακῷ, μηδαμῶς ἀφιέναι ἄνδρα δημότην, κλύειν τῶν ἐφεστώτων.

1091. Δικαιῶν] δίκαιον κρίνειν. Κλύειν δὲ ἀντὶ τοῦ ὑπακούειν.

1093. Φέροιντ' ἄν] ἤγοιν, διοικεῖντο.

Ib. Ἔνθα μὴ καθεστήκοι δίος] καὶ Ἐπίχαρμος, " Ἔνθα δίος, ἐνταῦθα καὶ αἰδώς "

1096. Ἀλλ' ἄνδρα] ἤγοιν, ἀλλ' ἕκαστον ἄνδρα χρὴ νομίζειν πεσεῖν, καὶ ἀπὸ σμικρᾶς κακοῦ ἡνίοχε, κἂν καὶ σῶμα γεννήσῃ μέγα.

1098. Δέος γὰρ ᾧ] καὶ Ὅμηρος·

" Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ " πέφανται."

Ib. Δέος γὰρ] ἔστινι δὲ ἀνδρὶ πρόσεστι δίος θυμῷ καὶ αἰσχύνη, τοῦτον τὸν ἄνδρα γίνωσκε ἔχοντα σωτηρίαν.

Ib. Δέος γὰρ ᾧ πρόσεστιν] καλῶς εἶπεν ἀμφότερον, τὸ δέος καὶ τὴν αἰσχύνην· δεῖσε γάρ τις τύραννον, ὃ μὴν αἰδεῖται· ὡς ἦν καιρῷ τύχῃ, ἑτοίμως ἂν τοῦτον καθέλοι. Εἰ δέ τις σὺν τῷ φόβῳ καὶ αἰδῶ πρὸς τὸν οἰκεῖον ἄρχοντα φυλάττοι, ᾧ τε ἀεὶ πρὸς τὸ ἄρχεσθαι ἐχρήιξει, ναυλερίσας μηδέποτε, ὅστε ἄρχων τῆς αὐτῷ σωτηρίας διὰ παντὸς φροντιεῖ.

1100. Ὅστις δ'] Ὅστις δὲ παρίσιν ὑβρίζειν καὶ δρᾶν, ἅτινα ἕκαστος βούλεται, ταύτην τὴν πόλιν νόμιζε ἐν χρόνῳ ποτὲ, ἐξ ἐρίων ἀνίμων δραμοῦσαν, πεσεῖν εἰς βυθόν· ἀλλ' ἔστω ἐμοὶ καὶ παντὶ, φόβος ἀναγκαῖος.

1102. Ἐξ ἐρίων δραμεῖσαν] πνεύματι ἐκνεύστοι. Ἀπὸ μεταφορᾶς τῆς νεὼς τῶς ἀπὸ τῆς πρύμνης ἐχούσης τὴν φορίν.

1103. Καίριον] πάνυ ἀσφαλῶς τὸ καίριον.

Ib. Ἀλλ' ἑστάτω καίριον] καὶ εἰ μὲν λαμβάνεται τὸ ἑστάτω ἀντὶ τοῦ σταθήτω, κανονίζεται ὕστως· ἵστημι, στήσω, ἔστακα, ἕστακας, ἕστακε. Καὶ τὸ προστακτικὸν ἕστακε, ἑστακέτω. κατὰ δὲ συγκοπὴν, ἑστάτω. Διὸ καὶ βασύνεται. Εἰ δὲ λαμβάνεται τὸ ἑστάτω ἀντὶ τοῦ ὑπαρχέτω, κανονίζεται ὕστως. Εἰμὶ, τὸ ὑπάρχω. καὶ τὸ πληθυντικὸν, ἴμεν· τοῦ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συγκίλλονται· ὥσπερ τίθημι, τίθεμεν· τροπῇ δὲ τῆς μὲν εἰς σι, γίνεται τὸ προστακτικὸν ἴσθι· καὶ, ἐπεισθεισι τῶ σ, ἔσθι. Ἀλλ', ἵνα κολεσνάσει συμφώναν, τρέπεται τὸ ε εἰς ι. Οἷον ἔστω, ἐστάω. ἔγω, ἔσχω. Οὕτω καὶ τὸ ἔσθι ἐνέλλαξε τὸ ε εἰς ι, καὶ γίγονεν ἴσθι. τὸ τρίτον ἑστω. Ἐφύλαξε δὲ τὸ ἑστω τὸ ἀπειλούμενον ι, καὶ, κατ' ἐπίκτασιν, ἑστάτω. Διὸ καὶ χρὴ φιλᾶσθαι.

1104. Καὶ

" Καὶ μὴ δοκῶμεν, δρῶντες ἃ ᾽ν ἡδώμεθα,
" Οὐκ ἀντιτίσειν αὖθις, ἃ ᾽ν λυπώμεθα.
" Ἔρπει παραλλὰξ ταῦτα." Πρόσθεν ἔτος ἦν
Αἴθων ὑβριστής· νῦν δ᾽ ἐγὼ μέγ᾽ αὖ φρονῶ,
Καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
Μὴ τόνδε θάπτων, αὐτὸς εἰς ταφὰς πέσῃς.
ΧΟΡ. Μενέλαε, μὴ γνώμας ὑποσήσας σοφὰς,
Εἶτ᾽ αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.
ΤΕΥ. Οὐκ ἄν ποτ᾽, ἄνδρες, ἄνδρα θαυμάσαιμ᾽ ἔτι,
Ὅς μηδὲν ὢν γοναῖσιν, εἶθ᾽ ἁμαρτάνει,

1104. Καὶ μὴ] ὅτι ἀμφοῖν τὸ ἃ ᾽ν, ἢ μόνοι σύνδεσμοί εἰσιν ἀλλὰ δύο μέρη τῆ λόγου, ἃ ἄρθρον, καὶ ἓν σύνδεσμος. Ὅθεν καὶ κατὰ κρῆσιν ἃ ᾽ν γίγνεται, ὡς τῷ σοφωτάτῳ ἐπενοήθη Πλατῶνι. Ὁ γὰρ ἂν σύνδεσμος βραχύς ἐστι παρὰ τοῖς μετρικοῖς· ἐνταῦθα δὲ μακρόν ἐστι τὸ ἂν· ὥστε δύο μέρη τῆ λόγου ἐστὶ κραθέντα εἰς ἕν. Σύνταξον δὲ ὧδε, καὶ μὴ δοκῶμεν παὶ νομίζωμεν ἐρῶντες ἐκεῖνα, ἃ ἂν ἡδώμεθα, τοῦτο ἃ, ἐπὶ πρὸς τὸ ἡδώμεθα ὄν, ἀλλὰ πρὸς τὴν ὑπισθεν ἐξωθεν νοουμένην αἰτιατικὴν, τὸ ἐκεῖνα· οὐκ ἀντιτίσειν καὶ οὐκ ἀντιδοῦναι αὖθις καὶ παλιν ἐκεῖνα ἃ ἂν λυπαμέθα· τοῦτο αὖτὸ κρινταῦθα συμβαίνοντος πρὸς τὸ ἃ ὅπερ καὶ πρώην ἔφαμεν πρὸς τὸ ἕτερον.

1b. Καὶ μὴ δοκῶμεν] ἐὰν ποιοῦντές τι παρὰ φύσιν ἡδώμεθα, μὴ ὑπολαμβάνωμεν, ὅτι οὐκ ἀντίσομεν. Προλαβὼν δὲ τὸ ἐρῶντες, λαμβάνει τὴν αἰτιατικὴν οἰκείως, εἶτα ἐπάγει τὸ ἡδώμεθα, ἀποδεδομένον πρὸς τὴν προηγησαμένην πτῶσιν. Καὶ ἐπὶ τοῦ ἐρᾷς ἔχει τὸ αὐτὸ συμβαῖνον, καὶ ἐφ᾽ ἑτέρων πλείων.

1b. Δρῶντες] καὶ ἐρῶντες ὃ ἂν βουλώμεθα, μὴ δοκῶμεν οὐκ ἀντίσειν αὖθις αὐτὸ, ὥστε ἂν λυπώμεθα καὶ βλαπτώμεθα· ἀλλὰ ταῦτα· ἢ καὶ ἄλλως. Καὶ ὑπόταν ἡδώμεθα, ἐρῶντες τὸ τῆς ἡδονῆς ἔργον· μὴ δοκῶμεν οὐκ ἀντίσειν αὖθις αὐτὸ, ὑπόταν λυπώμεθα. Ἀλλὰ ταῦτα ἐπέρχονται καὶ βαδίζουσιν ἐναλλαγμένως. Ἢ, καὶ ὑπόταν ἡδώμεθα ἐρῶντες ἄτινα βέλομεν, μὴ δοκῶμεν οὐκ ἀντιτίσειν αὖθις ὑπόταν λυπώμεθα, ἅ τινα μὴ βέλομεν δηλονότι.

1106. Παραλλὰξ] ἄγων, κατὰ διαδοχήν. Ἀλλάττομαι τῶδε τόδε, ἄγων, διὰ τῶδε τόδε, Ἐναλλάττειν, τὸ μετατιθέναι τὴν τάξιν ἀντιτρόφως· ἐξαλλάττειν, τὸ ἀμείβειν καὶ ἀλλαγῶν· Οἷον ἐξαλλάττειν τὸ χρῶμα Συναλλάττειν, ἐπὶ συμφωνίας γάμου, ἀφ᾽ ὧ συνάλλαγμα· καταλλάττειν καὶ διαλλάττειν, τὸ εἰς φιλίαν συνάγειν. Καταλλάττεσθαι δὲ καὶ διαλλάττεσθαι, τὸ εἰς φιλίαν συνάγεσθαι· μεταλλάττειν, τὸ βαίνειν ἀπό τινος εἰς τι, καθ᾽ ὃ λέγεται τὸ, μετήλλαξε τὸν βίον. Παραλλάττειν, τὸ τῇ διαθέσει ἀλλοῖον δεικνύσθαι, ἀφ᾽ ὧ παραλλαξ ἐπίρρημα, ὅταν ἑφεξῆς ἕτερον ἑτέρῳ ἀλλοῖον κίνηται· καὶ ἁπλῶς τὸ ἑφεξῆς ἑτέρῳ ἕτερον κεῖσθαι. Ἀπαλλάττειν, τὸ ἐλευθεροῦν καὶ τὸ διάγειν. Ὑπαλλάττειν, τὸ μὴ κύριον ἀντὶ τοῦ κυρίου λέγειν.

1107. Αἴθων ὑβριστής] οὐκ ἴσασται ἐπὶ τῶν αὐτῶν. Ἦν τότε ὑβριστὴς ἔτος, ἀλλὰ νῦν ἐν μεταβολῇ γέγονε. Καὶ ἡμεῖς, οἱ πρότερον κρατούμενοι ὑπ᾽ αὐτοῦ, νῦν κρατοῦμεν, καὶ μέγα φρονοῦμεν.

1110. Μὴ γνώμας ὑποσήσας σοφὰς] ἐπειδὴ τὸ περὶ τῆς εὐπιθείας ἄρισα ἐγνωμολόγησα. Διάκειται μὲν ὁ χορὸς πρὸς τὸν Τεῦκρον, ὑπεσαλμένως δὲ φιλάγεται διὰ τὸ τοῦ βασιλέως ἀξίωμα.

1112. Οὐκ ἂν ποτ᾽, ἄνδρες] πρὸ τῆς ἀντιλογίας βέλεται μαλάξαι τὸν Μενέλαον, ὅτι εὐγενὴς ὤν, οὐκ ἄξια τῷ γένει ἐξαμαρτάνει. Ὁ δὲ λόγος παιδεύει τοὺς εὐγενεῖς μὴ ἁμαρτάνειν.

1113. Μηδὲν ὢν γοναῖσιν] ἀδαμάντος ὢν τῷ γένει, ἤτοι εὐγενὴς ὤν,

1114. Ὃς

Ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
Τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
Ἄγ' εἶπ' ἀπ' ἀρχῆς αὖθις, ἢ σὺ φὴς ἄγειν
Τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
Οὐκ αὐτὸς ἐξέπλευσεν ὡς αὑτοῦ κρατῶν;
Πῶ σὺ στρατήγεις τῶνδε; πῶ δέ σοι λεών
Ἔξες' ἀνάσσειν, ὧν ὅδ' ἡγεῖτ' οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, ἐχ ἡμῶν κρατῶν.
Οὐδ' ἔσθ' ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον
Ἀρχῆς ἔκειτο θεσμός, ἢ καὶ τῷδέ σε.
Ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, ἐχ ὅλων
Στραηγὸς, ὥσθ' Αἴανθος ἡγεῖσθαί ποθε.
Ἀλλ' ὥνπερ ἄρχεις, ἄρχε, καὶ τὰ σέμν' ἔπη
Κόλαζ' ἐκείνως· τόνδε δ', εἴτε μὴ σὺ φῂς,
Εἴθ' ἄτερος στραηγὸς, εἰς ταφὰς ἐγὼ
Θήσω δικαίως, ἐ τὸ σὸν δείσας στόμα.
Οὐ γάρ τι τῆς σῆς ἕνεκ' ἐστράτευσαθο
Γυναικὸς, ὥσπερ οἱ πόνε πολλοῦ πλέω·
Ἀλλ' ἕνεχ' ὅρκων, οἷσιν ἦν ἐπώμοθος,

1114. Ὅθ' οἱ δοκοῦντες] ὅτε οἱ νομίζοντες· τὸ δὲ ἔπη ἁρμόζει μετὰ τοῦ κακί.

1116. Ἢ σὺ φῂς ἄγειν] κατ' ἐρώτησιν.

1119. Πῶ σὺ στρατηγεῖς τῶνδε] πῶς; τῷ Αἴαντι προστάσσεις, ὁ μὴ τῶν ὑπὸ Αἴαντι ἔχων ἐξουσίαν.

1121. Σπάρτης ἀνάσσων ἦλθες] ὁ λόγος ἴσπας, ὅτι σύμμαχος ἦλθεν, ἐχ ὑπήκοος.

1122. Οὐδ' ἔσθ' ὅπου σοι] οὐδ' ἔξιν ὅπου σοι πλέον πρᾶκτο τῶν κοσμεῖν· ἀλλ' ἐχὶ σὲ ὑπὸ τούτου κοσμεῖσθαι.

1123. Ἢ καὶ τῷδέ σε] γράφεται ἢ καὶ τοῦδέ σοι.

1124. Ὕπαρχος ἄλλων] ἀντὶ τοῦ, καὶ αὐτὸς ἑτέρου ὑποτέταζο.

1126. Τὰ σέμν' ἔπη] διὰ τῶν σεμνῶν ἐπῶν κόλαζε τὸν σαὐτοῦ σέ.

1127. Κόλαζε] ἴγνει, δίδασκε. Κολάζειν τὸ παιδεύειν· ἀφ' ὧ κεκολασμένοι ἦθη, τὰ πεπαιδευμένα· καὶ ἀκόλαστα, τὰ ἀπαίδευτα.

1128. Εἴθ' ἄτερος στρατηγὸς] τὸν περὶ τῆς ἐπιβολῆς λόγον ἀπαφεύγει, ὡς δυσαπάτητον. Ἐνδιατρίβει δὲ τῷ, ὅτι ὁ πάντων εἰσὶν ἀρχηγέτης.

1130. Οὐ γάρ τι τῆς σῆς] ἀντετίθει γὰρ τις, ὅτι διὰ τὴν Ἑλένην ἡ στρατεία ἐγένετο. Ὅπερ ἂν ἐβλήθειν αὐτὸν, ἀνεσκεύασεν.

1131. Οἱ πόνε πολλοῦ πλέω] οἱ φιλοκίνδυνοι, οἱ πλέρεις τῶν πόνων. Λέγει δὲ τοὺς μισθοφόρους· ἐχ, ὥσπερ μισθοφόρος τις, ἐπὶ μισθῷ ἐστρατεύσατο.

1132. Ἀλλ' ἕνεχ' ὅρκων] τῶν γὰρ ἀριστέων συνελθόντων ἐπὶ τὴν τῆς Ἑλένης μνηστείαν, ὁ Τυνδάρεως πάντας ὅρκους ἀπῄτησεν συναγανί-

σασθαι

Σῷ δ' ἐδέν· ἐ γὰρ ἠξίꝛ τὲς μηδένας·
Πρὸς ταῦτα, ωλείꝛς δεῦρο κήρυκας λαβὼν,
Καὶ τὸν ꝛραηγὸν, ἧκε· τῷ δὲ σῷ ψόφῳ
Οὐκ ἂν ꝛραφείην, ὡς ἂν ἦς οἷόσπερ εἶ.
ΜΕΝ. Οὐκ αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
ΤΕΥ. "Τὰ σκληρὰ γάρ τοι κᾆν ὑπέρδικ' ἦ, δάκνει."
ΜΕΝ. Ὁ τοξότης ἔοικεν ἐ σμικρὰ φρονεῖν.
ΤΕΥ. Οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκ]ησάμην.
ΜΕΝ. Μέγ' ἄν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις.
ΤΕΥ. Κᾆν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.
ΜΕΝ. Ἡ γλῶσσά σε τὸν θυμὸν ὡς μέγαν τρέφει*.
ΤΕΥ. "Ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἐξεꝛι φρονεῖν."
ΜΕΝ. Δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;
ΤΕΥ. Κτείναν]α; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.

* Ald. Turn. in marg. ὡς δεινὸν τρέφει.

σεσθαι τῷ γαμοῦντι αὐτὴν, καὶ ꝛρατεύειν, εἴτι ἀ]παγὴ γίνοιτο περὶ τὴν Ἑλένην τῷ γάμαντι.

1133. Σῷ δ' ἐδέν] ὅλως γάρ σε οὐκ εἶχεν ἐν ἀριθμῷ· ωεποιθὼς δὲ Ἀγαμέμνονι, ὑβρίζει Μενέλαον· συνάδει γὰρ τῷ, Τεύκρε φίλη κεφαλή.

1134. Πρὸς ταῦτα] τυτίσι, ἅτινα τῶν ἄρτων, πολλὲς ὑπηρέτας λαβὼν ὁ Αἴας, καὶ τὸν ꝛραηγὸν Ἀγαμέμνονα ἦλθεν ἐνταῦθα.

1136. Οὐκ ἂν] τὸ σχῆμα δικανικόν.

Ib. Οὐκ ἂν ꝛραφείην] τυτίσι, οὐκ ἂν φροντίσαιμι, ἅως ἂν ὑπάρχῃς ὑποῖος ὑπάρχεις. Ἤγων, θρασὺς καὶ ὑπερήφανος, κἀντεῦθεν καλαφρονητὴς, καὶ ἄδικος.

1137. Οὐκ αὖ τοιαύτην] ἤγων, ἀδαιμῶς ωάλιν τοιαύτην θρασεῖαν γλῶσσαν τὴν ἄσαν ἐν κωμῳδίᾳ εὐσ]υχίας ἀγαωῶ καὶ ἀωοδέχομαι. τὲ ἐλεγκτικὰ λύγια δὴ, κᾆν λίαν δίκαια ὦσι, λυωοῦσι, καὶ ωλήτ]ουσι. Ἤγων, οἱ σκληροὶ λόγοι καὶ μὴ ἱλαροὶ, κᾆν ὦσιν λίαν δίκαιοι, ωλήττουσι καὶ λυωοῦσιν.

1138. Τὰ σκληρὰ] γνωμικόν.

1139. Ὁ τοξότης] διεβέβλητο ἡ τοξικὴ ωαρὰ τοῖς ωαλαιοῖς, ὡς μικροστρεωὴς τέχνη καὶ ναύλη, καὶ ἀξιόλογον εἶδεν ἐρ]άσασθαι δυναμένην.

Ib. Σμικρὰ φρονεῖν] ἀντὶ τοῦ, ταωεινοφρονεῖν. Ὦ, ἐναντίον, τὸ ὑψηλὰ φρονεῖν, καὶ μεγὰ φρονεῖν, καὶ ὑψηλοφρονεῖν.

1141. Ἀσπίδ'] ἤγων, εἰ συρᾴδην ωολεμοῖσαις. Συρᾴδην μάχονται, οἱ συμβάλλοτες τὴν μάχην ἐγγύθεν. Ἀκροβολίζονται δὲ οἱ μακρόθεν βέλεσι μαχόμενοι. Ἀφ' ἕ ἀκροβολισμὸς, ὁ κοινῶς ἀντιωαράλεμος.

1142. Κᾆν ψιλὸς] τὰ τοιαῦτα σοφίσματα οὐκ εἰκεῖα ꝛραγῳδίας. Μετὰ γὰρ τὴν ἀναίρεσιν ἐωικεῖνται τὸ ἔρεμα θελήσας, ἐψυχρεύσατο, καὶ ἔλυσε τὸ ꝛραγικὸν ωάθος.

1144. Ἐξεꝛι φρονεῖν] ἤγων, ἀδικά ἐσι φρονεῖν. Φρονεῖν ἐσὶ μεγαλοφρονεῖν.

1145, 1146. Κτείναντά με;—Κτείναντα; δεινόν] ὁ μὲν εἶωεν ὅσον ἐφ' ἑαυτῷ· ὁ δὲ τῆς φανῆς ἀντιλαμβάνεται. Τὸ δὲ τοιοῦτο, κωμῳδίας μᾶλλον, ἢ ꝛραγῳδίας.

1147. Τῷδε

ΜΕΝ. Θεὸς γὰρ ἐκσώζει με, τῷδε δ' οἴχομαι.
ΤΕΥ. Μὴ νῦν ἀτίμα θεὺς, θεοῖς σεσωσμένος.
ΜΕΝ. Ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
ΤΕΥ. Εἰ τὸν θανόντα ἐκ ἐᾶς θάπτειν ποτέ.
ΜΕΝ. Τόν γ' αὐτὸς αὑτῷ πολεμίους· ὃ γὰρ καλόν.
ΤΕΥ. Ἦ σοὶ γὰρ Αἴας πολέμιος πρὶν ἢ ποτέ;
ΜΕΝ. Μισῶν τ' ἐμίσει· καὶ σὺ τῶτ' ἠπίστασο.
ΤΕΥ. Κλέπτης γὰρ αὐτὸν ψηφοποιὸς εὑρέθης.
ΜΕΝ. Ἐν τοῖς δικασταῖς, κἀκ ἐμοὶ, τόδ' ἐσφάλη.
ΤΕΥ. Πολλ' ἂν κακῶς λάθρα σὺ κλέψειας κακά.
ΜΕΝ. Τὸν εἰς ἀνίαν τὸν ἔρχεσθαι τινί.
ΤΕΥ. Οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.
ΜΕΝ. Ἐν σοὶ φράσω, τόνδ' ἐστὶν ἐγχὶ θαπτέον.
ΤΕΥ. Σὺ δ' ἀνταμύσῃ τῶτον, ὡς τεθάψεσαι.
ΜΕΝ. Ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν,

1147. Τῷδε δ' οἴχομαι] ἤγουν, ὅσον τὸ ἐπὶ τούτῳ.

1148. Ἀτίμα] ἤγουν, ἀτίμως ποίει. Ἀτιμάζω τὸ κυταφρονῶ· ἀτιμῶ, τὸ ἄτιμον ποιῶ καὶ ἠτιμωμένος ἐπὶ τῶ αὐτῶ κυτὸ τὸν παθητικὸν παρακείμενον ἐν τῇ τρίτῃ συζυγίᾳ.

1151. Τὸν γ' αὐτὸς] ἤγουν, τὸς πολεμίους αὐτὸς αὑτῷ, ἀντὶ τῦ ἐμαυτῷ, ὡς ἐῶ ἐλληνόστι θάπτειν.

1152. Πολέμιος πρὶν ἢ ποτέ;] ἤγουν πρόσταται; πολέμω ἐγένετο κατά σου. Πολέμιος ὁ ἀπ' ἀλλοτρίας χώρας ἐχθρός· ἐχθρὸς δὲ, ὁ ἀπὸ τῆς αὐτῆς.

1153. Μισῶν τ' ἐμίσει] ἴσως τισὶ, τὸ μισῶντα ἐμίσει, εὐθὺς ἦν τε δόξῃ τὸ δ' ἐ τοιῶτον, ἀλλ' εἰ μὲν ἄλλος τὶς τῶν ἰδιωτῶν πρὸς ἴσον τῶτ' ἔλεγεν, ἀνοίας γέμοντα λόγον ἐδόκει ἂν προφέρειν. Ὃ γὰρ ἐποίει, ἔπασχε. Νῦν δὲ βασιλεὺς ἦν ὁ πρὸς ἑλάτονος τῶτο πάσχων. διὸ καὶ βάρος προσεῖχεν.

1156. Πόλλ' ἂν κακῶς] ἤγουν, πολλὰ ἂν κακὰ κακῶς κλέψειας σὺ, ἤγουν, μετὰ κλοπῆς ἐργάσαιο λάθρα.

1158. Οὐ μᾶλλον, ὡς ἔοικεν] συνεκδοχικῶς λείπει τὸ λυπηθησόμεθα, ἵν' ᾖ· ἢ μᾶλλον τιμηθησόμεθα ἢ λυπήσομεν. Τυτέστι, πλέον λυπήσομεν σε ἀντιβαίνοντα ἡμῖν, ἢ λυπηθησόμεθα ὑπὸ σῦ. Ἢ ὅτως, ἢ μᾶλλον ἦλθέ σε εἰς ἀνίαν τῶτο τὸ ἔπος, ἢ λύπήσομεν. Ἤτοι, πλέον λυπήσομεν ἔτι ἢ ἐλυπήσαμεν.

1159. Τόνδ' ἐστὶν ἐγχὶ θαπτέον] ἤγουν, ἐκ ἀξιόν ἐστι θάπτειν τόνδε. Θαπτέον κοινῶς θαπτέον ἐστὶν, Ἀττικῶς. Οἱ γὰρ Ἀττικοὶ ἀπὸ τῦ συνήθους ἀεὶ καὶ χθαμαλῆ τὸν λόγον ἐπαίροντες, ἐπεὶ εὗρον ἐν τῇ συνηθείᾳ τὸ θαπτέον, τὸ ποιητέον, καὶ τὰ τῆς ἀκολυθίας ταύτης, χωρὶς προσθήκης τινὸς λεγόμενα, πρόστιθασιν αὐτοῖς τὸ ἐστὶν, ὃ συνύπακόετο ἐξαίρετως παρὰ τοῖς κοινοῖς· ἵνα καινότερον τὸν λόγον ἐργάσωνται.

1160. Σὺ δ' ἀνταμύσῃ] μὴ λάθῃς ἐξαίφνης εἰς τὸ τῶτο ἐλᾶ, ἀλλ' ἔστιν ὅμοιον τῷ, τὸ πτῶμα κίναδος ἐξήρε μ' ὅπως ἐκεῖ γὰρ τότε ἐμνημονύσαμεν.

1161. Ἤδη ποτ' εἶδον ἄνδρ'] ἤδη ποτ' εἶδον ἐγὼ ἄνδρα θρασὺν ἐν γλώσσῃ ὁρμίσαντα σὺν τοῖς ναύταις ἐπὶ τὸ πλοῖον κατὰ τὸν καιρὸν τῦ χειμῶνος, ᾧ τινι, ἤγουν, ἐν ᾧ ἀνδρὶ, ὐκ ἂν εἴρις

φθόγμα,

Ναύταις ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
Ὦ, φθέγμ' ἂν ἐκ ἂν εὕρες, ἡνίκ' ἐν κακῷ
Χειμῶνος εἶχετ', ἀλλ' ὑφ' εἵματος κρυβείς,
Πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων *.
Οὕτω δὲ καί σε καὶ τὸ σὸν λάβρον σόμα,
Σμικρᾶ νέφος τάχ' ἄν τις ἐκπνεύσας μέγας
Χειμὼν καταβίσειε τὴν πολλὴν βοήν.

ΤΕΥ. Ἐγὼ δέ γ' ἄνδρ' ὁπωπα μωρίας πλέων,
Ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
Κἄτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ,
Ὀργὴν θ' ὁμοῖος, εἶπε τοιοῦτον λόγον·
Ὦ ἄνθρωπε μὴ δρᾶ τὸς τεθνηκότας κακῶς.
Εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος.
Τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνθέτει παρών.
Ὁρῶ δέ τοι νιν· κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
Οὐδείς ποτ' ἄλλος, ἢ σύ· μῶν ἠνιξάμην;

ΜΕΝ. Ἄπειμι· "καὶ γὰρ αἰσχρὸν, εἰ πύθοιτό τις

* ALDUS, ναυτίλῳ.

φθέγμα, ἡνίκα εἶχετο καὶ καπιλόφθη ἐν τῷ κακῷ τῷ χειμῶνος, ἀλλὰ ὑπὸ τῦ ἱματίε κρυβὴς παρεῖχεν ἑαυτὸν πάλεσθαι τῷ θέλοντι ναυτίλῳ. Οὕτω δὲ καὶ σὲ καὶ τὸ τὸν λάβρον σόμα, καὶ τὴν σὴν πολλὴν βοὴν, τάχά ἂν τις χειμὼν μέγας ἐκπνεύσας ἀπὸ σμικρῦ νέφες, κατασβέσειε.

1162. Ναύτας ὁρμήσαντα] ὁρμησαῖλα ἀπὶ τὸ πλεῖν. Τὸ δὲ ὁρμήσαιλα, ἀντὶ τῦ παρορμήσαιλα.

1165. Πατεῖν παρεῖχε] παρεῖχεν ἑαυτὸν ἁπλενότι τῷ θέλοντι ναυτίλῳ ὥςε καλαπαλεῖν.

1166. Καὶ τὸ σὸν λάβρον σόμα] τῦτο καὶ τὴν πολλὴν βοὴν καθ' ὅλον καὶ μέρος λέγει. Μέρος γὰρ τῦ σόματος ἡ βοή. Ἴσιον δὲ ὅτι, ὅταν ἐκ ξηρᾶς ἀναθυμιάσεως νέφος συςῇ, ἄνεμον γενῇ.

1168. Καταβέσειε] ὅτω δὲ τάχα ἂν καταβέσειε καὶ σὲ καὶ τὸ σὸν θρασὺ σόμα καὶ τὴν πολλὴν βοήν, μεγάλη ζάλη ἀνέμων ἐκ σμικρᾶ νέφες πνεύσασα.

1169. Ἐγὼ δὲ γ' ἄνδρ'] καὶ ὅτος αἰνίτλεται ὡς ἑτέρε τὸν λόγον ποιέμενος.

1170. Ὃς ἐν κακοῖς] ὃς ἐμβρίζει τοῖς κακοῖς, ἤγεν, ταῖς δυσλυχίαις τῶν πλησίον.

Ib. Ἐν κακοῖς] ἡ ἐν ἀντὶ τῆς ἐπί.

1173. Μὴ δρᾶ] μὴ ποίει. Δρᾷ σε κακῶς, μετὰ αἰτιαλικῆς, καὶ ἐρᾷ σε κακὴν, ὁμοίως.

1175. Ἄνολβον] ἀνόητον. Ὄλβος γὰρ κυρίως ἡ φρόνησις.

1177. Ἠνιξάμην] ἐλοχίας παρείνυσας.

1178. Ἄπειμι] ἄπειμι. Καὶ αἰσχρὸν ἐςὶν ἐμοὶ τῷ Μενελάῳ, εἰ πύθοιτο τίς, ὅτινα Μενελάῳ πάρεςι βιάζεσθαι καὶ τύπτειν τὸ τὸν Τεῦκρον, πειρᾶσθαι καὶ δοκιμάζειν λόγοις πειθεῖν. Ὅτι, ὃν ἔξεςι βιάζεσθαι, τοῦτόν βέλομαι κολάζειν λόγοις· τυτέςιν, αἰσχρὸν ἐςὶν

" Λόγοις κολάζειν, ὦ βιάζεσθαι πάρα".

ΤΕΥ. Ἄφερπε νῦν· καὶμοὶ γὰρ αἴσχιστον κλύειν
Ἀνδρὸς ματαίᾳ φλαῦρ' ἔπη μυθούμενα.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Ἔστι μεγάλης ἔριδός τις ἀγών.
Ἀλλ', ὡς δύνασαι, Τεῦκρε, ταχύνας
Σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
Τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
Τάφον εὐρώεντα καθέξει.

ΙΑΜΒΟΙ.

ΤΕΥ. Καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίον
Πάρεισιν ἀνδρὸς τῆδε παῖς τε καὶ γυνή,
Τάφον περισελοῦσε δυστήνου νεκροῦ.
Ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας
Ἱκέτης ἕφαψαι πατρὸς, ὅς σ' ἐγείνατο·
Θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων
Κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,

εἴ ἀκούσειέ τις τοῦτο, ὅτι ᾧ ἀνδρὶ ἦγον ἐμοὶ τῷ Μενελάῳ ἐπιτάττει πάρεσι βιάζεσθαι καὶ τύπτειν σε τοῦτον.

1180. Καὶμοὶ γὰρ αἴσχιστον κλύειν] ἐδιορίζετο ὑπείκειν ὁ Τεῦκρος. Καὶμοὶ δὲ (φησὶν) αἰσχιστόν ἔστιν ἀνίσχεσθαί σε φλυαροῦντος.

1183. Ἀλλ', ὡς δύνασαι, Τεῦκρε, ταχύνας] ὁ χορὸς ταχύτητα τὸ ταφῆναι τὸ σῶμα πρὸς παραγγέλλεσθαι τοὺς Ἀτρείδας. Ταχύνας δὲ ἀντὶ τοῦ ταχύνας σπεῦσον, κατ' ἐπίτασιν λέγεται τῆς σπουδῆς.

1184. Σπεῦσον] τὸ σπεῦσον καὶ τὸ ταχύνας ἐκ παραλλήλου ῥητέον. Ἀλλ' οὕτω λέγε, σπεῦσον τάφον ἰδεῖν τινα τῆδε τῷ Αἴαντι, ταχύνας τοῦτο ὡς δύνασαι· τοῦτ' ἔστι, τὸν περὶ τούτου σπουδὴν ὡς ἔνι σπουδάσας· ὥστε τὸ ταχύνας σπουδή τις ἐστὶ τοῦ σπεῦσον. Τὸ δὲ φησὶ, μὴ περὶ τοῦ πάσεται νοήσῃς, ἀλλὰ περὶ τοῦ αἰθρωπον.

1184. Κάπετόν] τάφον.

1185. Ἀείμνηστον] τὸν ἐσόμενον τοῖς ἀνθρώποις τάφον ἀείμνηστον.

1186. Εὐρώεντα] σεσημμένον, σκωληκώδη. Τὸ δὲ ὅλον, ἔνθα καθέξει τοῦτος δηλονότι τὸν εὐρώεντα τάφον, τὸν ἀείμνηστον ἐσόμενον δηλονότι τοῖς βροτοῖς, ἤγουν, ὑπὸ τῶν βροτῶν.

1187. Ἐς αὐτὸν καιρὸν οἵδε πλησίον] πάρεστιν ἡ Τέκμησσα μετὰ τοῦ παιδός. Οὐκ ὅτι δὲ ἱκανὰ τὰ προσωπα φυλάξαι τὸ σῶμα, ἀλλ' ὅτι νικῆσαι δυνατά.

1192. Θάκει δὲ προστρόπαιος] ἤγουν, πλησιάζων. Εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ναυτῶν πρὸς τὴν πρύμνα καθημένων.

1194. Ἱκτήριος

Ἰκτήριον θησαυρόν. Εἰ δέ τις σφᾶς
Βίᾳ σ' ἀποσπάσειε τῶνδε τῶ νεκρῶ,
Κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς,
Γένυς ἄπαντος ῥίζαν ἐξημημένος,
Αὔτως ὅπωσπερ τόνδ' ἐγὼ τέμνω τλόκον.
Ἔχ' αὐτὸν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
Κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχε.
Τμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν τέλας
Παρέσατ', ἀλλ' ἀρήγεθ', ἔστ' ἐγὼ μόλω,
Τάφῳ μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Τίς ἄρα νέαλος ἐς πότε λήξει

1194. Ἰκτήριον θησαυρόν] τὰς πολλὰς ἱκεσίας ἤ, τὸ πλῆθος τῶν ἱκετευόντων. Ἄλλως, τὸ ἱκέσιον κτῆμα· λέγει δὲ τὰς τρίχας. Ἰκτήριοι δὲ κλάδοι, δι' ὧν ποιοῦνται τὰς ἱκετηρίας. Καὶ ἱκτήριος θησαυρὸς, ὁμοίως.

Ib. Ἰκτήριον θησαυρὸν] εἰκότως τοῦτό φησιν· ὥσπερ γὰρ τοῦτο ἔχει τις ἐπ' ὠφελείᾳ σφετέρᾳ, οὕτω καὶ διὰ ταύτης τῆς κόμης προξενίζειν αὐτοῖς εὐμένειαν παρ' Αἴαντος ἐλπίζων θησαυρὸν καλεῖ.

1197. Ἐξημημένος] ἴν' ᾖ ἀφηρημένος.

1198. Αὔτως] ἀντὶ τοῦ ὡσαύτως. Ὥσπερ ἀπὸ τοῦ ὅτος γίνεται ὅπως ἐπίρρημα παρὰ τοῖς κοινοῖς, καὶ ὁηλοῖ δύο. (λαμβάνεται γὰρ καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, καὶ ἔχει ἀνταποδοτικὸν τὸ ὡς, οἷον, ὅτως ποιῶ ὡς ἐκέλευσας· καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν) ὅτως ἀπὸ τοῦ αὕτη, τὸ αὕτως παρὰ ποιηταῖς, κατὰ τὰ δύο ταῦτα σημαινόμενα, λέγεται γὰρ τὸ αὕτως καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, ὃ' ᾧ σημαινομένῳ τὸ ὡσαύτως λέγεται παρὰ τοῖς κοινοῖς, μετὰ τοῦ ὡς· καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν.

Ib. Πλόκον] ἴδοι σὺν τῷ λόγῳ, ἐκκόπτει ὁ Τεῦκρος, καὶ τὸν πλόκαμον τῆς αὐτοῦ κεφαλῆς.

1201. Τμεῖς τε] καλῶς ἐγείρει τὰς στρατιώτας πρὸς βοήθειαν. Τὸν δὲ παῖδα πρὸς οἶκτον προβαλλόμενος καθ' ἡλικίαν.

1203. Κἂν μηδεὶς ᾖ] ἀπογινωσκόμενον (φασὶ) τὰ πάντα ἐπὶ αὐτῷ ἀνατιθέναι, ὅτι μᾶλλον κρατήσει τῶν ἐχθρῶν βιαζομένων. ῥητέον δὲ ὅτι ὑπὸ φιλοστοργίας πάντα λέγει ὑπομένειν.

1204. Τίς ἄρα] ἡ σύνταξις ἐστὶ· Τίς ἄρα ἐστὶν ὁ νέατος καὶ ἔσχατος ἀριθμὸς τῶν ἐτῶν τῶν πρωυπλανήτων; ἕως πότε λήξει καὶ παύσεται ὁ ἀριθμὸς τῶν ἐτῶν, ὁ ἐπάγων τὴν ἄπαυστον ἄτην, καὶ βλάβην ἐμοὶ διὰ τῶν πολεμικῶν μόχθων, ἀνὰ τὴν εὐρώδη Τροίαν, διὰ τὸ ἄθλιον ὄνειδος τῶν Ἑλλήνων; ἤγουν, διὰ τὴν Ἑλένην· ἤτοι ἄριστον· ἆρα τίς ἐστιν ὁ νέατος ἀριθμὸς τῶν πολυπλάγκτων ἐτῶν, ὁ ἐπάγων ἐμοὶ αἰὲν τὴν ἄπαυστον ἄτην τῶν θορυσσόντων μάχθων, ἀνὰ τὴν εὐρώδη Τροίαν, διὰ τὸ δύστηνον ὄνειδος τῶν Ἑλλήνων. Ἕως πότε χήξει;

Ib. Τίς ἄρα νέατος] ὁ χορὸς πάλιν καθ' ἑαυτὸν γενόμενος, ἐν ἀπολογισμῷ γίγνεται. καὶ φησι, τίς ἄρα ἡμῖν ὁ ἔσχατος τῶν ἐτῶν ἀριθμὸς τῶν πολυπλάγκτων; ἐς πότε λήξει ὁ ἀριθμὸς τῶν ἐτῶν ἡμῖν τούτων παρασκευάζων

Πολυπλάγκ[τ]ων ἐτέων ἀριθμὸς,
Τὰν ἄπαυστόν γ' αἰὲν ἐμοὶ
Δορυσσόν[τ]ων μόχθων
Ἄταν ἐπάγων
Ἀναὲ τὰν εὐρώδη Τροίαν,
Δύστανον ὄνειδος Ἑλλάνων;

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ὄφελε πρότερον αἰθέρα δῦναι
Μέγαν, ἢ τὸν πολύκοινον ἄδαν
Κεῖνος ἀνὴρ, ὃς συγερῶν
Ἔδειξ' * ὅπλων Ἑλλα-
σι κοινὸν ἄρην!

*Aldus, ἐδειξεν.

τυτίοις, τῶν κατὰ πόλεμον μόχθων, κατὰ τὴν σήπουσαν ἡμᾶς Τροίαν τῷ χρόνῳ. Τὴν Τροίαν λέγω, τὸ δύσπονον ὄνειδος τῶν Ἑλλήνων, διὰ τὴν ἐν αὐτῇ χρονίαν διατριβήν. Νέατος δὲ, ὁ ἔσχατος, καὶ νεώτη, ἡ ἰσχάτη· ἀφ' ἧ νήτη κατὰ ἡρᾶσιν, ἡ τελευταία χορδὴ τῆς μουσικῆς.

Ib. Πολυπλάγκτων] καθ' ὃ πολλὰ πλαγώμεθα ἐν ἀλλοδαπῇ.

Ib. Πολυπλάγκτων ἐτέων] ἤτοι τῶν πολλῶν χρόνων, ἓς ἐν Τροίᾳ πλανώμεθα, μηδὲν πράττοντες ὧν χάριν ἀφίγμεθα.

1209. Εὐρώδη] σκολιὴν καὶ ἀερώδη τοῖς Ἕλλησιν. Ἡ σισηνύαν, ἔνθα ἐχρονίσαμεν.

1210. Ὄνειδος Ἑλλάνων] εἰς ὄνειδος γὰρ τοῦτο τίπτει τοῖς Ἕλλησι, τοσοῦτον χρόνον μηδὲν κατορθοῦσι. Μὴ λάβῃς δὲ εἰς τὸ ὄνειδος ἔξωθεν εἰς· ἀλλ' εἶπων ὅτι ἐν τῇ Τροίᾳ πολὺν χρόνον πλανώμεθα, ἐπιφέρει, δύσπονον ὄνειδος Ἑλλάνων. Λέγων τοσοῦτον χρόνον καθῆσθαι μάτην ἐνταῦθα, δύσπονον ὄνειδος Ἑλλάνων. Ἐρεῖ δὲ καὶ προϊὼν τὸ τοιοῦτον σχῆμα. Λέγων γὰρ μετὰ τὴν στῆσιν ἃ πάσχει, εἶτ' ἐπάγει μνήματα Τροίας.

1211. Ὤφελε πρότερον] ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνὴρ, ὁ πρῶτος εἰσενεγκὼν εἰς Ἕλληνας πολεμιστήρια ὅπλα. Ὡς ἅμα τῇ εὑρέσει ἡκόντων τῶν ἀνθρώπων ἐπὶ τὸ ἀδικεῖν. Τὸ δὲ ὤφελεν, ἀπὸ τοῦ ὀφείλω ὤφελον, ἐκβολῇ τοῦ ι, ὃ ἐξ ἀνάγκης γράφεται διὰ τοῦ ω μεγάλου. Τάσσεται δὲ ἀεὶ μετὰ ἀπαρεμφάτου. Λέγεται καὶ μετὰ τοῦ μὴ, οἷον, μὴ ὤφελον. Καὶ μετὰ τοῦ ὡς, καὶ τοῦ μή· ἢ τοῦ οὐ προτασσομένου τοῦ ὡς, οἷον, ὡς μὴ ὤφελον. Ἢ, οὐκ ὤφελον· οἷον, ἐπεὶ ἐγενέτο τόδε, ὡς οὐκ ὤφελεν, γενέσθαι ἐκλογότι. Συνυπακούεται γὰρ ἐξ ἀνάγκης τὸ ἀπαρέμφατον. Καὶ, ἐπεὶ παρεγενόμην, ὡς μὴ ὤφελον, παρεγενέσθαι ἐκλογότι. Ἀφ' ᾧ ὤφελις ἐπὶ δευτέρου, καὶ ὤφελε ἐπὶ τρίτου, λαμβάνεται δὲ ἀντὶ τοῦ εἴθε, ἐπὶ παρελθόντος χρόνου. Ὤφελον δὲ ἐπίρρημα ἀντὶ τοῦ εἴθε, διὰ τοῦ ο μικροῦ, καὶ πάσσεται ἀεὶ μετὰ εὐκτικῆς, ἢ μετὰ παρελθυθότος χρόνου. Λέγεται τοῦτο ἐνίοτε μετὰ τοῦ ὡς, οἷον, ὡς ὤφελόν γε καὶ σὲ δὴ κακοδοξίᾳ νεκρωμένον.

Ib. Αἰθέρα δῦναι] εἰς ἀφανισμὸν καὶ ὕδην ἐλθεῖν. Αἰθέρα δὲ, ἢ τὸ πῦρ νόει, διὰ τὸ ἀφανιστικὸν εἶναι· ἢ τὸν ἀέρα, διὰ τὸ μὴ σύστασιν ἔχειν.

1216. Πρόγονος

Ὦ τόνοι πρόγονοι τόνων·
Κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.

ΣΤΡΟΦΗ Β.

Κεῖνος ὅτε σεφάνων,
Οὔτε βαθειᾶν * κυλίκων
Νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
Οὔτε γλυκὺν αὐλῶν ὄτοβον,
Δύσμορος, ὅτ' ἐννυχίαν
Τέρψιν ἰαύειν ἐρώτων·
Ἐρώτων δ' ἀπέπαυσεν, ᾧ μοι,
Κεῖμαι δ' ἀμέριμνος ὅτως,
Ἀεὶ πυκιναῖς δρόσοις
Τεγγόμενος κόμας λυγρὰς,
Μνήμαθ' Τροίας.

* ALDUS, βαθεῖαν.

1216. Πρόγονοι τόνων] ἢ παλαιοὶ, ἢ ἀρχηγοὶ τῶν πόνων, οἷον, ὁπότε εἰσαγωγὴ τῶν ὅπλων ἐγένετο. ὃ δεῖ δὲ ἀπειροκάλως ζητεῖν οἷς πρῶτος ἐχρήσατο ὅπλοις.

1218. Ἔκεῖνος ὅτε σεφάνων] ἐκεῖνος ὁ εὑρὼν τὰ ὅπλα, ὅσον ἐφ' ἑαυτῷ, ἢ σεφάνων, ἢ κύλικος, ἢκ αὐλῶν τέρψιν μοι ἔνειμεν, ἀλλὰ πᾶν (φησὶ) τερπνὸν ἐξέκοψεν. Ἥδιστος δὲ ὢν ὁ Σοφοκλῆς, πάλιν ἐπὶ τὸ ἴδιον ἦθος ἔκλινεν ἐν τοῖς μέλεσιν. Ὅθεν καὶ μέλιττα ἐκλήθη.

1221. Ὄτοβον] ὅμαδον, ἦχον.

Ib. Αὐλῶν ὄτοβον] τὸ ὄτοβος ἐνταῦθα δι' ἑνὸς τ ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. Φύσει γὰρ ὄττοβος διὰ δύο τ γράφεται, ὥσπερ πάταγος, τὸ αὐτὸ σημαινόμενον, δι' ἑνός.

1222. Ἐννυχίαν] τὴν ἐν παννυχίσιν· ἢ τὴν ἐν κοίτῃ.

Ib. Οὔτ' ἐννυχίαν] ἦγεν, ὅτε νυκτερινὴν τέρψιν ἔδωκεν ἐμοὶ ἔχειν ἐν τῷ ἰαύειν, τυτθίσιν, ἐν τῷ κοιμᾶσθαι. Ἀλλὰ ἀπὸ τῶν ἐρώτων ἐπαυσεν ἐμὲ δηλονότι.

1223. Ἐρώτων] τῶν ἐρωτικῶν. Καὶ ἄκαιρον μὲν περὶ ἐρώτων μεμνῆσθαι ἐν τοῖς παροῦσιν, ὅμως δὲ ἀκολουθίαν ἔχει πρὸς τὰ προκείμενα. Ἰαύειν δὲ, διατελεῖν, ἀνύειν.

1225. Κεῖμαι δ' ἀμέριμνος] ἤτοι πολυμέριμνος. Οἷον, μὴ σκοπῶν περὶ Θυμηδίας μηδὲν, ἀλλ' ἐν δρόσοις τεγγόμενος, ἅπερ ἔστι μοι νημερτέσυνα εἰς τὸν ἀεὶ χρόνον, ἡ ἐνταῦθα κακοπάθεια. Ἢ, ἐν ἀδεμιᾷ μεριμνῃ ὢν ἢ μόνον περὶ πολέμων.

Ib. Κεῖμαι δ' ἀμέριμνος] τοῦτο ἢ ἀντὶ τοῦ ἀπόγνωσιν ἔχων, καὶ μεριμνῶν καὶ ἐλπίζων περὶ τῆς ἐνταῦθα ἀπαλλαγῆς, ἀφῆλε τὸ μέλλοντος ὄντος, ὅπη τὰ τῆς νίκης χωρήσει· ἄλλως τε καὶ τῷ τοσούτῳ χρόνῳ εἰς ἀπορίαν ἐμβάλλοντος· ἢ ἀμέριμνος καὶ μὴ ἔχων μέριμναν, καὶ μὴ ἔχων φροντίδα ὧν ἔφην, σεφάνων φημὶ, καὶ κυλίκων, καὶ ἐρώτων.

1226. Ἀεὶ πυκιναῖς δρόσοις] ἀντὶ τοῦ ὑετοῖς συνεχέσι βρεχόμενος· ὁ γὰρ ὁ πολὺς τῷ στρατοπέδῳ λαὸς ἔχει σκηνὰς, φυλακὴν ἔμβροντα καὶ τῶν ἄλλων ἐξ ἀέρος δυσχερῶν, ἀλλ' οἱ ἄρχοντες μόνοι. Ἔστι δὲ καθ' ὅλον καὶ μέρος. Τὸ μὲν τεγγόμενος, ὅλον· τὸ δὲ κόμης, μέρος.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Πρὶν μὲν ἔν ἐννυχίῳ *
Δείμα]ος ἦν μοι προβολὰ
Καὶ βελέων θήριος Αἴας·
Νῦν δ' ὅτος ἀνεῖται συγερῷ
Δαίμονι. Τίς μοι, τίς ἔτ' ἔν,
Τέρψις ἐπέσαι; γενοίμαν
Ἵν' ὑλᾶεν ἔπεσι πότ]ε
Πρόβλημ' ἀλίκλυστον, ἄκραν
Ὑπὸ πλάκα Σηνίδ,
Τὰς ἱερὰς ὅπως προσεί-
ποιμεν Ἀθάνας!

ΙΑΜΒΟΙ.

ΤΕΥ. Καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρα]ηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον.

* Aldus, Καὶ πρὶν ἐννυχίου.

μέρος. Δέον δὲ λυγρῶς εἰπεῖν, πρὸς τὸ κύμας ἐπήνεγκεν.

1229. Πρὶν μὲν ἔν] ὕπω χρὴ γράφειν, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς. Τὸ γὰρ καὶ πρὶν μὲν οὐκ ὀρθῶς ἔχει τὰς χρόνους.

Ib. Πρὶν μὲν ἔν] καὶ πρότερον μὲν ἦν ἐμοὶ ὁ θήριος Αἴας προβολὴ τῷ νυκτερινῷ δείματος καὶ τῶν βελέων, ἤγουν, τῷ πολέμῳ.

Ib. Ἐννυχίῳ] τῆς νυκτερινῆς ἐφόδου τῶν πολεμίων, καὶ τῶν βελῶν ἀλεξητήριον ἦν ὁ Αἴας.

1234. Γενοίμαν ἵν' ὑλᾶεν] ἔνθα ὑλώδης ἔξοχὴ τῆς θαλάττης. Εὔχονται δὲ ἀπαλλαγῆναι ἐκεῖ τὰ οἰκεῖα. Γενοίμην ἔν (φασὶν) ἐπὶ τὴν ἄκραν πλάκα τῶν Σηνίων. Διὰ γὰρ Σηνίου ὁ πλοῦς τοῖς ἀπὸ Τροίας ἐπὶ Σαλαμῖνα. Τὸ δὲ ὅλον, εἴθε γενοίμην ὅπου ἐστὶ τῶν πόντου τὸ σύνδενδρον ἀκρωτήριον, τὸ κλυζόμενον ὑπὸ τῆς ἁλὸς, λέγω, ὑπὸ τὴν ἄκραν πλάκα, ἤγουν, γῆν τοῦ Σηνίου· ἀντὶ τοῦ, ὑπὸ τὸ ἄκρον τῆς γῆς τοῦ Σηνίου.

1238. Τὰς ἱερὰς] φιλοτέχνως εὐφραίνει τὰς ἀκροωμένας διὰ τῶν ἐπαίνων τῆς Ἀττικῆς.

1240. Καὶ μὴν] τίνα Τεῦκρος πρὸς τὸν υἱὸν Αἴαντα ἔφη.

Ib. Καὶ μὴν ἰδὼν] Τεῦκρος ἀκηκοὼς ἦκεν τὸν Ἀγαμέμνονα, ἔρχεται μετὰ σπουδῆς.

Ib. Καὶ μὴν] Ὥσπερ ἂν εἴτις ἤρετο τὸν Τεῦκρον, τί ὕστω πάρει ταχέως, ἀποκρίνεται, λέγων. Καὶ μὴν ἰδὼν τὸν στρατηλάτην Ἀγαμέμνονα ὁρμώμενον δεῦρο ἡμῖν, ἔσπευσα, καὶ ἦλθον, καταλιπὼν ἐνλογότι τὴν διερυγὴν τῆ τάφρ. Ἐκλύσων δὲ αὐτὸς ὁ Ἀγαμέμνων τὸ σκυλὸν αὐτῷ σόμα κατ' ἐμῶ δηλός ἐστιν ἐμοὶ, ὅτι αὐτός ἐστι, καὶ οὐκ ἄλλος ἐνλογότι.

Ib. Ἔσπευσα τὸν στρατηλάτην] ἐσπούδασα ἐλθεῖν ἐνταῦθα παρὰ τὸν Αἴαντα, καὶ αἴφνης τὴν τῆ τάφρ διορυγὴν· πρὸς τοῦτο γὰρ ἐστὶ τὸ, καὶ μὴν, ἔμφασιν ἔχον, ὥσπερ ἂν εἴτις αὐτὸν ἤρετο, τί ὕστω πάρει ταχέως.

1242. Σκυλὸν

Δῆλος δέ μοι ἐσὶ σκαιὸν ἐκλύσων σόμα.
ΑΓΑ. Σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλεσί μοι.
Τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκ]εὶ χανεῖν;
Σέ τοι τὸν ἐκ τῆς αἰχμαλώτιδος λέγω·
Ἦπε τραφεὶς ἂν μη]ρὸς εὐγενὲς ἄπο,
Ὑψήλ' ἐκόμπεις, * κἀπ' ἄκρων ὠδοιπόρεις,
Ὅτ' ἀδὲν ὢν, τῷ μηδὲν ἀντέσης ὕπερ,
Κἄτε σρα]ηγὸς, ἄτε ναυάρχας μολεῖν
Ἡμᾶς Ἀχαιῶν, ἄτε σὲ, διωμόσω,
Ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φῄς, Αἴας ἔπλει.
Ταῦτ' ἐκ ἀκύειν μεγάλα πρὸς δύλων κακά;
Ποίᾳ κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
Πῷ βάντος, ἢ πῷ σάν]ος, ἔπερ ἐκ ἐγώ;
Οὐκ ἆρ' Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε;
Πικρὸς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
Ἀγῶνας Ἀργείοισι κηρύξαι τότε,
Εἰ πανλαχῇ φανοίμεθ' ἐκ Τεύκρου κακοί.

* Ald. Turn. in marg. Ὑψήλ' ἐφάπτεις.

1242. Σκαιὸν σόμα] σκαιὸς λόγος, ἤγουν ψευδὴς· σκαιὸν γὰρ καὶ τὸ κακὸν, καὶ τὸ ἀναίδεντον, καὶ τὸ ἀριςερόν.

1243. Σὲ δὴ τὰ] πρότασις. Ἔςι δὲ καὶ ἐνταῦθα Ἀγαμέμνονος ἀφιξις διυποπεσόντος κατὰ τῷ Τεύκρῳ.

Ib. Σὲ-δὴ] σὲ δὴ ἀγγέλλουσιν ἐμοὶ, τολμῆσαι εἰπεῖν καθ' ἡμῶν ἃ ἀνομώκτα τὰ χαλεπὰ ῥήματα.

1244. Τλῆναι] τολμῆσαι.

Ib. Ἀνοιμωκτεὶ] χωρὶς οἰμωγῆς, ἀτιμωρητί.

1245. Αἰχμαλώτιδος] τῆς Ἡσιόνης.

1246. Ἦπε τραφεὶς] κατασκευή.

1247. Κἀπ' ἄκρων] ἐπ' ἄκρων ἐκκτύλων ἴδιαις γαυριῶν.

1248. Ὅτ' ἀδὲν ὢν] ἤγουν, ὅτε ἀδαμαντὸς ὢν, ὡς συγγενὴς τῷ τεθνηκότος ὠκτιτάξω.

Ib. Ὅτ' ἀδὲν ὢν] ἀδὲν μὲν ὢν, διὰ τὴν δυσγένειαν· τῷ μηδὲν δὲ, τῷ Αἴαντος σωθέντος.

1250. Διωμόσω] γράφεται καὶ διωρίσω.

1252. Ταῦτ' ἐκ] βάσις.

Ib. Ταῦτ' ἐκ] ἄλλως· ταῦτα οὐχὶ μεγάλα κακὰ εἰσὶν, ὥςε παρὰ τῶν δύλων φεύειν;

1253. Ποίᾳ κέκραγας] ἔγκασις.

1255. Οὐκ ἆρ'] ἄρα ἐδόξαμεν τοῖς Ἀργείοις κηρύξαι τότε πικρὸς ἀγῶνας, ἵνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ πανταχῇ φανήμεθα κακοὶ ἐκ τῶν λόγων τῷ Τεύκρου. Τοιτέςι, ἆρα ἐδόξαμεν τότε τοῖς Ἕλλησι ἀποφῆναι πικρὰς, ἤγουν, ἀδίκους ἀποφάσεις ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ φανήμεθα, ἤγουν, ἐλεγξόμεθα πανταχῇ κακοὶ, τοιτέςιν ἀδικεῖ, ἐκ τῶν λόγων τῷ Τεύκρου.

1256. Πικρὸς ἔοιγμεν] ἐνθύμημα, καὶ ἐργασία ἀπὸ τῷ πράγματος.

Ib. Πικρὸς] ἀντὶ τῷ, πικροποιὸς, εἰς πικρίαν

Κἀκ ἀρκέσει πόθ' ὑμῖν, ὀδ' ἠσσημένοις,
Εἴκειν, ἃ τοῖς πολλοῖσιν ἤρεσκε κριταῖς·
Ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτε πᾶν,
Ἢ σὺν δόλῳ κεντήσεσθ' οἱ λελειμμένοι·
" Ἐκ τῶνδε μέλλοι τῶν τρόπων ἐκ ἂν πόλε
" Κατάστασις γένοιτ' ἂν ὀδενὸς νόμῳ,
" Εἰ τὸς δίκῃ νικῶντας ἐξωθήσομεν,
" Καὶ τὸς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
" Ἀλλ' εἰρκτέον τάδ' ἐστίν. Οὐ γὰρ οἱ πλαθεῖς
" Οὐδ' εὐρύνωποι φῶτες ἀσφαλέσθαι·
" Ἀλλ' οἱ φρονοῦντες εὖ, κρατοῦσι πανθαχοῦ.
" Μέγας δὲ πλευρὰς βοῦς ὑπὸ σμικρᾶς ὅμως
" Μάσιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται."
Καί σοι προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον

κρίαν ἡμῶν. Πικρὸς ἀγῶνας ἐοίκαμεν κηρύξαι τοῖς Ἀργείοις τότε, ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ σανταχῇ φανοίμεθα κακοὶ ἐκ Τεύκρου.

Ib. Πικρὸς ἐοῦγμεν] εἶκω τὸ πρίπω, εἶξω, εἶχα, ὁ μέσος παρακείμενος οἶκα· καὶ προσθήκῃ τοῦ ι, ἔοικα, ἐοίκαμεν, καὶ κατὰ συγκοπὴν ἔοιγμεν· καὶ τροπῇ τοῦ κ εἰς τὸ μέσον γ, ἔοιγμεν.

1259. Κἀκ ἀρκέσει] ἐκ ἀρκέσει ποτὲ ὑμῖν, ὀδ' ἡτ[ημ]ένοις, εἶκειν καὶ σ[ύ]ρξειν ἐκεῖνα ἅπτινα ἤρεσκον τοῖς πολλοῖς κριταῖς, ἀλλ' αἰὲι ὑμεῖς οἱ λελειμμένοι, ἢ κακοῖς λόγοις βαλεῖτε ἡμᾶς, ἢ σὺν δόλῳ κεντήσετε. ἀπορῶσι τινὲς λέγοντες, τίς ἡ αἰτία ὅτι ἐκ εἶπεν, βάλλετε καὶ κεντεῖτε, ἀλλὰ βαλεῖτε καὶ κεντήσετε. Καὶ λέγομεν, ὅτι τὸ αἰὲι μὲν εἶπε, διὰ τὴν ἄπαυστον ἐπίθεσιν, διὰ δὲ τὸ μηδέπω δεδυνῆσθαι ἐκβαλεῖν τὴν ἐπιβολὴν εἰς ἔργον, τὸ βαλεῖτε καὶ τὸ κεντήσετε εἴρηκεν.

1260. Εἴκειν] ἐκ εἴξετε καὶ ἐμμενεῖτε τοῖς κεκριμένοις.

Ib. Πολλοῖσι] πιθανῶς.

1261. Κακοῖς] ὀνειδισμοῖς λόγοις.

Ib. Βαλεῖτε] ἀντὶ τοῦ βλασφημήσετε.

1262. Οἱ λελειμμένοι] οἱ ἡττηθέντες ἐν τῇ κρίσει· τοῦτο δὲ πρὸς τὴν ἐπιχείρησιν τοῦ Αἴαντος.

1263. Ἐκ τῶνδε] γνωμικόν.

1264. Κατάστασις] ἦγον, εὐταξία. Εὐταξία δὲ νόμων, ἢν καὶ νόμος ποιεῖ.

Ib. Κατάστασις γένοιτ' ἂν] γνναῖος ὁ λόγος, εἰ ὁ ἡττώμενος ἰδίῳ δικαίῳ παρεισαγόμενος, πάλιν μάχοιτο, καὶ ἐκ εἴξει τοῖς κεκριμένοις, ὠδέποτε κατάστασις ἔσται.

1266. Τὸς ὄπισθεν] τὸς ἡττωμένους. Ἔστι δὲ ἀπὸ μεταφορᾶς τῶν ἀρομένων.

1267. Ἀλλ' εἰρκτέον] δεῖ (φησὶν) ἐμμένειν τοῖς ἅπαξ κεκριμένοις. Ἐπειδὴ δὲ αὐτῷ τὴν κατὰ σῶμα ἀρετὴν καὶ ἰσχὺν διαβάλλειν ἐ δύναται, εἰς ἀφροσύνην αὐτὸν λοιδορεῖ.

Ib. Ἀλλ' εἰρκτέον] σημείωσαι ὅτι τὸ ὑργὰ ἀμφιβολίαν ἔχει τῷ πνεύματος· δύναται γὰρ καὶ φιλεῖσθαι καὶ ἐασύνεσθαι.

1269. Ἀλλ' οἱ φρονοῦντες εὖ] ἦγον, οἱ φρόνιμοι κρατοῦσιν. Καὶ πρὸς τοῦτο ἐπάγεται τὸ, μέγας δὲ βοῦς ὢν τὴν πλευρὰν, καὶ τὸ ἑξῆς.

1271. Ὀρθὸς] ἦγον, κατ' εὐθεῖαν εἰς τὴν ὁδὸν πορεύεται, ἢ παρακλίνων.

1272. Τοῦτ' ἐγὼ τὸ φάρμακον] τὸ τῆς μάσιγος.

Ib. Τοῦτ' ἐγὼ τὸ φάρμακον] ἀντὶ τοῦ, ταύτην τὴν θεραπείαν. Τουτέστι, τὴν τοῦ κέντρου.

1274. Ἀλλ'

Ὁρῶ τάχ', εἰ μὴ νῶν καλακλήσῃ τινά·
Ὃς ἀνδρὸς ἐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
Θαρσῶν ὑβρίζεις, κἀξελευθεροστομεῖς.
Οὐ σωφρονήσεις; ἐκ μαθὼν ὃς εἶ φύσιν,
Ἄλλόν τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
Ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
Σοῦ γὰρ λέγοντος ἐκέτ' ἂν μάθοιμ' ἐγώ.
Τὴν βάρβαρον γὰρ γλῶσσαν ἐκ ἐπαΐω.
ΧΟΡ. Εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
Τοῦτο γὰρ ἐδὲν σφῶιν ἔχω λῷον φράσαι.
ΤΕΥ. "Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
"Χάρις διαῤῥεῖ, καὶ προδοῦσ' ἁλίσκεται!"
Εἰ σοῦ γ' ὅδ' ἀνὴρ ἐδ' ἐπὶ σμικρῶν * πόνων,
Αἴας ἔτ' ἴσχει μνῆσιν, ἣ σὺ πολλάκις

* Ald Turn. in marg. σμικρῶν λόγων, rectè.

1274. Ἀλλ' ἤδη σκιᾶς] ὑπὲρ ἀνδρὸς οὐκ ἔτι ζῶντος, ἀλλὰ ὄντος σκιᾶς, τυτίζιν, φησὶ, τοιούτου.

1277. Ἄλλον ἐλεύθερον] νόμος ἦν, τοὺς ἐξ ἑταίρας καὶ διαλελυμένης τεχθέντας μὴ δημηγορεῖν.

1280. Τὴν βάρβαρον γὰρ γλῶσσαν] σκώπτει αὐτὸν εἰς τὴν μητέρα.

1281. Εἴθ' ὑμῖν] ἐπεὶ δ' συμβουλεύει διὰ τὸ Ἀγαμέμνονος ἀξίωμα ὁ χορὸς, ἐν τῇ εὐχῇ τὴν γνώμην κατέθηκε.

1282. Τοῦτο γὰρ] Τυτίζι, τοῦτο γὰρ τὸ λόγῳ, οὐκ ἔχω ἄλλο λῷον φράσαι ὑμῖν.

1283. Φεῦ, τοῦ θανόντος] γνωμικὸν. Ἔοικε δὲ ἐνταῦθα καὶ προκατάσεως μετὰ σχετλιασμοῦ.

Ib. Φεῦ, τοῦ θανόντος] περιπαθὴς ὁ λόγος, εἰς ἀχαριστίαν ἐκβαίνων, ὅτι ταχεῖα διαῤῥεῖ ἡ χάρις τοῦ ἀποθανόντος.

Ib. Ταχεῖά τις] τὸ μὲν τί ζητεῖ οὐσίαν πράγματος, οἷον, τί τόδ' ἐστίν; ἄνθρωπος τυχὸν, ἢ ἵππος. Τὸ δὲ τίς, ὑπόστασιν, καὶ πρόσωπον, οἷον, τίς ὧδε ἐστί; Σωκράτης τυχὸν ἢ Πλάτων. Καὶ, τίς, φῦλα ὡς ἀνδρῶν; ἐν τούτῳ γὰρ ὁ ἐρωτῶν, εἶδε μὲν ὅτι ἀνὴρ, πρὸς ὃν τὴν ἐρώτησιν ποιεῖται, ζητεῖ δὲ τοῦνομα, ᾧ ἂν ὄντος τῶν ἄλλων ἀνδρῶν χωρίζωτο. Ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾷ κύριον, ἀλλὰ καὶ σὺν ἐπιθέτῳ ἐνίοτε κύριον (οἷον τίς ὧδ' ἐστίν; ὁ ἡδὺς Λυκιανὸς) διὰ τοῦτο οὐκ ὀνόματι μόνον κυρίῳ ὑποτάσσεται τὸ τίς, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιθέτῳ. Οἷον, Λυκιανός τις ἐπείνασε τάδε. Καὶ, ὁ Λυκιανὸς, ἡδύς τίς ἐστιν. Ἐντεῦθεν οὖν ἡ χάρις ὡς ἐπίθετον ἔχει τὸ ταχεῖα ὄνομα, εἰ καὶ ἄλλως τοῦτο ἐπιῤῥηματικὴν ἔχει σημασίαν, διὸ μετὰ τοῦ τίς αὐτὸ ἐπάγεται, καὶ ταχεῖά τις αὕτη λέγεται διαῤῥεῖν· κατὰ ταυτὰ λέγεται καὶ τὸ ὁποῖός τις, ἐπὶ ἐπιθέτου, ὡς παρὰ Λυκιανῷ. Τὸ δὲ ἄλλο, οἱ δήμιοι οὐκ ἐξετάζοντες τίς ἐστιν ὁ τοῖς πράγμασιν ἐφεστηκὼς, εἴτε καλὸς δηλαδὴ, εἴτε τὸ ἐναντίον· ἅπερ ἐπιθετικῶς λέγεται.

1284. Προδοῦσα] ἀντὶ τοῦ προδιδομένη καταλαμβάνεται.

1285. Εἰ σοῦ γ' ὅδ' ἀνὴρ] εἰ σοῦ γε, ὦ Αἶας, ὅδε ὁ ἀνὴρ οὐκ ἔστι ἔχει μνήμην.

1286. Οὗ σὺ πολλάκις] οὐκ ἀξίωται τῆς παρὰ σοῦ μνήμης, ἣ πολλάκις, ὦ Αἶας, προ-

Τὴν σὴν προλείνων πρὸκαμες ψυχὴν δορί.
Ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐῤῥιμμένα.
Ὦ πολλὰ λέξας ἄρτι καὶνόνητ' ἔπη,
Οὐ μνημονεύεις ὐκέτ' ὄδεν, ἡνίκα
Ἑρκέων παθ' ὑμᾶς ὅτος ἐγκεκλεισμένος,
Ἤδη τὸ μηδὲν ὄντας ἐν τροπῇ δορὸς
Ἐῤῥύσατ' ἐλθὼν μόνος· ἀμφὶ μὲν νεῶν
Ἀκροισιν ἤδη ναυλικοῖς ἑδωλίοις
Πυρὸς Φλέγονλος, εἰς δὲ ναυλικὰ σκάφη
Πηδῶνλος ἄρδην Ἕκλορος τάφρων ὕπερ;
Τίς ταῦτ' ἀπεῖρξεν; ὐχ ὅδ' ἦν ὁ δρῶν τάδε,
Ὃν ὐδαμοῦ φὴς ὐδὲ συμβῆναι πόδι;
Ἆρ' ὑμῖν ὅτος ταῦτ' ἔδρασεν ἔνδικα;
Χὤτ' αὖθις αὐτὸς Ἕκλορος μόνος μόνῳ

μνηδυνεύσας ἐν πολλοῖς. Παρὰ τὸ Ὁμηρικὸν, Ἀλλά μ' ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζων.

1289. Ὦ πολλὰ λέξας] ἀποστροφὴ τὸ σχῆμα πρὸς τὸν Ἀγαμέμνονα. Ὦ σὺ Ἀγάμεμνον, ὁ λέξας ἄρτι πολλὰ ἔπη καὶ ἀνόνητα, ὁ μνημονεύεις ὐκέτι ὄδεν, ἡνίκα ποτὲ μόνος αὐτὸς ὁ Αἴας ἐλθὼν ἐῤῥύσατο ὑμᾶς ἐγκεκλεισμένους ἐντὸς τῶν ἐρκίων, ὄντας ἤδη τὸ μηδὲν ἐν τῇ ἐυνάμει τῶ ὀρός. Καὶ πάλιν ἡνίκα τῷ πυρὸς καίσθαι ἐπὶ τοῖς ἄκροις καθίσμασι τοῖς ναυτικοῖς τῶν νηῶν, καὶ τῷ Ἕκλορος πηδῶνλος ἄρδην ὑπὲρ τῶν τάφρων εἰς τὰ ναυτικὰ σκάφη, τίς ταῦτα ἀπεῖρξεν; ὐχ ἦν ὅτος ὁ δράσας ταῦτα, ὃν λέγεις ἐν ὐδενὶ τόπῳ συνελθεῖν ἐν ὅτῳ μετὰ σᾶ μηδέποτε;

1290. Οὐ μνημονεύεις] καλῶς, πρὸς τὸ, ᾧ βάντος, ἢ ᾧ σάντος, ὅπερ ὐκ ἐγώ.

1291. Ἑρκέων] λείπει ἐντός.

Ib. Ἐγκεκλεισμένος] ἡ ἐν ἀντὶ τῷ ἐντὸς, ἵν' ᾖ ἐντὸς κεκλεισμένος.

1292. Ἐν τροπῇ δορὸς] ἐν ἥττῃ τῷ πολέμου. Τρόπαιον, ἡ νίκη· τροπὴ δὲ, ἡ ἧττα. Τρόπαιον, ἐπὶ τῶν διωκόντων· τροπὴ, ἐπὶ τῶν ἐωκότων.

1294. Ἀκροισιν ἤδη] ἐπὶ μὲν τοῖς ἄκροις ναυλικοῖς ἑδωλίοις τῶν νεῶν, ἦγον, ὑπαγορώμασι, σανιδώμασι, τὸ πυρὸς ἤδη ἀναπλομένου καὶ ἀναφλεγομένου.

1296. Ἆρδην] αἶρω, τὸ ἀφανίζω καὶ τὸ ὑψῶ. ἀρ' ὃ ἄρδην, ἀντὶ τοῦ μετεώρως καὶ κύφως, ὡς ἐνταῦθα, καὶ ἀντὶ τοῦ ἀφανιστικῶς καὶ ὁμοῦ.

1298. Οὐδὲ συμβῆναι πόδι] πρὸς τὸ τῷ βάντος, ἢ τῷ σάντος. Συμβῆναι δὲ ἀντὶ τοῦ συνελθεῖν, ἐνταῦθα. Βαίκω γὰρ τὸ πορεύομαι, καὶ τὸ ἵσαμαι, ἀφ' ὃ βάσις ἀνδριάντος.

Ib. Ὃν ὐδαμοῦ φὴς] φασὶν ἐνταῦθα, ὡς συκοφαντεῖ Τεῦκρος Ἀγαμέμνονα. ὁ γὰρ ἐν τοῖς πρόσθεν αὐτῷ λόγοις πρὸς τοῦτον τοιοῦτόν τι εἰρηται. ἀλλ' ἔρη, τῷ βάντος, ἢ τῷ σάντος, ὅπερ ὐκ ἐγώ; φαμὲν ὅτι ὥσπερ κατὰ τὰς ἰριδας συμβαίνει προφέρειν ἴσθ' ὅτι τὸν ἀντίδικον ἀπολογούμενον τῷ προηγμένῳ τῆς δίκης τοιαῦτα ὦ ὐδέποτ' αὐτὸς ἐφθέγξατο, ὕτω κἀνταῦθα.

1299. Ἆρ' ἔνδικα] ἦγον, δικαίως ταῦτα ἔδρασεν, ἦγον, ἔπαθεν, ὑμῖν τοῖς ἀχαρίστοις, ἦγον, ὑφ' ὑμῶν τῶν ἀχαρίστων.

1300. Χὤτ'] ἦγον, ὦ μνημονεύτας, καὶ ὅτε αὖθις αὐτὸς λοιχών τε, ἦγον, κληρωθεὶς, καὶ ἀχίλευστος, τετέχνη αὐθόρμητος, ὁ πεπιμένων τὸν προσάξαντα, ἦλθε μόνος ἀγλίος, ἦτον, ἐναντ-

φίος

Λαχών τε κἀκέλευστος ἦλθεν ἀντίος*,
Οὐ δραπέτην τὸν κλῆρον εἰς μέσον καθεὶς
Ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφῳ
Κυνῆς ἔμελλε πρῶτος ἅλμα κεφιεῖν;
Ὃδ' ἦν ὁ πρᾶσσων ταῦτα· σὺν δ' ἐγὼ παρὼν
Ὁ δᾶλος, ἐκ τῆς βαρβάρου μητρὸς γεγώς.
Δύσηνε, πῶς βλέπων πότ' αὐτὰ καὶ θροεῖς;
Οὐκ οἶσθα, σὲ πατρὸς μὲν ὃς πρόφυ πατήρ,
Ἀρχαῖον ὄντα Πέλοπα, βάρβαρον Φρύγα;
Ἀτρέα δ', ὃς αὖ σ' ἔσπειρε δυσσεβέσταον,
Προθέντ' ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;

* Aldus, ἦλθ' ἐναντίος.

ἅτις μάτος τοῦ Ἕκτορος, ἀντὶ τοῦ ἐμονομάχησε μετὰ τοῦ Ἕκτορος.

1301. Δαχών τε] ἔγων, κληρωθείς, ἀφ' οὗ λαγχάνος ὁ κλῆρος, ποιητικῶς.

Ib. Κἀκέλευστος ἦλθεν ἐναντίος] αὐτοκέλευστον φησὶν αὐτὸν ἀναφῆναι εἰς τὸ μονομάχιον, ἐπαινῶν αὐτὸν ὑπ' Ὁμήρικῶς.

1302. Οὐ δραπέτην τὸν κλῆρον] τουτέστιν, οὐδὲ παπαιρήσας περὶ τὸν κλῆρον, οὐδὲ καταβαλὼν αὐτὸν τὸν κλῆρον, λέγω, τὸν βῶλον τῆς ὑγρᾶς ἀρόσεως ἐπιτήδειον εἰς τὸ διαφυγεῖν μὴ πολεμῆσαι. Οὐ καταβαλὼν τὸν κλῆρον λέγω, ὃν τὸν βῶλον τῆς ὑγρᾶς ἀρόσεως ἀραπέτην ἢ τὸ μέσον τῆς κυνῆς τῆς εὐλόφου, ἵνα ἀπλοῦτι φύγῃ μονομαχήσαι τῷ Ἕκτορι. Ἀλλ' αὐτὸς ὁ κλῆρος ἔμελλε πρῶτος κεφιεῖν καὶ πηδῆσαι ἅλμα καὶ πήδημα ἀπὸ τῆς εὐλόφου κυνῆς. Ἤγουν, κατέβαλεν αὐτὸν τὸν κλῆρον εἰς τὸ μέσον τῆς κυνῆς ὥστε ἐπιτήδειος ὢν κεφιεῖν ἅλμα ἀπὸ τῆς κυνῆς, πρῶτα τῶν ἄλλων κλήρων, τοσαύτην ἐπιθυμίαν ἔχων μονομαχῆσαι τῷ Ἕκτορι. Ἰσέον ὅτι διὰ πηλοῦ ἐπλάστου γρογύλοειδῆ τινα, καὶ ἐξήμανεν αὐτὰ ἡλιακῷ καύματι, καὶ ἔποιν τοὺς κλήρους δι' αὐτῶν. Ἐλένι τῷ μάντεως υἱῷ τῷ Πριάμου συμβαλεύσαντος, ὁ Ἕκτωρ προκαλεῖται εἰς μονομαχίαν, τὸν ἄριστον τῶν Ἑλλήνων. πολλῶν δὲ προαιρεμένων, Αἴας ὁ Τελαμώνιος ἐκληρώθη ἅπαξ γὰρ τῶν προαιρεμένων ἐσημειώσαντο κλῆρον, καὶ ἔβαλλεν ἐν τῇ περικεφαλαίᾳ τὸ Ἀγαμέμνονος. Εἶτα εἶπεν τῷ Νίστορι σῖσαι τὸν περικεφάλαιον. Καὶ ὅπερ ὁ κλῆρος περισείεται πρῶτος, αὐτὸς ἐλθέτω μονομαχῆσαι τῷ Ἕκτορι. σείσαντος δὲ τοῦ Νίστορος, ἐπῆρεν ὁ κλῆρος τοῦ Αἴαντος πρῶτος. Διότι ὁ κατέβαλεν αὐτὸν ὁ Αἴας εἰς μέσον τῆς περικεφαλαίας, ἵνα φύγῃ μὴ μονομαχῆσαι τῷ Ἕκτορι, ἀλλὰ μᾶλλον τέθεικεν ὥστε ἐπιτήδειον, ὥπως πρῶτος ἐκπηδήσῃ τῆς περικεφαλαίας.

1303. Ἀρούρας] ἤγουν, ἱροτριασμένης γῆς· χέρσος γὰρ ἡ ἔτι γῆ. Ἄρουρα ἡ ἱροτριασμένη· λέγει, τὸ ἔχον ἀσάχνας χωράφιον.

Ib. Ἀλλ' ὃς εὐλόφου] ὅτις κλῆρος ἐκ τῆς εὐλόφου κυνῆς ἔμελλε πρῶτος κεφιεῖν τὸ ἅλμα τοῦ Αἴαντος.

1304. Ἅλμα] πήδημα· ἅλμα, πάλμα, καὶ πήδημα, ταυτόν.

1306. Ὁ δᾶλος] ὅρα ἐνταῦθα μικρολογίαν τῆς ἀτίμου λοιδορίας, ἵνα καὶ μᾶλλον ἐπισκώψῃ τὸν Ἀγαμέμνονα, καὶ δικαίας ἐλέγχῃ.

1307. Πῆ βλέπων] ἤγουν, ἀφορῶν· ἦγον, εἰς ποίαν εὐγένειαν σὺν ἀφορῶν ταῦτα λέγεις;

1308. Οὐκ οἶσθα] ἐρώτησις μετ' ἐπιπλήξεως καὶ ἐτυμολίας.

Ib. Οὐκ οἶσθα, σὲ πατρὸς] εἰκότως καὶ αὐτὸς τὰ ὅμοια ἐξύβριζεν. Ἓν δὲ ἦτων Ἀγαμέμνων, μυρία ἔπασχεν.

1309. Πέλοπα βάρβαρον] Τάνταλος ὁ τοῦ Πέλοπος πατὴρ ἐκ Φρυγίας ἦν· πολέμων δ' ἐπισυλὰς αὐτῷ, μιᾶλ χρημάτων πέμπει Πέλοπα πρὸς Ἑλλάδα κινδυνεύων τῆς ἀρχῆς ἐκπεσεῖν.

1311. Οἰκείων τέκνων] μὴ λάβῃς εἰς τὸ τέ-

Αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ' ᾗ
Λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φυτεύσας πατὴρ,
Ἔφηκεν ἄλλοις ἰχθύσιν διαφθοράν.
Τοιοῦτος ὢν, τοιῷδ' ὀνειδίζεις σποράν;
Ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγὼς,
Ὅσις στρατῷ τὰ πρῶτ' ἀριστεύσας, ἐμὴν
Ἴσχει ξύνευνον μητέρ'· ἣ φύσει μὲν ἦν
Βασίλεια, Λαομέδοντος· ἔκκριτον δέ νιν
Δώρημα κείνῳ δῶκεν Ἀλκμήνης τόκος *.
Ἆρ' ὢδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν
Βλαστὼν ἂν αἰσχύνοιμί τοὺς πρὸς αἵματος,
Οὓς νῦν σὺ τοιοῖσδ' ἐν πόνοισι κειμένους

* Ald. Turn. in marg. Ἀλκμήνης γόνος.

πᾶν ἔξωθεν τὸ ἀπὸ, ὡς τινες τῶν ἀμαθῶν, ἀλλ' ὅτι λέγει, προθέντα τῷ ἀδελφῷ δεῖπνον τῶν οἰκείων τέκνων· τὸ γὰρ δεῖπνον οὐκ ἄλλο τινὸς ἦν δεῖπνον (ἰχθύος λέγω, ἢ ὄρνιθος) ἀλλὰ τῶν οἰκείων τέκνων· ὥσπερ γάρ φαμεν, βρῶσιν ἰχθύος, καὶ πόσιν οἴνου, οὕτω καὶ δεῖπνον τέκνων, ἢ ἄλλων, ὧν εἶποις.

1312. Αὐτὸς δὲ μητρὸς] οὐχ ὡς βαρβάρων τῶν Κρητῶν ὄντων, ὀνειδίζει αὐτῷ τὸ περὶ τῆς μητρὸς, ἀλλ' οἷον, ἐξ ἀλλοφύλων γέγονί σου τὸ γένος.

1313. Ὁ φυτεύσας πατὴρ] φυτεύειν, τὸ τῇ γῇ φυτὸν ἐντιθέναι, ν ψιλὸν τὸ φυ, καὶ βραχύ· φιτύειν τὸ σπείρειν, ποιητικῶς· ὁ παράγεται ἀπὸ τοῦ φῖτυς, ὁ πατὴρ, ι καὶ μακρόν. Ὃ καὶ ἐνταῦθα τῷ ποιητῇ τέτακται, τοῖς δ' ὕστερον ἡμαρτήθη.

1314. Ἔφηκεν ἄλλοις] ἄτοι, ἀφῆκεν. Ἡ ἱστορία ἐν ταῖς Κρήσσαις Εὐριπίδου, ὅτι διαφθαρεῖσαν αὐτὴν λάθρα ὑπὸ Θεράποντος, ὁ πατὴρ Ναυπλίῳ παρέδωκεν, ἐντειλάμενος ἀποπνίξαι· ὁ δὲ ἐκ ἐποίησεν, ἀλλ' ἐνεγγύησε Πλεισθένει.

1315. Τοιοῦτος ὢν] σὺ, ὢν τοιοῦτος, ὀνειδίζεις ἐμοὶ τῷ ὄντι τοιῷδε τῶν σπερμάτων, ὅσις ἐγώ εἰμι γεγὼς, ἀντὶ τοῦ ἐγεννήθην, ἐκ πατρὸς τοῦ Τελαμῶνος. Ὅσις Τελαμῶν ἀριστεύσας ἔλαβε τὰ πρῶτα τῆς στρατοῦ. Λέγω δὲ, ἔλαβε σύνευνον τὴν ἐμὴν μητέρα τὴν Ἡσιόνην. Ἡ τις ἦν μὲν βασίλεια τῇ φύσει, δυγάτης ὀκλονότι τοῦ Λαομέδοντος. ὁ γόνος δὲ τῆς Ἀλκμήνης ὁ Ἡρακλῆς ἔδωκεν ἐκείνῳ μοι τῷ πατρὶ ἐκείνην τὴν μητέρα μου, ἔκκριτον δώρημα. Ἆρα γεννηθεὶς ἐγὼ οὕτως ἄριστος ἐκ δυοῖν ἀρίστων, ἦγον, ἐκ Τελαμῶνος καὶ Ἡσιόνης, τάχ' ἂν αἰσχύνοιμι τοὺς ἰδίους τῷ γένους, τοιούτοις τὸν Αἴαντα, ὄντινα Αἴαντα κείμενον ἐν πόνοις τοιοῖσδε ἀποδιώκεις ἄθαπτον, οὐδὲ ἐπαισχύνῃ λέγων τοιοῦτον λόγον ὀνλονότι.

1316. Ὃς ἐκ πατρὸς] αὔξησις, καὶ σεμνολογία τῶν καθ' αὐτόν.

1317. Ὅσις στρατῷ] ἦγον, τὰς τῆς πρώτης μοίρας ἀνδραγαθίας.

1318. Ἡ φύσει μὲν ἦν βασίλεια] ἀπασκευάζει τὰ εἰρημένα περὶ συγγενείας αὐτοῦ. φύσιν δὲ ἐπὶ γένους λέγεται κυρίως. Ἐπὶ δὲ τῶν υἱοθετημένων τὸ θέσει· καὶ ἀπὸ τούτων μετάγεται ταῦτα καὶ ἐφ' ἕτερα.

1322. Τοὺς πρὸς αἵματος] τοὺς συγγενεῖς. ἴσως εἰκιλικῶς ὡς τὸν Αἴαντα, ἵν' ᾖ πορπαθὴς ἡ λέξις.

1324. Ὠθεῖ

Ὠθεῖς ἀθάπ]ους, ὃδ' ἐπαισχύνῃ λέγων;
Εὖ νῦν τόδ' ἴσθι, τῦτον εἰ βαλεῖτέ πω,
Βαλεῖτε χ' ἡμᾶς τρεῖς ὁμῦ συγκειμένους·
Ἐπεὶ καλόν μοι τῦδ' ὑπερπονεμένῳ
Θανεῖν προδήλως μᾶλλον, ἢ τῆς σῆς ὕπερ
Γυναικὸς, ἢ τῦ σῦ θ' ὁμαίμονος λέγω.
Πρὸς ταῦθ', ὅρα μὴ τὲμὸν, ἀλλὰ καὶ τὸ σόν·
Ὡς εἴ με πημανεῖς τι, βυλήσῃ ποτὲ
Καὶ δειλὸς εἶναι μᾶλλον, ἢ 'ν ἐμοὶ θρασύς.
ΧΟΡ. Ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ' ἐληλυθὼς,

1324. Ὠθεῖς ἀθάπτους] πιθανῶς πάλιν εἰσβάλλει εἰς τὸν λόγον τῦ δράματος.

1325. Εὖ νῦν τόδ'] ἐνθύμημα μετὰ ἀπειλῆς.

Ib. Εὖ νῦν τόδ'] καλῶς, νῦν τῦτο γίνωσκε, ὅτι εἰ τῦτον τὸν Αἴαντα βαλεῖτε πῶ, βαλεῖτε καὶ ἡμᾶς, ἤγουν ἐμὲ καὶ σαυτὸν, καὶ τὸν Μενέλαον, τρεῖς ὁμῦ συγκειμένους. Ἐπεὶ καλόν μοι ἐστὶ θανεῖν μᾶλλον προδήλως πονημένῳ ὑπὲρ τῦ Αἴαντος, ἢ θανεῖν ὑπὲρ τῆς σῆς γυναικὸς, ὦ Μενέλαε, ἢ ὑπὲρ τῦ σῦ ἀδελφῦ.

1326. Βαλεῖτε χ' ἡμᾶς] ἑαυτὸν λέγει, καὶ τὸν Τέκμησσαν καὶ τὸν Εὐρυσάκην.

Ib. Τρεῖς ὁμῦ συγκειμένους] ἐμὲ, καὶ σαυτὸν, καὶ Μενέλαον. Οὐ γαρ λέγει περὶ τῆς Τεκμήσσης καὶ τῦ παιδὸς· ἐλεεινὸς γὰρ ὁ λόγος, ἂν ἀπειλητικός.

Ib. Βαλεῖτε χ' ἡμᾶς] τινὲς ὑποσίζοντες εἰς τὸ τρεῖς, τὸ ἡμᾶς ἀντὶ τῦ ἐμὲ τὸν Τεῦκρον, καὶ τὴν Τέκμησσαν, καὶ τὸν Εὐρυσάκην, φασίν. Ὅπερ οὐκ ἔχει λόγον. Τίς γάρ χρεία ἐνταῦθα Τεκμήσσης καὶ Εὐρυσάκους; ὃς αὐτὸς ἰάσας, ᾠὴθ τὸ ἡμᾶς ὑποσίζων, ὅτω λέγει, βαλεῖτε καὶ ἡμᾶς, ἀντὶ τῦ ἐμὲ καὶ σαυτὸν, συγκειμένους ὁμῦ τῷ Αἴαντι τρεῖς· ἐκὼν γὰρ οὐχ ὑφήσω· ἀλλ' εἰ καὶ αὐτὸς θανεῖσθαι, σὲ πρῶτον ἀναιρεῖν βυλήσομαι. Ὅτι δέ ἐστι τῦτο, μαρτυρεῖ καὶ αὐτὸς λέγων, ἐπεὶ καλόν μοι τῦδ' ὑπερπονεμένῳ, καὶ τὰ ἑξῆς. Ἰστέον δὲ ὅτι ὁ κακῶς εἶπε τὸ τῆς σῆς ὑπὲρ γυναικὸς, ὡς οἱονεί τινες, ἀλλ' ὥσπερ φαμὲν πρὸς τὰς ἔριδας τινὸς, ἄλλα πρὸς τινὰ τὰς λόγους ποιούμενοι, προσάπτοντες καὶ αὐτῷ τὰ ἐκείνη, ὕτω καὶ τῦτο. Ἄλλως τε οὐκ ἀπέχρησεν αὐτῷ μόδον εἰπεῖν τῆς σῆς ὑπὲρ γυναικὸς, ἀλλὰ σαὶ ἡ τᾶ σῦ θ' ὁμαίμονος λέγω.

1327. Ἐπεὶ καλόν μοι] κάλον μοι ἐστὶ προδήλως ὑπὲρ τῦδε πονημένῳ μᾶλλον ἀποθανεῖν, ἢ ὑπὲρ τῆς σῆς γυναικὸς, λέγω, τῦ σῦ ἀδελφῦ.

1328. Θανεῖν προδήλως] αὐτὶ τῦ λαμπρῶς, ἀνδρείως. Λέγει δὲ ὅτι ταῦτα, ἃ βύλεσθε πρὸ τῦ Αἴαντα δρᾶσαι, πρότερον ἐ δράσετε πρὶν ἢ κἀμὲ ἀποκτεῖναι. ἀποθνήσκων μέντοι, σὺν ὑμῖν ἀπολῶμαι.

1330. Τὸ σὸν] ὅ, καὶ σὲ αὐτὸς ὡς ἄνθρωπος φθαρῆς μέλλεις παθεῖν δηλονότι ὑπεδήπολε. Ἤγουν, πρὸς ταῦτα ὅρα, ὦ Μενέλαε, μὴ μόνον τὸ ἐμὸν βλάβος, ἀλλὰ καὶ τὸ σόν. Ὅτι εἴ πημανεῖς με τι, βυλήσῃ ποτὲ, ἤγουν, μετέπειτα, εἶναι μᾶλλον δειλὸς ἐν ἐμοὶ, ἢ θρασύς.

1331. Βυλήσῃ ποτὲ] μέλλοντος ὡς προπετὴς εἰς ἐμὲ εὐρεθεῖς, καὶ μὴ ἀποδειλιάσας παρὰ τὸ ἄρχειν. Ἀμυνῶμαι γάρ σε. Ἢ βυλήσῃ ποτὲ καὶ δειλὸς εἶναι, καὶ μὴ ὑπ' ἐμῦ ἀναιρεθῆναι. Δειλὸς δὲ καὶ θρασὺς ἐναντίως καὶ ὑπερβολὴν ἔχοντα καὶ ἔλλειψιν· μέσην δὲ τούτων ἡ ἀνδρεία.

1332. Ἢ 'ν ἐμοὶ] ἤγουν, ἢ ἐν ἐμοί.

1333. Ἄναξ Ὀδυσσεῦ] ἵνα μὴ εἴη αὐτῶν εἰς μακρὰν ἡ φιλονεικία, διαλλακτὴν εἰσήγαγε τὸν Ὀδυσσέα, τοιῦτον γὰρ ὁ καιρὸς ἐζήτει· εἰσήκται δὲ Ὀδυσσεὺς ὡς σοφὸς καὶ ἐμπει-

κακῶς

Εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.
ΟΔΥ. Τίδ' ἔστιν; ἄνδρες! τηλόθεν γὰρ ἠσθόμην
Βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ·
ΑΓΑ. Οὐ γὰρ κλύοντες ἐσμὲν αἰσχίστους λόγους,
Ἄναξ Ὀδυσσεῦ, τῶδ' ὑπ' ἀνδρὸς ἀρτίως;
ΟΔΥ. Ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
Κλύοντι φλαῦρα, συμβαλεῖν ἔπη κακά.
ΑΓΑ. Ἤκουσεν αἰσχρά· δρῶν γὰρ ἦν τοιαῦτά με.
ΟΔΥ. Τί γάρ σ' ἔδρασεν, ὥστε καὶ βλάβην ἔχειν;
ΑΓΑ. Οὗ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
Ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
ΟΔΥ. Ἔξεστιν ἔν εἰπόντι ταὐληθῆ φίλῳ

κακως. Καιρὸν δὲ ἀντὶ τοῦ εἰς καιρὸν, ἤγουν, ἐγκαίρως.

1334. Ξυνάψων] αὐτὸς δηλονότι εἰς τὴν μάχην, ἀλλὰ διαλύσων καὶ χωρίσων.

Ib. Πάρει] ἀντὶ τοῦ παρεγένου.

1335. Τίδ' ἔστιν; ἄνδρες] ἄφιξις Ὀδυσσέως ἐπὶ διαλλαγῇ τῶν μαχομένων.

1336. Βοὴν Ἀτρειδῶν] ὃν ἔξ ἑτοίμου φησὶν, ὅτι ἦκει ἀναγελῶν Ἀγαμέμνονα, ἀλλ' ἐπιμελόμενος τί πράττουσιν οἱ βασιλεῖς. Τὴν δὲ ἑαυτῆ γνώμην ἐδήλωσε διὰ τοῦ ἀλκίμῳ νεκρῷ, ὅτι γενναίαν αὐτοῦ ἐδήλωσε τὴν τελευτήν. Διδάσκει δὲ ὁ λόγος, ὅτι ὃ δεῖ κατὰ τεθνεώτων λέγειν, κἂν ἐχθροὶ ὦσιν.

Ib. Τῷδ' ἐπ'] ἐπὶ τῷδε τῷ ἀλκίμῳ, ἤγουν, τῷ ποτὲ ἀλκίμῳ, τυτὶ γενναίῳ.

1337. Οὐ γὰρ κλύοντες] ἆρα γὰρ ὁ κλύσαντες ἐσμὲν αἰσχίστους λόγους, ὦ ἄναξ Ὀδυσσεῦ, ὑπὸ τοῦδε τοῦ ἀνδρός;

1339. Ἐγὼ γὰρ συγγνώμην ἔχω] ὃ καλῶς λέγεις, Ὀδυσσεῦ, ἐνταῦθα. Οὐ γὰρ ὁ λέγων, φαῦλος ὕβρεως, καὶ ἀκόλαστος, ἐν ὁμοτίμοις. Ἀλλ' ὁ μὲν βασιλεὺς, ὁ δ' ἰδιώτης· εὔρροις δὲ τὰ ἄλλα πάντα ἴδια τῆς Ὀδυσσέως μόνης πλὴν εἴ μήπως εἴπῃς ὡς οὐκ ἀπὸ τοῦ λελογισμένου, ἀλλὰ παντὶ τῷ θυμῷ, ἀλλὰ μηχανῇ τινι τοῦτ' ἔλεξε τῶν διαλλαγῶν ἕνεκα, καὶ ἅμα τῷ βασιλεῖ τὰ μίγιστα πεποιθώς.

1341. Ἤκουσεν αἰσχρὰ] ὅτι θεραπεύει Ὀδυσσεὺς ὁ Τεῦκρος διὰ τὸν ἀδελφόν. ὅτε ἀντιλέγει, διὰ τὸν καιρόν.

1341. Ἤκουσεν αἰσχρὰ] ἤγουν, ὅτε πρὸς Μενέλαον ἐποίει τοὺς λόγους· ὡς αὐτός ἐσιν ἀρχὼν τῆς ὕβρεως, ἐγὼ δὲ ἀμυνόμενος. Οὕτω τοῦτο νόει, καὶ μὴ πρὸς τὰς ὕστερον ὕβρεις. Ἄλλως γαρ οὐκ ἂν τοῦτο προσέβαλλετο ὡς δικαίωμα Ἀγαμέμνων.

1342. Τί γάρ σ' ἔδρασεν] τί δέ σ' ἐποίησεν τοιοῦτο ὀνηλοτί, ὥστε καὶ ὑπέχειν σε βλάβην;

1343. Οὗ φησ' ἐάσειν] διαστέλλεται ἐκ ἐάσειν.

1344. Ἄμοιρον] ἀμέτοχον.

Ib. Ἀλλὰ πρὸς βίαν] ἀλλὰ ἐπαινέλαι θάψειν αὐτὸν πρὸς βίαν ἐμοῦ. Βίαν λέγει, ἢ βιάζεται αὐτόν.

Ib. Θάψειν ἐμοῦ] ἀπορίαν τινὰ ἔχει ἡ τοιαύτη γενικὴ τὸ ἐμοῦ· ἔχει δὲ ὕστω, πρὸς βίαν ἐμοῦ, ἀντὶ τοῦ ὡς δυναστείαν ἐμοῦ· ἐπεὶ γὰρ ἡ δυναστεία ἐκ ἄλλου τινὸς ἦν, ἀλλ' Ἀγαμέμνονος (πρὸς γὰρ αὐτὸν ἐκ Τεύκρου γινήσεσθαι ἐμελλε) διὰ τοῦτο πρὸς βίαν ἐμοῦ λέγει.

1345. Ἔξεστιν ἔν] δαιμονίως ἡ ἐπιτήρησις. Ἠπίστατο γὰρ, ὅτι πάντες ἄνθρωποι πρὸς τὸ ἀληθὲς ἀγανακτοῦσι καὶ ἀντιλέγουσι. Τὸ δὲ ἑξῆς, ἔξεστιν ἐμοὶ τῷ φίλῳ σου εἰπόντι ἀληθῆ, καὶ τὰ ἑξῆς.

1346. Ἢ

Σοὶ μηδὲν ἧσσον ἢ τἄρος ξυνηρεμεῖν;
ΑΓΑ. Εἶπ' · ἦ γὰρ εἶην ἐκ ἂν εὖ φρονῶν, ἐπεὶ
Φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω.
ΟΔΥ. Ἄκυέ νυν· τὸν ἄνδρα τόνδε πρὸς θεῶν
Μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν.
Μήδ' ἡ βία σε μηδαμῶς νικησάτω
Τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πα]εῖν.
Κἀμοὶ γὰρ ἦν ποθ' ὅτος ἔχθιστος στρατῷ,
Ἐξ οὗ κράτησα τῶν Ἀχιλλείων ὅπλων·
Ἀλλ' αὐτὸν ἔμπας ὄντ' ἐγὼ τομόνδ' ἐμοὶ,
Οὐκ ἄν γ' ἀτιμάσαιμ' ἄν, ὥστε μὴ λέγειν
Ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως·
Ὥστ' ἐκ ἂν ἐνδίκως ἀτιμάζοιτό σοι.
Οὐ γάρ τι τοῦτον, ἀλλὰ τὰς θεῶν νόμους
Φθείροις ἄν· " ἄνδρα δ', ἐ δίκαιον, εἰ θάνοι,
" Βλάπ]ειν τὸν ἐσθλὸν, ὐδ' ἐὰν μισῶν κυρῇς."
ΑΓΑ. Σὺ ταῦτ', Ὀδυσσεῦ, τῶδ' ὑπερμαχεῖς ἐμοί;

1348. Ἢ τἄρος ξυνηρεμεῖν] εὕρηται καὶ ξυνηρεμεῖν, ὅπερ ἀντὶ τοῦ συμφωνεῖν εἶπεν. Εἴρηται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τῶν κωπηλατούντων.

1349. Ἄκυέ νυν] συμβουλή.

1351. Μήδ' ἡ βία σε] μὴ ἡ ἐξουσία βιάσασθω σε ὥστε πρᾶξαί τι παρὰ τὸ δίκαιον· τοῦτο γὰρ ἐκ ἐξουσίαν παραδῷς τὸ δίκαιον.

1352. Ὥστε τὴν δίκην πατεῖν] παλεῖται γὰρ ἡ δίκη διὰ τὸ μὴ τῆς σῆς ὀργῆς τὴν ἐκείνου ἀριτὴν πρότιθέναι, ἀλλ' ἀκαμπτον εἶναι, ἵνα τὸ τῆς ἐξουσίας μέγιθος βιβαιώσῃ.

1353. Κἀμοὶ γὰρ] παράδειγμα ἐξ ἑαυτοῦ. Ibi Κἀμοὶ γὰρ ἦν ποθ'] ἐκεινος ὁ λόγος εἰς πειθὼ, ὅτι κἀγὼ ποτε ἐχθρὸς ὢν, ἐνδέδωκα νῦν διὰ τὸ δίκαιον.

1355. Ἀλλ' αὐτὸν ἔμπας] ἀλλ' ὅμως ἐγὼ ὄντα αὐτὸν ἐμοὶ τοιόνδε, ἥγων, ἔχθιστον, ἐκ ἂν ἀπαξιώσαιμι ὥστε μὴ λέγειν. Καὶ τὸ ἐξῆς.

1357. Ἀτιμάζοιτό σοι] ἀντὶ τοῦ, ὑβρίζοιτο ὑπό σου.

1361. Ἄνδρα δ' ἐ δίκαιον] τοῦτο πρῶτον ὡς καθόλου γνώμην ἐξήνεγκεν. Εἶτα μερικῶς πρὸς τὸν Ἀγαμέμνονα· δέον γὰρ εἰπεῖν, ὐδὲ ἐὰν μισῶν κυρῇ, ὁ δὲ κυρῆς εἶπεν, εἰκότως τὸν τὸ ποιήσας, ἵνα μισῶνται τοῦτον Ἕλλαν καὶ εὐμενῆ ἐντεῦθεν ποιήσῃ τῷ Αἴαντι.

1362. Βλάπτειν τὸν ἐσθλὸν] δύναται καὶ ἐπὶ τοῦ μισοῦντος εἶναι, τὸν ἐσθλὸν ἐ δεῖ μνησικακεῖν. δύναται καὶ ἐπὶ τοῦ μισουμένου καὶ τιτλιλυπήτος, τὸν ἐσθλὸν ἐ δεῖ βλάπτισθαι, ὐδ' ἐὰν μισέμενος ᾖ. Εὐκαταλλάκτως γὰρ δεῖ πρὸς τοὺς ἀγαθοὺς ἔχειν.

1363. Σὺ ταῦτ', Ὀδυσσεῦ] μὴ λάθῃς ἐξ τὸ ταῦτα ἔξαθεν τὸ κατὰ, ἀλλ' ὥσπερ μάχομαί σοι ταῦτα, φαμὶν, ὕτω καὶ τοῦτο.

1364. Καλὸν]

ΟΔΥ. Ἔγωγ'· ἐμίσουν δ' ἡνίκ' ἦν μισεῖν καλόν.
ΑΓΑ. Οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σέ χρή;
ΟΔΥ. Μὴ χαῖρ', Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς.
ΑΓΑ. " Τόν τοι τύραννον εὐσεβεῖν ὀ ῥᾴδιον.
ΟΔΥ. " Ἀλλ' εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.
ΑΓΑ. " Κλύειν τόν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει."
ΟΔΥ. Παῦσαι· κρατεῖς τοι τῶν φίλων νικώμενος.
ΑΓΑ. Μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως.
ΟΔΥ. Ὃδ' ἐχθρὸς ἀνὴρ, ἀλλὰ γενναῖός ποτ' ἦν.
ΑΓΑ. Τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ' αἰδῇ νέκυν;
ΟΔΥ. Νικᾷ γὰρ ἡ ἀρετή με τῆς ἔχθρας πολύ.
ΑΓΑ. Τοιοῖδε μέντοι φῶτες ἔμπληκτοι * βροτῶν.

* Albus, ἐκπλῆκτοι.

1364. Καλὸν] ἴγκαιρον, ἁρμόδιον, ἀνάγκην φέρον.

1365. Οὐ γὰρ θανόντι] ἢ γὰρ χρὴ θανόντι καὶ προσεπεμβῆναί σε; τινὲς δὲ πρὸς τῇ μισεῖν ἐπεμπηδῆσαι; ἐπὶ τῶν λὰξ ἐναλλομένων λέγεται τὸ ἐπεμβῆναι.

1366. Μὴ χαῖρ'] ἤγουν, μὴ πρόσκεισο.

1367. Τόν τοι τύραννον] ὁ λόγος, ὅτι ᾧ πάντα τῷ δικαίῳ ἀκολουθητέον· ἀλλά τι πρὸς τὸ συμφέρον ῥέπειν χρὴ τὸν τύραννον· ἀμφιπλὴξ γὰρ ὑπὸ Ἀγαμέμνονος ὁμολογεῖσθαι, ὡς τύραννος ἀδικεῖ ὑπὸ τῆς ἐξουσίας, περὶ τὰ ποιαῦτα τῆς ἔργων ταύτην προβαλλόμενος.

Ib. Τόν τοι τύραννον εὐσεβεῖν] ἤγουν, διόλου εὐσεβεῖν, καὶ ὅσια πράττειν· κωλύεται γὰρ ἀπὸ τῆς ἀρχῆς διὰ τὸ ταύτης συμφέρον· εἰ γὰρ καὶ Αἴας μέλλει ἐρύσειν εἰς αὐτὸν (τέθνηκε γὰρ) διὰ τοῦτό γε μὴν δεῖ τοῦτον τετιμωρῆσθαι, ἵνα μήτις ἰδὼν αὐτὸν ἀτιμώρητον μείνασα, ἐγχειρήσῃ τοῖς ἴσοις.

1368. Ἀλλ' εὖ λέγουσι] κατὰ κοινῶν τὸ ῥᾴδιον· ἔξιν δὲ ὁ νῦς τοιοῦτος, ἀλλὰ ῥᾴδιόν ἐστι τοῖς καλῶς συμβουλεύουσι φίλοις τιμὰς νέμειν. Ἀντὶ τοῦ, ἐμοὶ καλῶς σοι συμβουλεύσῃ τιμὴν ἀπόδος· τετέσιν, ἄκουσόν μου.

1369. Κλύειν τὸν ἐσθλὸν] ἄκρως αἱ ἀντιθέσεις· ὁ μὲν Ὀδυσσεὺς ἐπὶ τιμῇ τῶν φίλων ὑφεῖναι τὸν βασιλέα τῆς ἐξουσίας παρακαλεῖ· ὁ δὲ ἀντιτρέψας φησὶν, ὅτι τὸν ἀγαθὸν αἰδεῖσθαι χρὴ πείθεσθαι τοῖς βασιλεῦσι· κλύειν δὲ ἀντὶ τοῦ ὑπακούειν.

Ib. Ἐσθλὸν] ἤγουν, τὸν ἀγαθόν. Ἐσθλὸς ἐθελοντὴς μαχόμενος, ἤγουν, ἀνδρεῖος, καὶ ἀπὸ πέτυ ἀγαθός.

Ib. Τῶν ἐν τέλει] τῶν ἐξ ἀρχῆ, τῶν βασιλέων.

1371. Μέμνησ'] ἀντὶ τοῦ ἀναλογίζου.

1373. Τί ποτε ποιήσεις;] ἐν ἐρωτήσει ὁ λόγος, ποδαπός τις ἔσῃ πρὸς ἐχθρὸν, καὶ τί αὐτὸς διαθήσεις δεινὸν, ὁπότε ὧδε ὑπὸ νικῇ ζητήσει;

Ib. Ἐχθρὸν ὧδε] καθιζόρριζ ὁ Ἀγαμέμνων ἐνταῦθα δειλίαν τῷ Ὀδυσσεῖ.

1374. Ἡ ἀρετὴ] ἡ ἀρετὴ, ἤγουν, ἡ ἀνδρεία.

Ib. Τῆς ἔχθρας πολὺ] δέον πολέον εἰπεῖν, πολὺ εἶπεν. Εὕρηται γὰρ πολλαχοῦ τὰ ἁπλᾶ ἀντὶ συγκριτικῶν τιθέμενα. Ὥσπερ αὖ τὰ ναυτίον, τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν.

1375. Τοιοῖδε φῶτες] οἱ τοιοῖδε φῶτες, οἷος ἦν ὁ Αἴας, ὀκνοῦσι εἰς μάχην ῥᾳδίως μεταβαλλόμενοι, ἐμπλῆκτοί εἰσι παρὰ τοῖς βροτοῖς. πρὸς ὃ ἀπαντᾷ ὁ Ὀδυσσεὺς, ὄντως πλείονες, ἄλλοι ὀκνοῦσι, νῦν εἰσὶ φίλοι, καὶ κατὰ τὸ ἐπιὸν ἄλγος πράξουσι. Ἔμπληκτος δὲ, καὶ ἀμπλακτος,

ΟΔΥ. Ἦ κάρτα πολλοὶ νῦν φίλοι, καὶ θἠθις πικροί.
ΑΓΑ. Τοιόσδ' ἐπαινεῖς δῆτα σὺ πᾶσθαι φίλους;
ΟΔΥ. Σκληρὰν ἐπαινεῖν γ' ἀ φιλῶ ψυχὴν ἐγώ.
ΑΓΑ. Ἡμᾶς σὺ δειλὸς τῆδέ θ' ἡμέρᾳ φανεῖς.
ΟΔΥ. Ἀνδρας μὲν ἦν Ἕλλησι πᾶσιν ἐνδίκως. 1380
ΑΓΑ. Ἀνωγας ἦν με τὸν νεκρὸν θάπτειν ἐᾶν;
ΟΔΥ. Ἔγωγε· καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι.
ΑΓΑ. Ἦ πάνθ' ὁμοῖα, πᾶς ἀνὴρ αὑτῷ πονεῖ.
ΟΔΥ. Τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν; 1385
ΑΓΑ. Σὸν ἆρα τἔργον, ἐκ ἐμὸν κεκλήσεται.
ΟΔΥ. Ὡς ἂν ποιήσῃς, πανταχῇ χρηστὸς γ' ἔσῃ.
ΑΓΑ. Ἀλλ' εὖ γε μέντοι τῦτ' ἐπίσασ', ὡς ἐγὼ
Σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν·

ἀπόπλουτος, καὶ παραπλὴξ ταὐτό. Λίγεται δὲ ταῦτα ἐπὶ τῶν ἐκτετραμμένων τὴν ψυχήν. Ἔμπληκτοι βροτῶν οἱ μὴ ἐμμένοντες τῇ ἀρχαίᾳ ἀρετῇ καὶ φιλίᾳ, ἄφρονες παρὰ τοῖς ἀνθρώποις. Ἄλλως· ἔμπληκτοι, κῶφοι, εὐμετάβολοι. Ὀνειδίζει δὲ Ὀδυσσεῖ ὡς εὐμετάβλητ' οἱ τοιῦτοι ἂν ἔμπληκτοι παρὰ τοῖς βροτοῖς λέγονται. Ὡς καὶ Ὅμηρος·

" Ἐμπλήγδην ἕτερον μὲν τίει βροτόν."

1376. Ἦ κάρτα] πρὸς ταῦτα Ὀδυσσεὺς ἀντιλήγει, ὅτι οὐκ ἐν τῇ ταυτότητι μένει τὸ τῶν ἀνθρώπων γένος· ἀλλὰ ποτὲ μὲν φίλοι εἰσί, ποτὲ δὲ ἐχθροί. Πολὺ (φησὶ) τοῦτο ἀνθρώπων ἐστὶ τὸ κατὰ καιρὸν μεταβάλλεσθαι εἰς φιλίαν, ἢ εἰς ἔχθραν.

1379. Ἡμᾶς σὺ δειλὸς] ἐὰν γὰρ τιθάσσευσαι συγχωρήσωμεν Αἴαντα, πᾶς τις, ὃς οὐκ οἶδεν ὅτι σὴν χάριν τοῦτο ποιοῦμεν, οἰηθήσεται διὰ τὴν Τεύκρου θρασύτητα ἡμᾶς βιασθῆναι ἐνδοῦναι.

1380. Ἐνδίκως] ὁ μὲν, τὸ τῆς ἀνδρείας· ὁ δὲ τὸ τῆς δικαιοσύνης προβάλλεται. Λέγει δὲ μᾶλλον μὲν ἂν εἰκὸς πᾶσι τοῖς Ἕλλησιν ἀνδρας ἐνδίκως εἶναι ὑμᾶς, ἤγουν, δικαίως.

1381. Ἀνωγας] συμβουλεύεις.

1382. Καὶ γὰρ αὐτὸς] καὶ γὰρ αὐτὸς ὑπάκειμαι τῇ ὁμοίᾳ τύχῃ τῇ ἀνθρωπίνῃ, ᾗ καὶ αὐτὸς ἵξομαι πρὸς τὸ θάψαι αὐτόν.

1383. Ἦ πάνθ' ὁμοῖα] ὄντως πάντα τὰ ἀνθρώπινα ὅμοια· πᾶς γὰρ ἄνθρωπος τὴν εἰκοῖαν πραγματεύεται σωτηρίαν. Ἔχει δέ τινα δυσκολίαν. Καὶ ἔστιν ὅτως κοινὸν ἔγκλημα τοῦτο τοῖς ἀνθρώποις τὸ εἶναι ἕκαστον φίλαυτον. Τοῦτο δὲ ἐγκαλεῖ τῷ Ὀδυσσεῖ ὁ Ἀγαμέμνων, ὅτι εὐδοξίαν σοὶ ἐργάζεται τὸ ὑπείκειν ταφῆναι τὸν Αἴαντα. Οὐδαμοῦ τὸ κεχαρισμένον ἑτέρῳ διαπρύσιον. Καὶ ὁμολογεῖ Ὀδυσσεὺς τὸ φίλαυτον, ἵνα μὴ δόξῃ πᾶσιν ἀντιλέγειν.

1384. Τῷ γὰρ μὲ μᾶλλον] τίνι γὰρ ἄλλῳ δηλονότι (ἀντὶ τοῦ τίνος ἄλλης χάριν) εἰκὸς ἐστιν πονεῖν ἐμὲ ἢ χάριν ἐμαυτοῦ;

1385. Σὸν ἆρα] ἀντὶ τοῦ δή.

1386. Ὡς ἂν ποιήσῃς] καθὰ, ἤγουν, κατ' οἱονδὴ τίνα τρόπον ἂν ποιήσῃς. Πανταχῇ, ἐν πᾶσι.

1b. Πανταχῇ χρηστός γ' ἔσῃ] τουτέστιν, ἢ ἕνεκα τῆς σῆς ἐξυσίας, ἢ ἕνεκα τῆς ἐμῆς παρακλήσεως, πανταχοῦ ἔσῃ χρηστός.

1387. Ἀλλ' εὖ γε μέντοι] τοῦτο μὲν πειθόμενον δηλοῖ. Ἀλλ' εὖγε τοῦτο ἐπίσασο, καὶ

Οὗτος δὲ κἀκεῖ κἀνθάδ' ὢν, ἔμοιγ' ὅμως
Ἔχθιστος ἔσαι· σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρή.
ΧΟΡ. Ὅσις σ', Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν
Φῦναι τοιοῦτον ὄντα, μῶρος ἔς' ἀνήρ.
ΟΔΥ. Καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι,
Ὅσον τότ' ἐχθρὸς ἦν, τοσόνδ' εἶναι φίλος.
Καὶ τὸν θανόντα τόνδε συνθάπ]ειν θέλω,
Καὶ ξυμπονεῖν, καὶ μηδὲν ἐλλείπειν, ὅσον
Χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.
ΤΕΥ. Ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
Λόγοισι· καὶ μ' ἔψευσας ἐλπίδος πολύ.
Τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ,
Μόνος παρέστης χερσὶν, ἐδ' ἔτλης παρὼν
Θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα·
Ὡς ὁ στρα]ηγὸς οὐ πιβρόντη]ος μολὼν,
Αὐτός τε χ' ὡ ξύναιμος ἠθελησάτην

φὴ ἐξῆς. Συγκατάθεσις δὲ συνυπακούεται, πρὸς ἣν ἐπάγεται, ἀλλ' εὖ γ' ἐπίσασο.

1389. Οὗτος δὲ κἀκεῖ] Ἐν τῷ ᾅδῃ, ἤγουν, καὶ ἐν τῇ παρούσῃ ζωῇ, τυτίσι, καὶ ζῶν καὶ ἀποθανὼν ὁμοίως.

1393. Καὶ νῦν γε] καταλλαγὴ Ὀδυσσέως καὶ Τεύκρου.

Ib. Καὶ νῦν γε] ἢ καὶ ὅτως· καὶ νῦνγε ἀπὸ τοῦ νῦν ὑπέχομαι εἶναι σοὶ τῷ Τεύκρῳ φίλος, ὅσον πρότερον ἦν ἐχθρός.

Ib. Ἀπὸ τοῦδε] ἀπὸ ταύτης τῆς ἡμέρας ἀγγέλλομαι καὶ σημαίνω αὐτῷ φιλίαν.

Ib. Ἀγγέλλομαι] ἀντὶ τοῦ ἐπαγγέλλομαι, ὑπισχνοῦμαι.

1395. Συνθάπ]ειν θέλω] καλῶς τὸ θέλω. Εἰ ἐπιτρέποιτε, σὺν σοὶ θάπτω τόνδε. Διττῶς δύναται νοεῖσθαι ὅτος ὁ λόγος, ἢ ὅτι καί σε θάπτω μετὰ τοῦδε, ἢ ὅτι τοῦτον ἐγὼ καὶ σὺ θάπτομεν.

1396. Ξυμπονεῖν] ἤγουν, συνεργεῖν ὑμῖν δηλονότι. Ἤγουν, συγκεπιεῖν, καὶ μηδὲν ἐλλείπειν πονεῖν τόσον, ὅσον χρὴ τοὺς βροτοὺς πονεῖν ἐν τοῖς ἀρίστοις ἀνδράσιν.

1398. Ἄριστ' Ὀδυσσεῦ] εὐγνωμόνως πρὸς τὸ παρὸν ὁ Τεῦκρος θεραπεύει τὸν Ὀδυσσέα. Καταλιθέμενος καὶ τὴν πρὸς αὐτὸν ἔχθραν.

1399. Καί μ' ἔψευσας] ψευσθῆναι ἐποίησας τῆς ἐλπίδος, ἣν κακὴν εἶχον περὶ σέ.

Ib. Ἔψευσας] ἤγουν, ἐξέβαλες. Εἶχε γὰρ ἐλπίδα ὁ Τεῦκρος, ἰδὼν τὸν Ὀδυσσέα, μὴ εἶναι τοῦτον εἰς βοήθειαν· ἀλλ' ὅτι εἶδε τοῦτον βοηθοῦντα, τότε φησὶν· ἔψευσάς με κατὰ πολὺ τῆς ἐλπίδος, καὶ νομίσας εἶναί σε ἐχθρὸν, εὗρόν σε φίλον.

1401. Παρίστης χερσὶν] συνεμάχησας ἔργῳ, οὐ λόγῳ. Τοῦτο δὲ λέγεται ἐπὶ τῶν μετὰ σπουδῆς ἐργαζομένων τι.

1403. Οὐ πιβρόντητος] ὃν εἰώθαμεν λέγειν ἐμβρόντητον. Ἐμβρόντητος δέ ἐστιν ὁ ἐκτραπεὶς τῶν φρενῶν ὑπὸ βροντῆς.

1405. Δύο

Λωβητὸν αὐτὸν ἐκβαλεῖν, ταφῆς ἄτερ·
Τοιγάρ σφ' Ὀλύμπου τῆδ' ὁ πρεσβεύων Πατὴρ,
Μνήμων τ' Ἐριννὺς, καὶ τελεσφόρος Δίκη,
Κακὸς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
Τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
Σὲ δ', ὦ γεραιᾶ σπέρμα Λαρτίου πατρὸς,
Τάφου μὲν οἰκῶ τῆδ' ἐπιψαύειν ἐᾶν,
Μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ·
Τὰ δ' ἄλλα καὶ ξύμπρασσε· κεἴ τινα στρατῷ
Θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
Ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ· σὺ δὲ
Ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.
ΟΔΥ. Ἀλλ' ἤθελον μέν· εἰ δὲ μή 'σί σοι φίλον
Πράσσειν τάδ' ἡμᾶς, εἶμ' ἐπαινέσας τὸ σόν.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΤΕΥ. Ἅλις· ἤδη γὰρ πολὺς ἐκτέταται
Χρόνος· ἀλλ' οἱ μὲν κοίλην κάπετον
Χερσὶ ταχύναλε, τοὶ δ' ὑψίβαλον
Τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων

1405. Λωβητὸν] ἐφύβριζον.

1406. Τοιγάρ σφ' Ὀλύμπου] διὰ αὐτὸς τῶν ἐν Ὀλύμπῳ θεῶν τὰ πρεσβεῖα ἔχων Ζεὺς, μνήμων τ' Ἐριννὺς, τῶν ἀδικημάτων δηλονότι, ἦγεν, ἡ ταμιεύουσα τὰς τιμωρίας. Ἐριννὺς δὲ εἰσὶν αἱ κατάραι καὶ ἔφοροι τῶν παλαιῶν θεαί.

1407. Μνήμων τ' Ἐριννὺς] ἦγεν, μνημονεύουσα τῶν ἑκάστοις πεπραγμένων κακῶν, καὶ μηδέποτ' εἰς λήθην ἰοῦσα, ἀλλὰ τιμωρημένη. Διὰ τοῦτο δὲ τὴν Δίκην τελεσφόρον καλεῖ, διὰ τὸ μὴ αὐτίκα τοῖς ἁμαρτάνουσιν ἀπαντᾶν, ὅπως ἂν μεταγνοῖεν· ἀλλ' ὕστερον κατ' αὐτῶν φέρεσθαι μετὰ μείζονος τοῦ κολάζειν παρασκευῆς.

1415. Πορσυνῶ] παρέξω.

1417. Ἀλλ' ἤθελον] συνεργῆσαι δηλονότι εἰς τὴν ταφήν. Μάλιστα καινόσχημον τοῦτό γε.

1418. Εἶμ' ἐπαινέσας τὸ σὸν] πιθανὴ ἡ ἔξοδος διὰ τὴν σπουδὴν τῆς ταφῆς. Πολὺς δὲν ἤδη χρόνος, ἀφ' ὃ τετελεύτηκεν ὁ Αἴας, καὶ ἤδη δεῖ αὐτὸν ταφῆναι.

1419. Ἅλις· ἤδη] ἀντὶ τοῦ, ἀρκόντως ἔχω τὸ πρᾶγμα.

1420. Κοίλην κάπετον] ἦγεν, τάφον.

1421. Χερσὶ ταχύναλε] μετὰ σπουδῆς ὄρυξατε.

Ib. Τοὶ δ' ὑψίβαλον] οἱ δὲ θέσθε, ἐπὶ τῷ πυρὸς δηλονότι, ἐπίκαιρον ἀντὶ τοῦ ἐπικαίρως. ἦγεν, ἐγκαίρως, χυτρόποδα ἀμφίπυρον, ἀμφοτέρωθεν τὸ πῦρ δεχόμενον, ὑψίβαλον, ὑψηλὴν βάσιν ἔχοντα.

1422. Τρίποδ' ἀμφίπυρον] ἦγεν, χυτρόπουν, τὸν κοινῶς πυροστάτην, ὃ καὶ λέβητα λέγεται.

Θέσθ' ἐπίκαιρον· μία δ' ἐκ κλισίας
Ἀνδρῶν ἴλη τὸν ὑπασπίδιον
Κόσμον φερέτω.
Σὺ δέ, ὦναξ *, τῷ πατρὸς, ὅσον ἰσχύεις,
Φιλότητι θίγων, πλευρὰς σὺν ἐμοὶ
Τάσδ' ἐπικύφιζ'· ἔτι γὰρ θερμαὶ
Σύριγγες ἄνω φυσῶσι μέλαν
Μένος· ἀλλ' ἄγε τᾶς φίλος ὅστις ἀνὴρ
Φησὶ παρεῖναι, σθένω, βάτω,

* Aldus, Παῖ, σὺ δέ.

Ἀπὸ δὲ τῆς θέσεως τῷ χυλρόποδος νοεῖται ὁ λέβης, καὶ τὸ θερμαινόμενον ὕδωρ.

Ib. Λητρῶν ὁσίων] μὴ λάβῃς εἰς τὸ λητρῶν ἔξωθεν τὸ ἔνικα· ἀλλ' ἐπειδὴ ὁ τρίπους διὰ λητρὰ ἦν, καὶ ἀ ὁι' ἄλλο τι, διὰ τοῦτο τρίποδα λητρῶν λέγει.

1423. Ἐπίκαιρον] εὔκαιρον· καιρὸς γὰρ ἦν καὶ τότε ὥστε ἀπαλεῖσαι τὸ σῶμα, καὶ καθῆραι.

Ib. Ἐκ κλισίας] τῆς σκηνῆς.

1424. Ἴλη] σύστημα. Κυρίως δὲ φατρία.

Ib. Ὑπασπίδιον] ἐνόπλιον.

Ib. Τὸν ὑπασπίδιον] ἤγουν, τὸν ὑποκάτω τῆς ἀσπίδος· πάντων γὰρ ὅπλων ἡ ἀσπὶς ἐπίκειται. Τοῦτο δὲ λέγει, ἵνα αὐτὸν συνάψῃ τῷ Αἴαντι, ὥσπερ πρόσθεν ἐνετείλατο.

1427. Πλευρὰς σὺν] εἰ μὲν τὸ πλευρᾶς περισπάσεις, κἀθ' ὅλον καὶ μέρος ἐρεῖς (τὸ γὰρ Αἴαντος, ὅλον· τὸ δὲ πλευρᾶς, μέρος) εἰ δὲ ὀξυνεῖς, πρὸς τὸ ἐπικύφιζε συφάξεις. Σκόπει δὲ, ὅταν περισπᾷς, μὴ κάτω συντάσσειν, θίγων θῆσδε τῆς πλευρᾶς. Ἀλλὰ θίγων τῷ πατρὸς θῆσδε τῆς πλευρᾶς· ἔτω γὰρ καὶ τὸ καθ' ὅλον καὶ μέρος σῴζεται.

1429. Σύριγγες] ἀναβάσεις. Αἱ ὀπαὶ τῆς ὠλένης.

Ib. Μέλαν μένος] ἀντὶ τοῦ τὴν δύναμιν τοῦ Αἴαντος. Καὶ ἀντὶτοῦ μέλαν αἷμα μετὰ ἰσχύος.

Ib. Μέλαν μένος] μέλαν αἷμα λέγει τὸν τοῦ αἵματος ἀνάβασιν καὶ πρὸς τὰ ἄνω ἔρμην, ἐπειδὴ καὶ τὸ μέλαν αἷμα.

1430. Πᾶς φίλος] ὅστις τῶν παρόντων φίλος ἐστὶ, σπευδέτω εἰς τὴν ταφήν.

Ib. Ἀλλ' ἴαγε] ἡ σύνταξις, Ἀλλ' ἄγε, πᾶς ἀνὴρ, ὅστις φησὶ παρεῖναι καὶ ὑπάρχειν φίλος τῷ Αἴαντος. Ὅτε ἦν ὁ Αἴας, τότε φίλον καὶ αὐτὸν τότε παρεῖναι λέγω. Σώσθω καὶ ὁρμίσθω, βάτω καὶ πορευίσθω, ποσῶν καὶ συναγωνιζόμενος τάδε τῷ ἀνδρὶ τῷ Αἴαντι τῷ κατὰ πάντα ἀγαθῷ, φρόνησιν λέγω, καὶ ἀνδρίαν, καὶ τἄλλα, καὶ ἐν ὀδυνηρῷ πράγματι λῴονι καὶ κρείττονι τῶν θνητῶν, τυτίσι, πᾶσι μὲν τοῖς καλοῖς ὅσων ἄνθρωπον ἡ φύσις ἠξίωσεν, ἐνευθυνεμένῳ, θνητῷ δὲ ὄντι. Οὕτω τὸ ὀδυνηρὸ ὀδύτερον λέγε· τὸ δὲ λῴονι, ἀρσενικὸν πρὸς τὸ Αἴαντι· οὐχ' ὥς τινές φασι· τὸ ὀδυνηρὸν τῷ νεκρῷ, καὶ ἕτερ' ἄτλα, σκαιότητος γέμοντα· καὶ ἄλλως. Ἀλλ' εἶα, πᾶς ὅστις φησὶν εἶναι φίλος τῷ ἀνδρὶ τῷδε τῷ κατὰ πάντα ἀγαθῷ, ὁρμισθήτω ποσῶν ὑπὲρ τοῦδε, καὶ ὑπὲρ κείνος ὅλως ἀπὸ τῶν θνητῶν, κρείττονος τοῦδε τοῦ Αἴαντος. Ὅτε ἦν καὶ ὑπῆρχεν, τότε φατῶ, τοῦτ' ἐστὶ, λέγω.

1431. Σώσθω] ἀπὸ τοῦ σεύομαι τὸ ὁρμῶ ὁ παραταλικὸς ἐσεύομην, ἐσεύθη, καὶ τὸ προστακτικὸν σεύθω, τὸ τρίτον σευίσθω· καὶ, κατὰ συγκοπὴν, σήσθω· καὶ τροπῇ τοῦ ε εἰς ω σώσθω.

Τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ·
Καὶ δέδενί πω * λώνι θνητῶν
Αἴανλος· ὅτ' ἦν, τότε φωνῶ.
ΧΟΡ. "Ἡ πολλὰ βροτοῖς ἐστὶν ἰδεῖν 1435
"Γνῶναι· πρὶν ἰδεῖν δ', ἀδεὶς μάνλις
"Τῶν μελλόντων ὅ, τι πράξει."

* Aldus, Καδενί πω.

1432. Τῷ πάντ' ἀγαθῷ] οἱ τοιοῦτοι ἐπαινοι περὶ τῶν ἰδίων λεγόμενοι περιπαθές εἰσι.

1435. Ἡ πολλὰ βροτοῖς] οἰκείως ἔχει τοῖς ἐπαλλαγθήσεσθαι μέλλουσιν ἡ τελευταία γνώμη, ὅτι πλείστα ἐστὶ τοῖς ἀνθρώποις γνῶναι ἐπ' αὐτῶν τῶν πραγμάτων γιγνομένων· προμηθεία δὲ ἀδύνατον χρήσασθαι, καὶ μαντεύσασθαι ὅ,τι πολὲ ἀποβήσεσθαι μέλλει. Ταῦτα δὲ ἅμα λέγοιλες πρόπεμπουσι τὸν νεκρὸν καὶ γέγηλαι ἔξοδος πρέπουσα τῷ λειψάνῳ.

Ib. Ἡ πολλὰ] ὄντως πολλά ἐστι τοῖς βροτοῖς γνῶναι ἰδοῦσι καὶ θεασαμένοις· ἀδεὶς πρὶν ἰδεῖν, ἐστὶ μάντις τῶν μελλόντων τί ποιήσει. Ἦγον, ὅπερ τίς εἶδεν ἐπίσταται· ὁ δὲ μὴ ἰδὼν, οὐκ ἂν ἔχοι περὶ τῶν μέλλοντος ἐσκυμίσασθαι τί ποιήσει. Τοῦτο δὲ λέγει ὁ χορὸς περὶ ἑαυτοῦ, ὡς πρῶτον οὐκ ἐλπίζοιλος ἂν τεθνάφθαι τὸν Αἴαντα, ὕστερον δὲ ἰδὼν ὃ τοῦτο γενόμενον.

1437 Πράξει] ἤγουν, εὐπραγήσει, ἢ δυσπραγήσει, καὶ ἀμφότερα γὰρ ἡ λέξις δηλοῖ.

BRITISH
28 JA 85
MUSEUM

ΣΟΦΟΚΛΕΟΥΣ

ΗΛΕΚΤΡΑ

ΥΠΟΘΕΣΙΣ

ΗΛΕΚΤΡΑΣ.

Ὑπόκειται ὧδε τροφεὺς πρεσβύτης, ἤτοι παιδαγωγὸς, δεικνὺς τῷ Ὀρέστῃ τὰ ἐν Ἄργει· μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ ἀδελφὴ αὐτοῦ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ αὐτῶν ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, φοβουμένη μὴ καὶ αὐτὸν φονεύσωσι, σὺν τῷ πατρί. Ὁ δὲ τροφεὺς ὑπεξέθετο τὸν Ὀρέστην εἰς τὴν Φωκίδα πρὸς τὸν Στρόφιον, καὶ δι' εἴκοσιν ἐτῶν ἐπανελθὼν εἰς τὸ Ἄργος μετ' αὐτοῦ, δείκνυσιν αὐτῷ (ὡς εἴρηται) τὰ ἐν αὐτῷ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων.

Προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

ΠΑΡΑΣΗΜΕΙΩΣΙΣ.

Ἀπειρόκαλον τὸ λέγειν ὅτι, ὃν τρόπον τὰ κατὰ μέρος τῆς Ἰθάκης ἡ Ἀθηνᾶ ἔδειξε τῷ Ὀδυσσεῖ, ὅτως ἔδει καὶ τὸν παιδαγωγὸν τῷ Ὀρέστῃ δεῖξαι. Τῷ μὲν γὰρ ἀγνοοῦντι δείκνυσιν ὁ παιδαγωγὸς, τῷ δὲ ἀπιστοῦντι ἡ Ἀθηνᾶ.

Ἅπαντα

Ἅπαντα δὲ ἡμῖν φιλοτέχνως ἐν βραχεῖ δεδήλωκεν ὁ ποιητὴς, τὸν τόπον τῆς σκηνῆς, τὸν τρόπον ὡς παρέλαβεν αὐτὸν παρὰ τῆς ἀδελφῆς, καὶ πρὸς τὸν Στρόφιον ἐξέθετο· τὸν καιρὸν, ἐν ᾧ πάρεισιν εἰς τὰς Μυκήνας· τὸν συνόντα, ὅτι Πυλάδης· φησὶ γὰρ ὑποκαλιὼν, Πυλάδη, τί χρὴ δρᾶν, ἐν τάχει βουλευτέαν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΑΙΔΑΓΩΓΟΣ τροφευς.

ΟΡΕΣΤΗΣ.

ΗΛΕΚΤΡΑ.

ΧΟΡΟΣ εξ επιχωριων παρθενων.

ΧΡΥΣΟΘΕΜΙΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΑΙΓΙΣΘΟΣ.

BRITISH
28 JAN 19
MUSEUM

ΗΛΕΚΤΡΑ.

ΠΑΙΔΑΓΩΓΟΣ, ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ, ΧΡΥΣΟΘΕΜΙΣ, ΧΟΡΟΣ.

ΙΑΜΒΟΙ.

ΠΑΙ. Ὦ τοὺ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
Παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
Τὸ γὰρ παλαιὸν Ἄργος, ἃ πόθεις, τόδε,
Τῆς οἰστροπλήγος ἄλσος Ἰνάχᾳ κόρης·

1 Ὦ τοὺ στρατηγήσαντος] Πολλάκις παρατηρῶμεν, ὅτι οἱ παλαιοὶ τὰ συνεκδικὰ τῶν ὑποθέσεων ἐν ἀρχαῖς ἡμῖν δηλοῦσι· καὶ νῦν δηλοῖ περὶ τίνα ὁ λόγος· ὅπερ ἦν ἀναγκαῖον πρόσωπον.

2. Νῦν ἐκεῖν' ἔξεστί σοι] προσοχὴν ὁ λόγος ἀπεργάζεται, σκοπόντων ἡμῶν τί δὴ ποτε πρόθυμός ἐστι τὴν πόλιν ἰδεῖν.

3. Ὧν πρόθυμος ἦσθ'] ἦγουν, ἐπιθυμῶν, ὀρεγόμενος. Ἦσθα δὲ, ὑπῆρχες. Ἔστι δὲ Ἀττικισμὸς, ἀντὶ τοῦ ἐπιθύμεις.

Ib. Ὧν πρόθυμος] αὕτη ἡ γενικὴ ὅ, καθὰ καί τινες, ἐστὶ, λέγοντες, ὧν εἰς Ἰθάκην ἐλθεῖν (τοῦτο γάρ λαμβάνουσιν ἔζωθεν) ἦσθα πρόθυμος· ἀλλὰ πρὸς τὸ πρόθυμος, καθάπερ φαμὲν, οἰκεῖός εἰμι τῷ δείνος, οὕτω καὶ προθυμος. Ἰσέον δὲ, ὅτι διὰ τοῦτο παλαιὸν τὸ Ἄργος λέγει· διὰ τὸ τὸν πρῶτον αὐτοῦ οἰκιστὴν Ἄργον γεγενῆ εἶναι. Ἢ παλαιὸν λέγει, ὡς πρὸς τὸν Ὀρέστην, ἀντὶ τοῦ, ὃ πάλαι οἶσθα ὅτι μοι τοσοῦτον ἔχεται λέγω.

4. Τὸ γὰρ παλαιὸν Ἄργος] Ὅμηρος χωρίζει τὸ Ἄργος καὶ τὴν Μυκήνην. Οἱ δὲ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασίν. Ἄλλως. Ἄργος ὁμωνύμως τῇ χώρᾳ· ὡς Ὅμηρος·

τε Ἄργος τε Σπάρτη τε.

Παλαιὸν δὲ, ἢ ὅτι Ἄργος ὁ προπάτωρ αὐτῶν γηγενὴς ἦν, ἢ ὅτι καὶ αὐτοὶ πρωτογενεῖς ἀντιποιοῦνται εἶναι. Ἐξὶ δὲ ἔτι καὶ τὸ περὶ τὰ πυθὸς μέχρι τοῦ νῦν δεικνύμενον καὶ λεγόμενον ὡς ἀπ' ὀρανοῦ πρῶτον ἐκεῖσε κατηνέχθη.

5. Τῆς οἰστροπλήγος] τῆς οἰστρω, ἤγουν, μανίᾳ, πληγείσης. Τὰ ἀπὸ τοῦ πλήττω εἰ μὲν εἰς ος λήγει, παθητικὰ εἰσιν ἀεὶ (οἷον ἁμπληκτος, ἀπόπληκτος, ἃ λέγεται ἐπὶ τῶν πληγέντων τὴν γνώμην καὶ ἐκπεπτώκοντων) εἰ δὲ εἰς ης, ἐνίοτε μὲν ἐνεργητικὰ, (οἷον βωπλὴξ τὸ κέντρον τὸ τοῦ βοῦν πλήττον) ἐνίοτε καὶ παθητικὰ, οἷον, παραπλὴξ, ὁ φθαρεὶς τὰς φρένας· καταπλὴξ, ὁ συνεχῶς πεπληγμένος, καὶ καλαπλὴξ Εἰλείθυια, ἡ πληγὰς συνεχεῖς ἔχουσα. (εἰσὶ δὲ Εἰλείθυιαι οἱ τόκοι, καὶ αἱ ἔφοροι τῶν τόκων θεαὶ) καὶ οἰστροπλὴξ ἐνταῦθα, ἡ οἰστρῳ (ἤγουν, μανίᾳ) πληγεῖσα ὑπὸ τῆς Ἥρας. Ταύτης γὰρ ὁ Ζεὺς ἐρασθεὶς μεταβέβληκεν αὐτὴν εἰς βοῦν, λαθεῖν πειρώμενος τὴν Ἥρᾳν· ἡ δὲ γνοῦσα, τὸν κύνα τὸν Ἄργον τὸν παγκράτιον ἐπέστησε φύ-

Αὕτη δ', Ὀρέστα, τῦ λυκοκτόνυ θεῦ
Ἀγορὰ Λύκειος· οὐξ ἀριστερᾶς δ' ὅδε,
Ἥρας ὁ κλεινὸς ναός· οἵ δ' ἱκάνομεν,
Φάσκειν Μυκήνας τὰς πολυχρύσυς ὁρᾶν,
Πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε·
Ὅθεν σὲ πατρὸς ἐκ φόνων ἐγώ ποτε
Πρὸς σῆς ὁμαίμυ καὶ κασιγνήτης λαβὼν,
Ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην
Τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνυ.
Νῦν ἦν, Ὀρέστα, καὶ σὺ φίλτα]ε ξένων
Πυλάδη, τί χρὴ δρᾶν, ἐν τάχει βυλευτέον·

λάττειν αὐτὴν, ὃν Ἑρμῆς ὑτὸ τῦ Διὸς πεμφθεὶς ἀπέκτεινεν. ἡ Ἥρα δὲ μὴ κατίχειν δυναμένη τὴν ζηλοτυπίαν, εἰς μανίαν αὐτὴν ἔτρεψεν. Ἡ δὲ ὑπὸ τῆς μανίας ἐλαυνομένη τὸ Ἰόνιον διεπέρασε πέλαγος, ἀφ' ἧς καὶ Ἰόνιον ὠνομάσθη.

Ib. Τῆς αἰγροπλῆγος] ἢ τῆς τῷ αἴγρῳ καὶ ἄρωτι τῦ Διὸς πληγείσης· ἢ αἶγρον λέγει, ἣν αὐτὴ ἡ Ἥρα ἐπέβαλεν, ὅτε ταύτην εἰς βῦν Ζεὺς μετέβαλε, βυλόμενος ἐκείνην λαθεῖν.

6. Αὕτη δ', Ὀρέστα] ὦκ ἄπ' ἄλλυ τινὸς πεῖται τὴν δεῖξιν ἢ ἀπὸ τῦ ἱερῦ τῦ Ἀπόλλωνος, ὅπερ ἀρχαιόταλον κατὰ τὴν ἐν τῷ Ἄργει ἀγορὰν, ἐν ᾧ καὶ τῶν βασιλέων, περὶ ὧ πρόσθεν εἰρήκαμεν· ἔστι δὲ καλανδικὸν τῶν νομέων Διός. Παραγενόμενος δὲ εἰς Ἄργος ὁ τροφεὺς δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει (λέγων, ἔστιν ὅπ ἄπωθεν τῶν Μυκηνῶν, ἀλλ' ἐξ ἀπόστα φαίνεται) καὶ τὸν ναὸν τῆς Ἥρας ἐξ ἀριστερᾶς ὄντα Μυκηνῶν τοῖς ἀπὸ Κορίνθυ οἰκοῦσι· Λυκοκτόνον δὲ τὸν Ἀπόλλωνα, οἱ μὲν διὰ τὸ νόμιμον εἶναι τὸν ἐπιβάλλοντα αὐτῶν φονεύειν (διὸ καὶ λύκος αὐτῷ φησὶ Σύεσθαι ἐν Ἄργει) οἱ δὲ διὰ τὸ ἱερὸν εἶναι τὸ ζῶον, ὡς καὶ τῆς Ἀρτέμιδος τὰς ἐλάφυς. Ὅθεν καὶ τῷ νομίσματι τῶν Ἀργείων ἐγχαράττεσθαί φασι λύκυς, ὡς καὶ τὰς γλαῦκας Ἀθήνησι.

Ib. Λυκοκτόνυ Διῦ] λυκοκτόνος ὁ Ἀπόλλων καλεῖται, ὡς πολε λύκων κτείνας. Τὸ δὲ ἀληθὲς ὕτως ἔχει, Ἀπόλλων ἀλληγορεῖται ὡς ἥλιος, ᾧ τῇ παρυσίᾳ τὸ λυκόφως ἀφανίζεται, λύκων χρειὰν ἴσχων, διὸ καὶ τῶνομα ἔσχε. Τόπος δὲ ἐν Ἄργει ἦν λυκοκτόνυ Ἀπόλλωνος ἱερὸν ἔχων, καὶ προσαγορευόμενος ἐνθεῦθεν Λύκειος ἀγορά.

7. Ἀγορὰ Λύκειος] τόπος ἐνθα συνηθροίζοντο, ὥτως ὀνομαζόμενος· ἦν δὲ ἀφιερωμένος τῷ Ἀπόλλωνι. Λέγεται δὲ ὁ Ἀπόλλων Λύκειος Λύκειον δὲ ἀθετέρως, γυμνάσιον ἐν Ἀθήναις.

Ib. Οὐξ ἀριστερᾶς] ἔστι γὰρ ἐξ ἀριστερᾶς τῶν Μυκηνῶν τοῖς ἀπὸ Κορίνθυ εἰσιῦσιν, Ἥραιναί. Ἐκ Φωκίδος δὲ παραγενόμενοι, διὰ Κορίνθυ ποιῦνται τὴν ὁδόν.

8. Οἵ δ' ἱκάνομεν] ὕτοι κατελάβομεν.

9. Φάσκειν] Θέλει λέγειν. Ἤγων, νόμιζ, ὁρᾶν Μυκήνας τὰς πολυπλόυτυς. Οὐκ ἄπωθεν τῶν Μυκηνῶν ἐστὶ τὸ Ἄργος, ἀλλ' ἐξ ἀπόπτυ φαίνεται.

10. Πολύφθορόν τε] ἐν ᾧ πολλαὶ φθοραὶ καὶ φόνοι ἐγένοντο.

11. Ὅθεν φόνων] ἀφ' ὧ χρόνυ ἐγένοντο οἱ φόνοι τῦ πατρός συ.

12. Ὁμαίμυ καὶ κασιγνήτης] ἐκ παραλλήλυ.

14. Τοσόνδ' ἐς ἥβης] τὸ βραχὺ τῆς ἡλικίας δηλοῖ, ὡς περὶ παιδαρίυ ἄπω βαδίσαι δυναμένυ. Ἤγων, εἰς τοσῦτον μίτρον ἥβης, ἦν μίτρει τοσαύτης ἀκμῆς ἡλικίας.

15. Νῦν ἦν] βάσις.

Ib. Φίλτα]ε ξένων] κυρίως ξένος, ὁ φίλος, ὃς ἂν ποιῆσῃ τὶς ἐν τῇ πατρίδι ἀπὸ ξένης ἐλθόντα.

17. Ἠλί-

Ὡς ἡμῖν ἤδη λαμπρὸν ἡλίου σέλας,
Ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ·
Μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.
Πρὶν ἔν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
Ξυνάπτελον λόγοισιν· ὡς ἐνταῦθ' ἐμὲν
Ἵν' ὐκέτ' οἰκεῖν καιρὸς, ἀλλ' ἔργων ἀκμή.
ΟΡΕ. Ὦ φίλτατ' ἀνδρῶν πρόσπολων, ὡς μοι σαφῆ
Σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
Ὡσπερ γὰρ ἵππος εὐγενὴς, κἂν ᾖ γέρων,
Ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
Ἀλλ' ὀρθὸν ὦς ἵησιν· ὡσαύτως δὲ σὺ
Ἡμᾶς τ' ὀτρύνεις, κἀυτὸς ἐν πρώτοις ἕπῃ.
Τοιγὰρ, τὰ μὲν δόξαντα δηλώσω· σὺ δὲ

17. Ἡλίου σέλας] ἢ τὸ σέλας αἰτιατικὴν νοητέον, τὸ δὲ φθέγμαθα εὐθείαν, ὕστως, ὡς ἤδη τὰ πρώϊνὰ φθέγματα τῶν ὀρνίθων σαφῆ κινεῖ καὶ φέρει ἡμῖν τὸ λαμπρὸν φέγγος τοῦ ἡλίου τοῦτ' ἔστιν, αἱ ὀρθρινοὶ τῶν ἀλεκτόρων φωναὶ ἤδη μῶσαι ἡμῖν ἤδη μαντεύονται· ἢ τὸ μὲν σέλας ἔχω εὐθεῖα, τὸ δὲ φθέγματα αἰτιατικὴν, ὕστως, ὡς ἤδη τὸ λαμπρὸν σέλας τοῦ ἡλίου κινεῖ καὶ φέρει ἡμῖν σαφῆ τὰ ἑῷα καὶ πρώϊνὰ φθέγματα τῶν ὀρνίθων. Τοῦτ' ἔστιν, ἤδη πρόϊσα ἡ ἡμέρα τὰς ὀρθρινὰς ἡμῖν φωνὰς τῶν ὀρνίθων ἀνίησι.

19. Μέλαινά τ' ἄστρων] ἐχρῆν οὕτως εἰπεῖν, μελαίνης νυκτὸς τὰ ἄστρα ἐκλέλοιπεν· ὡς τὸ, Ὁ δὲ χασσάμενος πελεμίχθη. Ἢ οὕτως, ἐκλέλοιπε τῶν ἄστρων ἡ μέλαινα εὐφρόνη· ἵν' ᾖ τὸ ἄστρων πρὸς τὸ ἐκλέλοιπεν.

21. Ξυνάπτελον λόγοισιν] ἤγων, συνέσχισθα διὰ λόγων.

Ib. Ἐμὲν] ἀντὶ τοῦ ἐσμέν. Ἀναλογώτερον δὲ τὸ ἐμὲν τὸ ἐσμέν· ἀπὸ τούτου γὰρ γίνεται τὸ ἐσμὲν, πλεονασμῷ τοῦ σ.

22. Ἀκμὴ] σπουδή. Πιθανῶς δὲ ἐγείρει τὸν ἀκροατὴν προσέχειν τοῖς ἔργοις, ἃ ταχέως συμβουλεύει τελεσθῆναι.

23. Ὦ φίλτατ' ἀνδρῶν] διδάσκει ἡμᾶς μηδ' οἱῶν ἀνδρῶν δεῖ τὸ ἀτύφλητον ποιεῖν καὶ λίγειν.

24. Ἔσθλὸς εἰς ἡμᾶς γεγώς] τὸ εἶναι πιστὸς εἰς ἡμᾶς.

Ib. Εἰς ἡμᾶς γεγὼς] ἀντὶ τοῦ εἰπεῖν, γεγενῆσθαι εἰς ἡμᾶς ἐσθλὸς, πρὸς μετοχὴν ἔρχεται, ὃ καὶ κρεῖττον.

25. Ὥσπερ γὰρ] κατασκευὴ τῆς προθάσεως ἐκ παραδείγματος.

Ib. Εὐγενὴς] ἀπὸ ἀγαθοῦ γένους. Εὐγενεῖς, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. Γένος γὰρ, καὶ ἡ πατρὶς καὶ ἡ γενεά. Εὐπατρίδαι δὲ παρὰ Ἀττικαῖς οἱ αὐτόχθονες, καὶ κατὰ τοῦτο περιφανεῖς, ὧν οἱ εὖ ἔχοντες ἕνεκα τῆς πατρίδος, ὡς εἶναι τὰς εὐγενεῖς ἐπιπλέον τῶν εὐπατριδῶν. Ὥστε οὔτις εὐπατρίδης, καὶ εὐγενὴς· ἀ μὴν οὕτις εὐγενὴς, καὶ εὐπατρίδης. Εἴη γὰρ ἂν κατὰ τὸ ἕτερον μέρος εὐγενὴς, ἀ κατὰ τὴν πατρίδα· ὡς ἐνταῦθα εὐγενὴς ἵππος, ὁ ἀπὸ ἀγαθοῦ γένους, ἀ μὴν ὁ εὖ ἔχων ἕνεκα πατρίδος. Οὐ γὰρ ἔχασιν οἱ ἵπποι πατρίδας· ἀπὸ τούτων εὐγενὴς ψυχὴ, εὐγενὴς λόγος, καὶ εὐγενὲς ἦθος.

26. Ἐν τοῖσι δεινοῖς] ἐν τοῖς πολέμοις.

Ib. Θυμὸν] Ἀντὶ τοῦ θυμοειδὲς καὶ διηγερμένον, ἤγουν, τὴν προθυμίαν.

28. Ἐν πρώτοις ἕπῃ] ἀκολουθῇς, διὰ τὴν ἀπὸ τοῦ γήρως εὐβουλίαν.

29. Τοιγὰρ, τὰ] βάσις καὶ προκατάσκευις.

Ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδὰς,
Εἰ μή τι καιρῷ τυγχάνω, μεθάρμοσον.
Ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ Πυθικὸν
Μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ πατρὸς
Δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
Χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσῃ τάχα·
" Ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ,
" Δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς."
Ὅτ' ἂν τοιόνδε χρῆσμὸν εἰσηκούσαμεν,
Σὺ μὲν μολὼν, ὅταν σὲ καιρὸς εἰσάγῃ,
Δόμων ἔσω τῶνδ', ἴσθι πᾶν τὸ δρώμενον.
Ὅπως ἂν εἰδὼς, ἡμῖν ἀγγείλῃς σαφῆ.
Οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
Γνῶσ', ἀλλ' ὑποπτεύσωσιν ὧδ' ἠνθισμένον.
Λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεὺς, πατρὸς δ' ἀνδρὸς Φανοτέως ἥκων· ὁ γὰρ

31. Εἰ μή τι καιρῷ] εἴ τι σοι δοκῶ μὴ καλῶς βεβουλεῦσθαι, μεθάρμοσον· ὃ ἐστιν, ἐπανόρθωσον· ἔοικε δὲ ἀγάσασθαι τὸν νεανίσκον, ὅτι μὴ πάνυ αὐθέκαστος φαίνεται. Ἐπὶ μουσικῆς δὲ κυρίως λέγεται τὸ μεθαρμόζειν, ἤγουν, τὸ μεταλιθίναι τὴν ἁρμονίαν.

32. Ἐγὼ γὰρ ἡνίχ' ἱκόμην] διὰ τῆς διηγήσεως ταύτης τὸ λεῖπον τῆς ἱστορίας προσαναπλήρωσιν ἡμῖν.

34. Ἀροίμην] ἀντὶ τοῦ λάβοιμι. Ἀραίμην, μακρὸν τὸ α, ἐπεὶ ἀπὸ τοῦ ἀορίστου ἀροίμην δὲ, βραχύ, ἐπεὶ ἀπὸ τοῦ μέλλοντος.

35. Χρῇ] ἔχρησεν, ἀνεῖλεν.

36. Ἄσκευον αὐτὸν] ἢ αὐτὸν τὸν Αἴγισθον ἀπαρασκεύαστον ὄντα, ἢ τὸν Ὀρέστην, οἷον, μὴ μετὰ πολέμου ἐπεμβῆναι.

38. Ὅτ' ἂν τοιόνδε] συμβουλὴ τοῦ δεῖ τὰ προκείμενα σκοπεῖν ἄψασθαι.

42. Οὐ γάρ σε μὴ γήρᾳ τε] τοῦ πιθανοῦ χάριν οὕτως εἶπε· ἐὰν μὴ γὰρ ἀναγνωρίσωσιν, ἀλλ' ὑποπτεύσωσιν, ἤγουν, ὑπονοήσωσιν οὕτως ἠνθισμένον, τουτέστι, κεχρωματισμένον ὑπὸ γήρως καὶ χρόνου μακροῦ.

43. Ἠνθισμένον] ἢ γὰρ ἀναγνωρίσωσιν, ἀλλ' ὑπονοήσωσί σε οὕτω κεχρωματισμένον, ἤτοι, πεπολιωμένον ὑπὸ τοῦ γήρως, καὶ ὑπὸ τῆς χρόνου τοῦ μακροῦ ἠλλαγμένον κατὰ τὴν τοῦ σώματος διάθεσιν. Πρῶτον μὲν γὰρ νέος ἐξῆλθες, νῦν δὲ γηραιὸς ἐπανέρχῃ· ὥστε καὶ ἀπ' αὐτοῦ τοῦ εἴδους ἐκ ὑποπτεύσωσί σε ἀπαίτιόν εἶναι. Σημειωτέον δὲ τὴν μεταχείρισιν. Ἐπειδὴ γὰρ ὁ Ὀρέστης παρὰ τῷ Στροφίῳ ἐτρέφετο, ὁ μὲν Πυλάδης καὶ ὁ Ὀρέστης μέλλησιν εἰπεῖν ὅτι τὸ ἄγγος πρὸς Κλυταιμνήστραν ἄξουσιν, ὡς παρὰ Στροφίου πεμφθέντες· τῷ δὲ παιδαγωγῷ ὑποτίθενται εἰπεῖν ὡς παρὰ Φανοτέως ἥκει, πρεσβυτικὸς, ὡς φίλος, τοῦ Ὀρέστου θάνατον.

45. Φωκεὺς] τὸν Φωκέα προσθεὶς, ἐπήνεγκε Φανοτέα, ἀπὸ τοῦ ὅλου εἰς τὸ μερικὸν καταβαίνων. Ὁμοίως τῷ, Ἡ δ' ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη, Ἐς Πάφον. Ἐλέγοντο γὰρ ὁλοσχερέστερον

Μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
Ἄγγελλε δ' ὅρκῳ προστιθεὶς, ὅθ' ἕνεκα
Τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
Ἅθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
Δίφρων κυλισθείς. Ὧδ' ὁ μῦθος ἑσάτω.
Ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
Λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς
Στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν
Τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
Ὃ καὶ σὺ θάμνοις οἴσθά πω κεκρυμμένον.

θουγενίστερον μὲν Φωκεῖς, ἐπὶ μίσει δὲ Κρισσαῖοι, Φανοτεῖς. Πόλεως δὲ ὄνομα φασὶ τὸ Φανοτέων.

46. Δορυξένων] ἀντὶ τῶν φίλων. Κυρίως δὲ οἱ ἐν πολέμῳ γιγνόμενοι φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης.

47. Ἄγγελλε δ' ὅρκῳ] μὴ μικρολόγως τις ἐπιλάβηται ὡς κελεύοντος ἐπιορκεῖν τῷ ποιητῇ· δεῖ γὰρ αὐτὸν πείθεσθαι τῷ Διῒ τὸ πᾶν δόλῳ πράσσειν παρακελευομένῳ. Ὥστε ἐν εἰς δεκὰ ἐπιορκῶν δυσσεβεῖν, διὰ τούτων εὐσεβεῖ πειθόμενος τῷ Διῒ. Ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος, ὡς ἐν Φωκίδι τρεφόμενον καταβῆναι εἰς τὰ Πύθια· ἀπῆκται δὲ τοῖς χρόνοις· ἐπὶ Τριπτολέμου γάρ φασι γενέσθαι Πυθικὸν ἀγῶνα ἑξακοσίοις ἔτεσιν ὕστερον. Τοῦτο δὲ ἀντιστρόφως λέγεται, ἀντὶ τοῦ προστιθεὶς τὸν ὅρκον τῇ ἀγγελίᾳ.

48. Ἐξ ἀναγκαίας τύχης] βιαίως· οἷον ἀναγκαστῶ μόρῳ, καὶ ἐκ ἐκ ταυτομάτου, ἐκ βίας, ἐκ συντυχίας, ἐκ ἰδίου θανάτου

49. Ἅθλοισι Πυθικοῖσιν] τοῖς χρόνοις ἀθλοῦνται. Νεώτερος γὰρ Ὀρέστου ἐστὶν ὁ Πυθικὸς ἀγών.

Ib. Πυθικοῖσι] τέσσαρες ἀγῶνες μεγάλοι ἐν Ἑλλάδι ἐγίνοντο. Ὁ τῶν Ὀλυμπίων, ὁ τῶν Νεμέων, ἀμφότεροι εἰς Δία· ὁ τῶν Ἰσθμίων, εἰς Ποσειδῶνα· ὁ τῶν Πυθίων, εἰς τὸν Ἀπόλλωνα.

50. Ὧδ' ὁ μῦθος ἑσάτω] ἡ ἔκβασις τοῦ λόγου, ἢ τὸ κεφάλαιον. Πιθανὸν δὲ τὸ, ἐν Φωκίδι ἀνατρεφόμενον τὰ Πύθια ἀγωνίζεσθαι.

Ib. Ἑσάτω] ἐλεύσθω.

Ib. Ἑσάτω] Εἰ μὲν σημαίνει τὸ σταθήτω, δασύνεσθαι ἀπὸ τοῦ ἵστημι· ὁ παρακείμενος ἕσταμαι· ἑστάκης, ἕστακε. τὸ προστακτικὸν, ἕστακι, ἑστάτω, καὶ κατὰ συγκοπὴν, ἑστάτω. Εἰ δὲ σημαίνει τὸ ὑπαρχέτω, ψιλοῦται ἀπὸ τοῦ εἰμὶ, τὸ τληθυντικὸν ἐμέν· καὶ τὸ προστακτικὸν, ἔσθι· καὶ ἐπιθέσει τοῦ σ, καὶ τροπῇ τοῦ ε εἰς ι, ἴσθι· τὸ τρίτον, ἔστω. Ἐφύλαξε δὲ τὸ ὀφειλόμενον ε. Καὶ ποιητικῶς, ἑσάτω.

51. Ὡς ἐφίετο] ὁ Ἀπόλλων, δηλονότι, ὡς ἐκέλευεν.

52. Λοιβαῖσι πρῶτον καὶ καρατόμοις] τοῖς ἀπὸ κρατὸς τετμημένοις βοστρύχοις. Αἴγιοι δ' ἂν χλιδὰς, ἤτοι, καθὸν τὰς πλοκάμους, οἷ εἰσι τρυφὴ τῆς κεφαλῆς. Ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ. Ἄλλως· καραλόμοις θρίξιν ὤφειλεν εἰπεῖν· ἐπὶ δὲ αἱ τρίχες ἀδρότητα καὶ καλλωπισμὸν ἐμπαρέχουσιν τοῖς ἀνθρώποις, φησὶ καρατόμοις χλιδαῖς.

54. Τύπωμα] τὸ ἄγγος, τὴν ὑδρίαν, ἐν ᾗ δόθεν τὰ δοκοῦντα εἶναι ὀστᾶ Ὀρέστου ἀπέκειτο.

Ib. Ἠρμένοι] ἀντὶ τοῦ ἠρμένον ἔχοντες ὅμοιον τῷ, ὠώγωνα καθειμένος, ἀντὶ τοῦ κεχαλασμένον ἔχων.

55. Ὃ καὶ σὺ θάμνοις] θαμνώδη φυτά εἰσι τὰ πρόσγεια, καὶ μὴ εἰς ὕψος αἰρόμενα.

56. Κλέ-

Ὅπως λόγῳ κλέπτονῆες*, ἡδεῖαν φάτιν
Φέροιμεν αὐτοῖς, τἀμὸν ὡς ἔρρει δέμας
Φλογισὸν ἤδη, καὶ κατηνθρακωμένον.
Τί γάρ με λυπεῖ τῆθ', ὅταν λόγῳ θανὼν,
Ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος;
Δοκῶ μὲν ὀδὲν ῥῆμα σὺν κέρδει κακόν.
Ἤδη γὰρ εἶδον πολλάκις καὶ τὰς σοφὰς
Λόγῳ μάτην θνήσκοντας· εἶθ' ὅταν δόμους
Ἔλθωσιν, αὖθις ἐκλάμπονται πλέον·
Ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
Δεδορκότ' ἐχθροῖς ἄστρον ὡς, λάμψειν ἔτι.
Ἀλλ', ὦ πατρῴα γῆ, θεοί τ' ἐγχώριοι,
Δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
Σύ τ', ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
Δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος.
Καὶ μή μ' ἄτιμον τῆσδ' ἀποσείλητε γῆς,
Ἀλλ' ἀρχέπλουτον, καὶ καταστάτην δόμων.

* Turn. in marg. θνήσκοντες.

56. Κλέπτονῆες] ἀπατῶντες, παραλογιζόμενοι. Ὅμηρος, "Κλέπτε νόῳ".

62. Ἤδη γὰρ εἶδον] Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ, λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς τεθνηκὼς εἴη· καὶ μετὰ ταῦτα ἐπιφανὴς, περὶ παλιγγενεσίας καὶ τῶν καθ' ᾅδου τινὰ ἐπιρρατεύετο· διηγόμενος πρὸς τὰς ζώντας περὶ τῶν οἰκείων, οἷς ἐν ᾅδου συντετυχηκέναι ἔλεγεν. Ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν, ὡς πρὸ μὲν τῶν Τρωϊκῶν Αἰθαλίδης ἦν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος, εἶτα Πυθιος ὁ Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας· εἰς τοῦτο δὲ ἦν ἐοικὼς ἀποστέλλεσθαι ὁ Σοφοκλῆς. Ἔνιοι δὲ οἴονται, ἀπιθάνως εἰς Ὀδυσσέα ἀποτείνεσθαι. Οὐ γὰρ πέπρακταί τι τοιοῦτον Ὀδυσσεῖ. Ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα, καὶ μὴ τῶν θαυμαζῶν εἶναι δόξῃ ἐν τραγῳδίᾳ. Καὶ μύθῳ παλαιῷ τετόλμηκέ τι κακόηθες εἰκεῖν, καὶ προσκρουσικὸν εἰς τὸς καθ' ἑαυτὸν, ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ.

65 Ὡς κἄμ'] διὰ τὸ μέτρον ἴσως ἔστω γίνεται· ἥρμοζε γὰρ μᾶλλον, ὡς κἀγὼ ἐπαυχῶ, καθὰ πίποιθα καὶ ἐμὲ ζῶντα λάμψειν τοῖς ἐχθροῖς εἰς τὸ ἐξῆς ὥσπερ ἄστρον, ἀπὸ τῆς φήμης ταύτης.

68. Ταῖσδε ταῖς ὁδοῖς] αὐτὴ τῇ, ταύτῃ τῇ ὁδῷ, ἦγον, κατὰ ταύτην τὴν ὁδόν.

Ib. Δέξασθέ μ' εὐτυχοῦντα] ἐκ' εὐτυχίᾳ με δέξασθε, ὥστε ταύτας τὰς ὁδὸς τελεσθῆναι. Ἢ ἵνα. δέξασθέ με εὐτυχοῦντα καὶ εὐτυχῶς ἐπιχειροῦντα ταύταις ταῖς μηχαναῖς.

71. Καὶ μὴ ἀποσείλητε] αὐτὶ τοῦ ἀποπέμψητε ἐμὲ ἄτιμον, ἦγουν, ἄδοξον τῆσδε τῆς γῆς.

72. Ἀρχέπλουτον] ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀπολαβόμενον.

Ib. Καταστάτην] εὐτρεπιστήν.

73. Εἶρπε

Εἴρηκα μὲν νῦν ταῦτα· σοὶ δ' ἤδη, γέρων,
Τὸ σὸν μελέσθω βάντι φροιμῆσαι χρέος·
Νῷν δ' ἔξιμεν· καιρὸς γάρ, ὅσπερ ἀνδράσι
Μέγιστος ἔργῳ παντός ἐς ἐπισάτης.
ΗΛΕ. Ἰώ μοι, μοι, δύστηνος.
ΠΑΙ. Καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
Ὑποστενάσης ἔνδον αἰσθέσθαι, τέκνον.
ΟΡΕ. Ἆρ' ἔστιν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
Μείνωμεν αὐτοῦ, κἀναπύσωμεν γόων;
ΠΑΙ. Ἥκιστα. Μηδὲν, πρόσθεν ἢ τὰ Λοξίου;
Πειρώμεθ' ἔρδειν, κἀπὸ τῶνδ' ἀρχηγετεῖν;
Πατρὸς χέουσες λυτρά· ταῦτα γὰρ φέρει
Νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.

73. Εἴρηκα μὲν] κατὰ τὸ παρὸν ταῦτα ἱκανὰ ἐλλείπει· κατὰ ἀπόθεσιν λέγεται, ὡς τὸ, εἶν· καί, ταῦτα μὲν δὴ ταῦτα· καὶ ταῦτα μὲν ἄτης· καὶ εἴρηται λόγος, καὶ τὰ τοιαῦτα.

Ib. Σοὶ δ' ἤδη, γέρων] σοὶ δὲ ἀπὸ τοῦ νῦν ὦ γέρον, μελέτω τὸ σὸν, ἤγουν, ὅπερ ἐτάχθη· καὶ χρεωστῖς πληρῶσαι, λέγω τὸ προστεθὲν καλασκοπῆσαι. Καιρὸς γὰρ νῦν ἐστὶ σὺν ἐλλείποντος ἐστὶ τοῖς ἀνδράσι μέγιστος ἐπισάτης, ἤγουν ἡγεμὼν ἔργου παντός.

75. Νῷν δ' ἔξιμεν] ἐξίναι βούλονται διὰ τὴν ὑστεροῦσαν τοῦ χορῦ.

Ib. Καιρὸς γὰρ, ὅσπερ] ἴσον πράγμα τοῦτο τὸ καίριον καὶ χρησιμώταλον, ὁ καιρός ἐστιν ὅτε καὶ τὸ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ τῆς φύσεως τοῦ νοσήματος διαλεγόμενον, ἢ τις τοῖς μεθύσοις περὶ σωφροσύνης διαλέγοιτο.

78. Καὶ μὴν θυρῶν] τὸ ἐξῆς, ἔδοξα θυρῶν ἀκοῦσαι προσπόλων τινὸς ὑποστενάσης· οὐ γέρων οὐκ ἐπιβέβηκε τῷ ἀληθεῖ, ἀλλ' ἀποσῆσαι βουλόμενος τὸν Ὀρέστην, προσπόλων τινὸς φησίν.

80. Ἆρ' ἔστιν ἡ δύστηνος] ὑπὸ νεότητος Ὀρέστης παράγεται φιλοπευστεῖν· ὁ δὲ περισβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει.

82. Μηδὲν, πρόσθεν] ἄμεινον μὲν εἰς τὸ χρήσιμον συμβουλεύει πείθεσθαι τῷ θεῷ, ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν. Διελύθη γὰρ ἂν τὸ σῶν ἐξ ἀρχῆς μηνυθέντος Ὀρέστου.

83. Πειρώμεθ' ἔρδειν] Ἐρωτήσαντες τὸν Ὀρέστην, Φίλτατε ἵνα καρτερήσωμεν ἐνταῦθα καὶ ἀνακάσωμεν τῶν γόων; ἢ ἵνα παιδαγωγὸς, ἤγουν ἄλλα χέοντες λυτρὰ ἐπὶ τὸν τάφον τοῦ παιδὸς, τοῦ σοῦ, ἐλλοντὸς, πειρώμεθα, ἤγουν, σπουδάσωμεν, μηδὲν ἄλλο πράττειν, ἢ τοῦτο ἐλλοντός. Καὶ μετὰ ταῦτα χρὴ ἀρχηγετῶν, ἤγουν, ἀρχὴν ποιεῖσθαι εἰς σὲ λοιτά

84. Πατρὸς χέοντες λυτρὰ] διότι αἱ θυσίαι αἱ πρὸς ἐκείνον ἐπὶ καλῷ ἑαυτῶν γενήσεσθαι ἔμελλον, διὰ τοῦτο λυτρὰ ταύτας καλεῖ, ὡς ὁ θάρσια τῷ μιάσματος, ὃ ἔμελλεν κτήσασθαι εἰ Κλυταιμνήστραν καὶ Αἴγισθον ἀπέκτειναν. Μὴ γὰρ ὅτι ὡς δίκαιοι ἦσαν ὅτοι τοῦτο ἐποίησαν, ἀλλ' ὅτι πᾶς φόνος μίασμά ἐστιν.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΗΛΕ. Ὦ φάος ἀγνὸν, καὶ γῆς
Ἰσόμοιρος ἀὴρ, ὡς μοι
Πολλὰς μὲν θρήνων ᾠδὰς,
Πολλὰς δ' ἀντήρεις ἤσθε
Στέρνων πλαγὰς αἱμασσομένων,
Ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
Τὸ δὲ πανυχίδων ἤδη συγεραὶ
Ξυγίσασ' εὐναὶ μογερῶν οἴκων,
Ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ

5. Ὦ φάος ἀγνὸν] ὁλόφυρσις ἐστὶ τῆς Ἠλέκτρας ἐν ταῖς μετῳδίαις· ὅπερ σύνηθες τοῖς τραγικοῖς, κινητικὸν τῶν πάνδεκτον. Τοῦτο δὲ τὸ πρόσωπον εὐνοῦν ἐστὶ τῷ ἀποδυνόντι. Ἐπεὶ δὲ ἃ μέλλει πρὸς τὸν Θεαλὰς ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι, ὡς ἀπομεμφομένη τοῖς θεοῖς, ἡ μάρτυρας τῶν θρήνων καλοῦσα, πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον· καὶ ὥστε ἡμῖν ἐπιλαθήσεται, ὅπως διέκειτο ἐπὶ τῷ συμβάντι κατὰ τὸν πατέρα. Ἰσομοιρον δέ φησιν εἶναι τὴν γῆν τῷ ἀέρι, παρ' ὅσον παραλείπειν ἀλλήλοις τὰ στοιχεῖα πρέπει. Καὶ τοῖς φιλοσόφοις ἴσως δοκεῖ εἶναι κατὰ ἀνάλυσιν ὁ ἀὴρ τῇ γῇ· συνίσταται γὰρ ἡ γῆ· εἰ δὲ διαλυθῇ, ἰσωθήσεται αὐτῷ. Οὕτως ἔχει καὶ τὸ Ἡσιόδειον, Γαῖα δὲ σοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ Οὐρανόν. Ἰσόμοιρον δὲ γῆς ἀέρα τὸν σκότον φησὶν, ἵνα τὸ φάος ἀγνὸν ἀντιδιαστέλληται· καὶ γῆς, φησὶν, ἰσόμοιρος ἀὴρ, ἴσην μοῖραν ἔχων τῇ γῇ· πανταχοῦ γὰρ ἐστιν ἀήρ. Ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα. Ἰσότιμα γὰρ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις. Τινὲς δέ, ὅτι μέση αἴρος ἐστὶν ἡ γῆ, διὰ τὰ ἀπὸ κέντρου διαστήματα ἰσόμοιρος ὢν διὰ τὸ ἴσον ἀπέχειν πανταχόθεν τῆς γῆς· καὶ ταῦτα δὲ Φερεκράτης παρῴδηκεν· τὸ δὲ ἀὴρ τὸ α συνίζησιλε διὰ ῥυθμὸν ἢ μέτρον. Ἄλλως· κατὰ τὴν ἴσην ἰναλυτότητα ἐστὶν ὁ μὲν ἀὴρ ἰσόμοιρος τῆς γῆς· τὸ δὲ ὕδωρ, τῷ αἰθέρι· ἔστι γὰρ ὁ μὲν ἀὴρ θερμὸς καὶ ὑγρὸς, ἐξαίρετον ἔχων τὸ ὑγρόν· ἡ δὲ γῆ, ψυχρὰ καὶ ξηρὰ, ἐξαίρετον ἔχουσα τὸ ξηρόν· καὶ ὁ αἰθὴρ, θερμὸς καὶ ξηρὸς, ἐξαίρετον ἔχων τὸ θερμόν· τὸ δὲ ὕδωρ, ψυχρὸν καὶ ὑγρὸν, ἐξαίρετον ἔχον τὸ ψυχρόν.

87, 88. Ὡς μοι πολλὰς μὲν θρήνων] ὡς μοι σύνοιδας θρηνήσῃ καὶ κοπτομένῃ· τὸ δὲ κατάλληλον ὕστως, ὡς πολλὰς, μὲν φῶς ἥσθε, πολλὰς δὲ πλαγὰς, αἱμασσομένων τῶν στέρνων, τὸ δὲ, πλαγὰς ἀντήρεις, τραγικώτερόν πως ἀπήγγελται, ὥστε τὴν διάλυσιν αὐτῶν μὴ πάνυ ποιητικὴν εἶναι· μετῄκται δὲ ἀπὸ τῶν ἱερεσσόντων, οἷον, πλαγὰς κατὰ τὸ ἐπαυσίων τῶν στέρνων ἐλαυνομένας. Ἢ ἀντήρεις, ἀντιδίδεται· ἀντὶ τῷ ἴσας τοῖς θρήνοις· Μετῄκται ἀπὸ τῶν ἱερεσσόντων, ὅταν κατ' ἴσον ἐρίσσωσι, καὶ μὴ εἷς θατέρου περιαθῆται ἡ ναῦς. Ἀντήρεις δὴ, ἀντικτυπήσας τοῖς θρήνοις· θρηνῶσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἴσας.

89. Ἤσθε] ἀντὶ τῷ ἔμαθες.

90. Αἱμασσομένων] διὰ τούτων ἡ ἐπίτασις αἱμασσομένων δὲ, αἱματηρῶν γενομένων ὑπὸ τῶν πλήξεσθαι.

91. Ὁπόταν δνοφερὰ] ὅσα μὲν (φησὶ) διὰ νυκτὸς κλαίω, αἱ εὐναὶ ἴσασιν· ὅσα δὲ ἡμέρας, ὁ ἀὴρ καὶ τὸ φῶς· λέγει δὲ, ὅτι ἀκλαίστως ὅτε νυκτός ὅτε ἡμέρας κλαίουσα.

Ib. Ὑπολειφθῇ] παρέλθῃ.

94. Ὅσα τὸν δύστηνον] κατὰ βραχὺ ὑποδύνουσι τὰ τῆς ὑποθέσεως· ἴσως γὰρ ἐγνωμεν ὅτι ἀδελφὴ τῷ Ὀρέστῃ, καὶ διὰ τί θρηνεῖ.

Πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
Φοίνιος Ἄρης ἐκ ἐξείνισε,
Μήτηρ δ' ἡ 'μὴ, χ' ὡ κοινολεχὴς
Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
Σχίζουσι κάρα φονίῳ τελέκει.
Κἀδεὶς τάτων οἶκτος ἀπ' ἄλλης
Ἢ 'μᾶ φέρεται, σᾶ, πάτερ, ἔτως
Ἀδίκως οἰκτρῶς τε θανόντος.
Ἀλλ' ἐ μὲν δὴ λήξω θρήνων
Στυγερῶν τε γόων, ἔς' ἂν
Λεύσσω παμφεγγεῖς ἄστρων
Ῥιπὰς, λεύσσω δὲ τόδ' ἦμαρ, μὴ
Οὐ, τεκνολέτειρ' ὥς τις ἀηδὼν,
Ἐπὶ κωκυτῷ τῷνδε πατρώων
Πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.
Ὦ δῶμ' Ἀΐδα καὶ Περσεφόνης,

95. Ὃν κατὰ μὲν βάρβαρον] παρὰ τὸ ὑπὸ Ἀγαμέμνονος ἐν τῇ Νεκυίᾳ, Οὔτε με ἀνάρσιοι ἄνδρες, καὶ τὰ ἑξῆς· πάνυ δὲ περιπαθὴς ὁ λόγος, εἰ καὶ πολεμίων σικροτέρα ἐφάνη Κλυταιμνήστρα τῷ ἰδίῳ ἀνδρί· πάνυ γὰρ περιπαθὴς τὸ ἐπὶ τηλικούτῳ καὶ τοσαῦτα διαπρεξαμένῳ ἀπεῖν, ὅπως δρῦν ὑλοτόμοι. Τὸ δὲ ὅλον, μήτης δὲ ἐμὴ καὶ ὁ συγκαθεύδων αὐτῇ Αἴγισθος ἔσχισαν αὐτὸν κατὰ τὸ κάρα διὰ φονικῆ πελέκεως, καθὰ δρῦν διαξολόμοι, σχίζουσι δηλονότι. τὸ μὲν κάρα ἔχει τὸ πρότερον βραχύ, καὶ τὸ δεύτερον μακρὸν, παίσας κάρα θαῦξι. Τὸ δὲ κᾶπα, τὸ πρότερον μακρὸν, καὶ τὸ δεύτερον βραχύ.

104. Ἐς' ἂν λεύσσω] Ἕως σύτε, ἤγουν, ἕως ἂν βλέπω τὴν νύκτα. Τοῦτο δηλοῖ τὸ λεύσσω παμφαεῖς ῥιπὰς ἄστρων. τὸ δὲ σχῆμα περίφρασις· καὶ ἕως ἂν βλέπω ταύτην τὴν ἡμέραν, ἀλλ' οὐ λήξω τῶν συγγερῶν θρήνων καὶ γόων.

107. Οὐ τεκνολέτειρ'] Ζῆθος καὶ Κάλαϊς ἦσαν ἀδελφοὶ, καὶ ἴσχον γυναῖκας· ὁ μὲν Ζῆθος, τὴν Ἀηδόνα· ὁ δὲ Κάλαϊς, τὴν Χελιδόνα, καὶ ἀμφότεροι ἔσχον ἓν καὶ μόνον τέκνον. Καὶ τὸ μὲν Ζήθου καὶ Ἀηδόνος τέκνον ὠνομάζετο Ἴτυς· Τὸ δὲ τοῦ Καλαΐδου καὶ τῆς Χελιδόνος ὠνομάζετο . . . . ζηλοτυπήσασα οὖν ἡ Ἀηδὼν, ἐβούλησεν ἀνελεῖν τὸ τοῦ Καλαΐδος τέκνον. καὶ ἐλθοῦσα νυκτὸς θέλουσα ἀνελεῖν τὸ τοῦ Καλαΐδος, καὶ ἀπατηθεῖσα, ἀντὶ τὸν Ἴτυν τὸ ἴδιον τέκνον. καὶ διὰ τοῦτο μίσει τοῦ νῦν θρηνεῖ ἀκαμάτως. Οὕτω τινὲς ἐξηγοῦσιν· μὴ ὤ, ἀντὶ τοῦ ναί· αἱ γὰρ δύο φωνήεντα κατάθεσιν ποιοῦσι. ναί. Ὥσπερ τὸ ἠηδὼν τεκνολέτειρα, θέλουσα προφωνεῖν ἠχὼ ἐπὶ πᾶσι τοῖς παλαιοῖς καὶ νέοις κακοῖς, ἐπὶ κωκυτῷ καὶ θρήνῳ τῶνδε τῶν παλαιῶν πρὸ θυρῶν. Ἡ γὰρ μία φύσις ἐφ' ἑαυτὴν ἀναφερομένη τῆς ἄλλης.

Ib. Ὡς τις ἀηδὼν] ἡ τὸ ἴδιον τέκνον τὸν Ἴτυν, ἐν ἄμυναν τῶν πρὸς τὸν ἀνεψιὸν Τηρέα, μετὰ Φιλομήλας τῆς ἀδελφῆς ὑπ' ἐκείνου φθορήσης, ἀπεκτόνασαν τοῦτο δὲ λέγει, ὡς ὅτε ἐν ἡμέρᾳ, ὅτε ἐν νυκτὶ παταίμην τῶν θρήνων.

109. Ἠχὼ] ἀντὶ τῷ ἦχον, ὃ οἱ πολλοὶ ἠχὴν λέγουσιν· ἠχὼ γὰρ, τῆς φωνῆς ἀνάφθεγμα.

110. Ὦ δῶμ' Ἀΐδα] διὰ τοῦτο τὸν Πλού-

Ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' Ἀρὰ,
Σεμναί τε θεῶν παῖδες Ἐριννύες,
Τὸς * ἀδίκως θνήσκοντας ὁρᾶτε,
Τὸς τὰς εὐκὰς ὑποκλεπτομένους·
Ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
Φόνον ἡμετέρου·
Καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν·
Μόνη γὰρ ἄγειν ἀκέτι σωκῶ
Λύπης ἀντίῤῥοπον ἄχθος.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὦ παῖ, παῖ, δυστανοτάτας
Ἠλέκτρα ματρὸς, τίν' ἀεὶ

* Aldus, ἀδίκους.

σμνα καὶ τὴν Περσεφόνην καλεῖ καὶ τὸν ὑποχθόνιον Ἑρμῆν εἰς ἐκδίκησιν τοῦ πατρὸς, διὰ τὸ ἐν ᾅδου κεῖσθαι αὐτόν. Ἀρὰν δὲ λέγει, ἣν καθ' ἑκάστην κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου πρὸς τοὺς Θεοὺς ἐποίησεν, ἣν ὡς δικαίως πεμπομένην πότνιαν ὀνομάζει. Τὰς γε μὴν Ἐριννύας ἀρ' οὐκ ἂν εἴποις ὡς διὰ τοῦτο ἐπιθεῖται ὡς τοὺς φονεῖς καὶ κακούργως τιμωρημένας.

111. Ὦ χθόνι'] Ἡ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι ὡς μεμφομένη τοῖς Θεοῖς, ἢ μάρτυρα καλεῖ τούτους τῶν Ἐρίνων.

112. Σεμναί τε Θεῶν] εὐφήμως, ὡς καὶ τὸ Εὐμενίδες.

113. Τὸς ἀδίκως] οἱ γραφεῖς αἱ τοὺς ἀδίκως θνήσκοντας, ἀμαθεῖς τῶν μέτρων. διὸ περισσὸν τὸ αἱ ἐξεβλήθη παρ' ἡμῶν.

118. Σωκῶ] ἀντὶ τοῦ ἰσχύω. οἱ δὲ νεώτεροι, ἀντὶ τοῦ σώζω.

Ib. Μόνη γὰρ ἄγειν] οὕτω τοῦτο λέγει, Οὐκ ἔτι μόνη εὐναμαι φέρειν τὸ ἄχθος τῆς λύπης. Ποταπόν; ἀντίῤῥοπον καὶ ἴσον. Τοῦτ' ἔστιν, οὐκ ἐξισῶται τῇ ἐμῇ δυνάμει ἡ λύπη, ἵνα καὶ φέρω αὐτὴν· ἀλλὰ μείζων ἐστὶ, καὶ ὑπὲρ τὴν ἐμὴν εὐναμιν.

119. Ἀντίῤῥοπον] ἢ τὸ καταβαρῦν καὶ καταφερόμενον, ὃ φέρειν οὐ δύναμαι. Ἢ ἐπὶ τῶ Ὁμήρῳ ἀκόμεν δεῖ ἔτως τὸ ἀντίῤῥοπον, ὅπερ ἀνέχειν ἱκανὸς φέρειν παχὺς, ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν.

120. Ὦ παῖ, παῖ] πάροδός ἐστι χορῶν γυναικῶν τῇ Ἠλέκτρᾳ συναχθομένων.

Ib. Δυστανοτάτας] τῆς ἐξωλεστάτης· οὐ γὰρ πολοῦκτος ἐστὶν ὁ λόγος.

121. Τίν' ἀεὶ τάκεις] οἷον ὕπνῳ λέγεις, τίνα ἀκόρεστον οἰμωγὴν ἔχεις, τήκεις εἶπεν. Εἰκότως· τὸ γὰρ θρηνεῖν ἀεὶ καὶ λυπεῖσθαι, τῆξιν κατὰ μικρὸν καὶ δαπάνην τοῦ σώματος ἐργάζεται. Ἐπὶ καὶ τὸ τῆς λύπης ὄνομα οὐκ ἔστιν ἐστὶν ἀλλ' ἢ τῷ πίνω καὶ τῷ λιπαρῶ λέγεις. Μὴ λάθῃς δὲ ἐξωθεν τὸ διὰ εἰς τὸν Ἀγαμέμνονα, ὥσκερ ἅπαντες, σχεδὸν εἰπεῖν, ὑπ' ἀγνοίας γράφουσιν· ἀλλ' οὕτω λέγει, τίνα ἀκόρεστον οἰμωγὴν τήκεις· εἶτα ἑρμηνεύων τὴν οἰμωγὴν, ἥτις ἐστὶ, φησὶ, τὸν Ἀγαμέμνονα τὸν πάλαι κρατηθέντα ἐν ἀπάταις, καὶ τῆς ὁλιτρᾶς καὶ ἀθεωτάτης σῆς μητρὸς πρόδοτον, καὶ πρὸς δομένον κακῇ καὶ φονικῇ χειρί. Ὅμοιον δὲ καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις λέγει, "Γεῖτονες δὲ καρδίας μέριμναι ζωπυροῦσι τάρ-
"βος, τὸν ἀμφιτειχῆ λεών." Καὶ γὰρ ὁ καὶ ἐνταῦθα

Τάκεις ὦδ' ἀκόρεστον οἰμωγὰν,
Τὸν πάλαι ἐκ δολερᾶς ἀθεωτάτας
Ματρὸς ἀλόντ' ἀπάταις Ἀγαμέμνονα,
Κακᾷ τε χερὶ πρόδοτον;
Ὡς ὁ τάδε πορῶν
Ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.

ΣΤΡΟΦΗ Β.

ΗΛΕ. Ὦ γένεθλα γενναίων * πατέρων,
Ἥκετ' ἐμῶν καμάτων παραμύθιον.
Οἶδά τε καὶ ξυνίημι τάδ', ἅ τι με
Φυγγάνει, ἀδὲ θέλω προλιπεῖν τόγε,
Μὴ ἐ τὸν ἐμὸν σοναχεῖν πατέρ' ἄθλιον.
Ἀλλ', ὦ παντοίας
Φιλότητ]ος ἀμειβόμεναι χάριν,

* Turn. in marg. τοκίων.

ἐνταῦθα διὰ εἰς τὸ τὸν ἀμφιλιχῆ τιθέασιν. Εὐρήσεις δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσι τῶν ποιητῶν τοιαῦτα ἐξετάζων.

122. Ἀκόρεστον] ἀντὶ τοῦ ἀκορέστως.

124. Ματρὸς ἁλόντα] λίαν αἰδήμων ὁ χορὸς ἐπὶ τὸν Αἴγισθον τρέπει τὴν αἰτίαν. Καὶ γυναικῶν ἐστιν ἴδιον, μηδὲ ἐπὶ ταῖς προφανέσιν ἁμαρτήμασι χαλεπαίνειν ἄλλης γυναικός. Καὶ τὸ, Εἴ μοι θέμις τάδ' αὐδᾶν, λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξίν· ἐπὶ κατ' ἀρχόντων ἦν ὁ λόγος. Ἢ, ἐπὶ δοκεῖ δυσφημεῖν, φησὶν, εἰ δίκαιόν ἐστιν, ὅπως εὔχομαι.

128. Ὦ γένεθλα γενναίων] Ὦ γενεὰ εὐγενῶν πατέρων· ἦγεν, ὦ Συγγατέρες εὐγενῶν πατέρων, ἐλθέτε παραμύθιον τῶν ἐμῶν κακοπαθειῶν, οἶδα καὶ γὼ τόδε. Ἦγεν, ὅτι ἵνα παραμυθίας ἥκετε, ἅ τι μοι ἐκφύγει φλλ' ὅμως, ἐ θέλω καταλεῖψαι τόδε τὸ ζητεῖν. Ἆρα οὐκ ἔξεστί μοι σοναχεῖν τὸν ἐμὸν ἄθλιον πατέρα; ἀλλ', ὦ χορὸς γυναικῶν ἡ ἀμειβομένη χάριν παντοίας φιλότητος, παρακαλῶ ὑμᾶς, ἵστε με ἄδε αλύειν.

131. Φυγγάνει] ἦγεν, διαφεύγει· ἀπὸ τοῦ φεύγω γίνεται, φευγάνω· καὶ, ἐκβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ ν, εἶτα διὰ τὸ ἐπαγόμενον γ, τροπῇ τούτου εἰς γ, φυγγάνω. Οὕτω γίνεται καὶ τὸ τυγχάνω ἀπὸ τοῦ τεύχω ἀχρήστου, καὶ τὸ ἡνδάνω ἀπὸ τοῦ ἥδω, καὶ τὸ πυνθάνομαι ἀπὸ τοῦ πεύθομαι, καὶ τὸ ἐρυγγάνω ἀπὸ τοῦ ἐρεύγομαι, καὶ ἕτερα.

132. Μὴ ἐ τὸν] Ἀντὶ τοῦ, ἆρα οὐκ ἔξεστί μοι, ἀπὸ τῶν ἐκτὸς τόπο. Ἆρα οὐκ ἔξεστί μοι σοναχεῖν τὸν ἐμὸν πατέρα τὸν ἄθλιον; ἤτοι, μὴ καὶ ἐ αἱ δύο στερήσεις κατάθεσιν ποιοῦσιν. Ἡ γὰρ μία στέρησίς ἐστιν ἀναιρετικὴ τῆς ἄλλης. καὶ διὰ τοῦτο τὸ μὴ καὶ ἐ λαμβάνονται ἀντὶ τοῦ ναί. καὶ ἔστιν ὁ νοῦς τοιοῦτος· οἶδα καὶ συνίημι τάδε, ὅτι μὲ φυγγάνει, ἐδὲ ἐθέλω προλιπεῖν τόδε· ἦγεν, τὸ ζητεῖν ἀκορέστως. Ἀλλὰ θέλω ὀκνοῦσι σοναχεῖν τὸν ἐμὸν πατέρα τὸν ἄθλιον.

1b. Σταναχεῖν] Στενάχω, καὶ σοναχῶ τὸ αὐτό. Εἰσὶ δὲ καὶ ἀμφότερα ποιητικά.

134. Ἀμειβόμεναι χάριν] καλῶς εἶπε τὸ ἀμειβόμεναι· φίλη γὰρ καὶ αὕτη ἦν τούτων. τῶν φίλων δὲ πρὸς ἀλλήλους ἐστὶν ἡ ἀμοιβή.

135. Ἐάτε

Ἐᾶτέ μ' ὧδ' ἀλύειν·
Αἰ, αἰ, ἰκνοῦμαι.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἀλλ' ἤτοι τόν γ' ἐξ αἰῶνος
Παγκοίνου λίμνας πατέρ' ἀν-
σάσεις, ἤτε γόοισιν *, ἢ λιταῖς.
Ἀλλ' ἀπὸ τῶν μετρίων, ἐπ' ἀμήχανον
Ἄλγος ἀεὶ σενάχουσα διόλλυσαι.
Ἐν οἷς ἀνάλυσίς ἐσιν
Οὐδεμία κακῶν,
Τί μοι τῶν δυσφόρων ἐφίῃ;

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΗΛΕ. Νήπιος, ὅσις τῶν οἰκτρῶς
Οἰχομένων γονέων ἐπιλάθεται.

* Aldus, γόοις.

135. Ἐᾶτέ μ' ὧδε] τοιοῦτοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγορούμενοι, παρακαλοῦντες συγχωρεῖσθαι θρηνεῖν.

Ib. Ἀλύειν] ἐν ἄλλοις δυσφορεῖν σημαίνει. ἐνίοτε δὲ τὸ γεγηθέναι, ἀπὸ τῆς ἁλίας καὶ διαχύσεως. Ὅμηρος,

" Ἡ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλή-
" τη".

136. Ἰκνοῦμαι] ἀντὶ τοῦ παρακαλῶ· ἀφικνοῦμαι δὲ ἀντὶ τοῦ παραγίνομαι, καὶ εἴθάνω.

137. Ἀλλ' ἤτοι τόν γ' ἐξ αἰῶνος] Ὅμηρος,

" Οὐ γάρ τις πρῆξις εἰλεῖται κρυεροῖο γόοιο."

Ib. Ἀλλ' ἤτοι] Ἀλλ' οὐκ ἀναστήσεις τὸν σὸν πατέρα ἐκ τῆς λίμνης τῷ ᾄδειν τῷ παγκοίνῳ, ὅτι διὰ γόων, ὅτε διὰ παρακλησιῶν.

139. Οὔτε γόοισιν, ἢ λιταῖς] ὅτε ἐδυρομένη, ὅτε παρακαλοῦσα τοὺς θεοὺς· καὶ Αἰσχύλος·

" Μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἑρᾶ.
" Μόνος δ' ἀχεῖται γλυκερᾶς μέρος ἐλπί-
" δος."

Ib Οὐ λιταῖς] μὴ γράφε ἤτε λιτῶν, ἀλλὰ, ἢ λιταῖς· ἤτω γὰρ ἔχει τὸ κῶλον ὀρθῶς πρὸς τὸ τῆς γραφῆς. Οὐδὲν δὲ καινὸν εἰ καὶ τὸ τί λείπει· εὕρηται γὰρ πολλὰ τοιαῦτα.

140. Ἐπ' ἀμήχανον] ἤγουν, ἀνίκητον, καὶ ἀθεράπευτον, πρὸς ὃ οὐκ ἔζι τι μηχανήσασθαι.

142. Ἀνάλυσις] ἤγουν, ἀναπόδοσις, καὶ ὡς τὸ ἀρχαῖον ἐπάνοδος, κυλὰ γὰρ ἦν ἔξαρχῆς, ἵνα κακὰ γέγονεν. Εἰ δὲ τὰ κακὰ, ἀναλύσει, πρὸς τὰ ἀρχαῖα, ἤτοι τὰ κακὰ, ἀναλύσει.

144. Ἐφίῃ] ἐπιθυμεῖς. τί μοι (φησὶ) τούτων γλίχῃ, ἅπερ ἐζὶν οὐκ εὐκόλως φέρειν, θρήνους καὶ πένθη;

145. Νήπιος] ὁ ἐν βραχεῖ ὢν ἡλικίᾳ, καὶ ἀπὸ τούτου ὁ ἀνόητος.

147. Ἀρκεῖ]

Ἀλλ' ἐμέ γ' ἀ σονόεσσ' ἄραρε φρένας,
Ἄ Ἴτυν, αἰὲν Ἴτυν γ' ὀλοφύρεται,
Ὄρνις ἀτυζομένη, Διὸς ἄγγελος.
Ἰὼ παντλάμων
Νιόβα, σὲ δ' ἔγωγε νέμω θεὸν,
Ἅτ' ἐν τάφῳ πετραίῳ
Αἰ, αἰ, δακρύεις.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΧΟΡ. Οὗτοι σοὶ μόνᾳ, τέκνον,
Ἆχος ἐφάνη βροτῶν,
Πρὸς ὅ, τι σὺ τῶν ἔνδον εἶ περισσὰ,
Οἷς ὁμόθεν εἶ, καὶ γονᾷ ξύναιμος·

147. Ἀραρε] τὸ ἄραρε καὶ ἠρμέσθη πρὸς ὀυκὴν συντασσόμενον, ὐκ ἔχει χώραν ἐνταῦθα πρὸς τὸ ἐμέ· ἀλλὰ δεῖ λαμβάνειν ἐξωθεν εἰς πρόθεσιν. Ὥσπερ γάρ φαμεν τὸ χρεὼ βουλῆς ἐμέ τε καὶ σέ. Δέον γὰρ εἰπεῖν, ἐμοὶ καὶ σοὶ, ἵς ἐξωθεν λαμβάνομεν. Οὕτω καὶ τῆτ' ἔστ δὲ καθ' ὅλον καὶ μέρος· μέρος γὰρ τὸ φρένας τῶ ἐμέ· φασὶ δὲ καί τινες τὸ ἄραρεν ἀντὶ τῦ ἀρέσκει, ὐκ οἶδ' ὅπη τοῦθ' εὑρόντες ταύτην τὴν σημασίαν· ἧς ἰατέον.

149. Διὸς ἄγγελος] ἦγων, ἡ ἀηδών· διὰ τὸ τὰς ὑπ' αὐτῆ γενόμενον ἔλεον τῶ Διὸς τοῖς πᾶσιν ὑπεδεικνύειν ἢ μαρτυρεῖν αὐτὸν φιλάνθρωπον ἢ ὡς δι' αὐτῆς ὁ Ζεὺς τὸ ἔαρ ἑρμηνεύει· ἢ διὰ τὸ ἐν ἦαρι κατάρχεσθαι τῆς ᾠδῆς, ὅτι τὰ Διάσια ἐγίνετο, ἢ τις ἑορτὴ τῶ Διός.

152. Ἐν τάφῳ πετραίῳ] τυλίσιν, ἀπολιθωθεῖσα· καὶ Ὅμηρος·

"Ἐν Σιπύλῳ, ὅθι φασὶ Τυφωίος ἔμμεναι
"εὐνάς."

Ib. Ἐν τάφῳ πετραίῳ] Ἤγων, ἐν τῇ σήλῃ τῇ πετραίᾳ. Τὴν Νιόβην γὰρ μετέβαλεν ὁ Ζεὺς εἰς λίθον δι' αἰτίαν τοιαύτην· τέξασα τέκνα δώδεκα, ἄρσενα ἓξ, καὶ θήλεα τοσαῦτα, ἐκαυχήσατο, λέγουσα ἑαυτὴν εὐδαιμονεστέραν Λητῦς. Ὠθεν ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, παίδων Λητῦς, ἐφονεύθησαν ταύτης τῆς Νιόβης τὰ τέκνα. Ἡ δὲ ἰδοῦσα τὸν τοιῦτον φόνον, ἐθρήνει ἀπαύστως. ὁ δὲ Ζεὺς ᾠκτειρε ταύτην, καὶ εἰς λίθον μετέβαλε· ἡ δὲ καὶ ἕτω μέχρι τῦ νῦν ὁρᾶται καταδακρυχέουσα.

154. Οὗτοι σοὶ] Οὗτοι καὶ ἀδαμῶς σοὶ μόνῃ τῇ Ἠλέκτρᾳ ἐφάνη ἄχος ἀπὸ τῶν ἀνθρώπων· πρὸς ὅ, ἦγων, πρὸς τὸ ὁποῖον ἄχος, τί καὶ διατὶ σὺ ὑπάρχεις περισσὴ τῶν ἐσῶν ἐνδον; ἦγων, τῆς Χρυσοθέμιδος, καὶ τῆς Ἰφιανάσσης, οἷς ὑπάρχεις ξύναιμος τῇ γονῇ ὁμόθεν. Διὰθιβάζει καὶ σὺ αὐτὴ ζωὴν μετὰ παραμυθίας, καθὼς ζῇ ἡ Χρυσόθεμις, καὶ ἡ Ἰφιάνασσα, καὶ ὁ λυπούμενος ἐν τῇ κρυπῇ ὕδῃ τῆς νεότητος· ἦγων, ὁ Ὀρέστης.

156. Περισσὰ] πρὸς τὸ ἄχος περισσή· ἀντὶ τῦ ἀμείρων ἐν τῷ θρηνεῖν. Περισσῶς (φησὶν) ὀδύρῃ παρὰ τύτες, οἷς ἐκ τῦ αὐτῦ γένες τυγχάνεις. Ὥστε καὶ ἕτερόν τι διδάσκει ἡμᾶς. ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσι δύο μειρώτερον τὴν συμφορὰν φέρυσαι.

157. Οἷς ὁμόθεν] Ἔδει εἰπεῖν, οἷς· ἀλλ' ἐπειδὴ ἔμελλε καὶ τὸν Ὀρέστην συγκαταριθμῆσαι τῇ Χρυσοθέμιδι, καὶ τῇ Ἰφιανάσσῃ, διὰ τῦτο καὶ τὸ, οἷς, εἶπε. Τιμῶν τὸ τῦ ἄρσενικῶ ἀξίωμα.

158. Οἷς

Οἷα Χρυσόθεμις
Ζώει, καὶ Ἰφιάνασσα,
Κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ.
ΗΛΕ. Ὄλβιος, ὃν ἁ κλεινὰ
Γᾶ ποτὲ Μυκηναίων
Δέξεται εὐπατρίδαν, Διὸς εὔφρονι
Βήματι μολόντα τάνδε γᾶν
Ὀρέσαν, ὃν ἔγωγ' ἀκάματα
Προσμένουσ', ἄτεκνος,
Τάλαιν', ἀνύμφευτος αἰὲν οἰχνεῦ,
Δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον

158. Οἷα Χρυσόθεμις] τὸ οἷα τινὲς ἀπὸ τοῦ καθὰ λέγουσι, λαμβάνουσι· ἄξιον δὲ, διὰ τί ἐν ζώει καὶ σὺ, κἂν ᾖ Χρυσόθεμις καὶ Ἰφιάνασσα; ἢ τί γένοιτ' ἂν ἀμαθίας ἔργον; ἔχει δὲ ὕπως· εἶπων γὰρ ὁ χοὸς ἄνω, πρὸς ὅπερ ἄχος εἶ καὶ ὑπάρχεις περισσὴ καὶ περισσοῖς προσκειμένη τῶν ἐνδον, τοῦτ' ἔχει, πολίων τῶν ἐνὸς τὸ οἶκο αὐτὴ ἀθυμεῖς, τοῦτο εἰπών, ἐπειδὴ ἄορίστον ἦν τῶν ἔνδον· (πολλοὶ γὰρ ἦντος οἷς ἐκ ἔμελε λύπης) ἡρμηνεύων τοῦτο, διὰ τῶ οἷς ὀμόθεν εἶ καὶ γονᾷ ξύναιμος, ἦγον, οἷς ἀδελφὴ τυγχάνεις, ἐπάγει τὴν τῶν ἀδελφῶν ἀπαρίθμησιν. Δίον δὲ εἰπεῖν, ὧν ἀδελφή ἐστι ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ Ὀρέστης· ὃ δὲ πρὸς τὸ Χρυσόθεμις ἐπήγαγε λέγων, οἷα ζώει ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ Ὀρέστης ὁ δὲ πρὸς τὸ Χρυσόθεμις ἐπήγαγε λέγων, οἷα ζώει ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ ὁ ἀχέων καὶ λυπούμενος ἐν κρυπτῇ ἥβῃ. Ἦγον, ὁ λύθρα ἀνασειόμενος πυρὰ τῷ Στροφίῳ· καὶ διὰ τὸν παῖδα λυπούμενος ὁ Ὀρέστης. Ἰστέον δὲ ὅτι Εὐριπίδης καὶ οἱ ἄλλοι ποιηταὶ Ἰφιγένειαν καὶ Ἰφιάνασσαν τὴν αὐτὴν φασι, καὶ Σοφοκλῆς ἱστορεῖ. Ἀπορῆσαι δὲ πῶς Ἰφιάνασσα τὴν Ἰφιγενείας ἐν Ὑπερβορείοις ὄσης νῦν μνημονεύει· καὶ φαμὲν ὅτι ὥσπερ τὸν Ὀρέστην ἀπόντα λέγει, οὕτω καὶ ταύτην· ἀπαρίθμησιν γὰρ μόνην ποιεῖται, εἰ καὶ τῶν ἔνδον παρακινδυνευμένως εἰρηκεν· δῆλος γὰρ ἔνδον ἀλλ' ἡ ἡ Χρυσόθεμις καὶ ἡ Ἠλέκτρα. Μαρτύριον δὲ τῶ οἷα, ἄλλα τε μυρία, καὶ τὸ παρὰ Αἰσχύλῳ ἐν Πέρσαις· ἀπαριθμήσας γὰρ ἐκεῖ τοὺς Ξέρξου στρατηγοὺς φησιν,

"Οἱ δ' ἐπὶ ναῶν πιστοί τε βάλην πολέμου σίγος παρίσχουσι,
οἷος Ἀμιστρης, ἠδ' Ἀρταφρένης,
καὶ Μεγαβάζης," καὶ τὰ ἑξῆς.

160. Κρυπτᾷ τ' ἀχέων] ἡρμηνεύκασι τὸ ἀχέων, ἀντὶ τοῦ δυσφορῶν ἐπὶ τῷ κεκρύφθαι· ἢ ὁ ἐν ἥβῃ κρυπτῇ λυπούμενος.

161. Ὄλβιος ἔν] συνυπάγει κἀνταῦθα τὸν λόγον τῷ ὑποθετικῷ ἄρθρῳ· ὀφείλων γὰρ λέγειν, ὄλβιος ὁ Ὀρέστης, ὃν ἡ κλεινὴ γῆ δέξεται τῶν Μυκηναίων· ὁ δὲ λέγει, ὄλβιος ὄντινα Ὀρέστην ἡ κλεινὴ γῆ τῶν Μυκηναίων δέξεται τοῦ εὐπατρίδην ἀντὶ τοῦ περιφανῆ μολόντα εἰς τήνδε τὴν γῆν.

163, 164. Εὔφρονι βήματι] ἀντὶ τοῦ πομπῇ ἡδείᾳ τοῦ Διός.

164. Βήματι] ἀντὶ τοῦ ὁδῷ, πομπῇ.

165. Ἀκάματα] ἀκαμάτως καὶ ἀδιαλείπτως. Λέγοι δ' ἂν ταῦτα ἐν ὑποκρίσει ἢ ὑπὸ κακμηκότως.

167. Οἰχνῶ] περιέρχομαι· οἰχνῶ δὲ γέγονεν ἀπὸ τοῦ οἴχομαι, παρενθέσει τοῦ ν. Μετέπεσε δὲ εἰς τὴν τῶν περισπωμένων συζυγίαν, ὥσπερ καὶ τὸ ἀφικνοῦμαι, γενόμενον ἀπὸ τοῦ ἵκομαι, παρενθέσει τοῦ ν. Ἀπὸ δὲ τοῦ οἰχνῶ καὶ ἴχνος, διὰ τοῦ ι.

168. Μυδαλέα] διάβροχος τοῖς δάκρυσιν.

Ib. Ἀνήνυτον] ἀτελείωτον.

170. Ὧν

Οἵτιν ἔχουσα κακῶν. Ὁ δὲ λάθεται
Ὧν τ' ἔπαθ', ὧν τ' ἐδάη· τί γὰρ ἐκ ἐμοὶ
Ἔρχεται ἀγγελίας ἀπατώμενον;
Αἰεὶ μὲν γὰρ ποθεῖ,
Ποθῶν δ' ἐκ ἀξιοῖ φανῆναι.
ΧΟΡ. Θάρσει μοι, θάρσει, τέκνον·
"Ἐστι μέγας ἐν οὐρανῷ
"Ζεὺς, ὃς ἐφορᾷ πάντα, καὶ κρατύνει·
"Ὦ, τὸν ὑπεραλγῆ χόλον νέμεσα,
"Μήθ' οἷς ἐχθαίρεις
"Ὑπεράχθεο, μήτ' ἐπιλάθου·
"Χρόνος γὰρ εὐμαρὴς θεός."
Οὔτε γὰρ ὁ τὰν Κρίσαν
Βυνόμαν * ἔχων ἀκταὶν
Παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος,

* Turn. in marg. βυνόμον.

170. Ὧν τ' ἔπαθ', ὧν τ' ἐδάη] ὧν ἔπαθε παρ' ἐμοῦ εὐεργεσιῶν· οἶσθα γὰρ αὐτόν. ὧν δὲ ἴσως, ὅτι συνεχεῖς ἔπεμπεν ἀγγέλους ἐηλῶσαι τὰ κατ' Αἴγισθον.

Ib. Τί γὰρ ἀγγελίας] ἤγουν, τί εἶδος ἀγγελίας; ὃς ἔρχεταί μοι ἀπατώμενον; ἤγουν, ἀπάτην ἔχων, τουτέστι ψευδῆς.

171. Ἀγγελίας ἀπατώμενον] οὐχ ἡ ἀγγελία ἠπάτα, ἀλλ' ἀπὸ ταύτης Ἠλέκτρα. Διὰ τί οὖν πρὸς τὴν ἀγγελίαν τὸ ἀπατώμενον λέγει; καὶ φαμὲν ὅτι ἀπὸ τοῦ πάσχοντος τὸ ποιοῦν. ἡ ἀγγελία μὲν γὰρ τὴν ἀπάτην ἐποίει, αὐτὴ δὲ ἐπασχεν. ἄλλως τε δεῖον ἀπατωμένη μοι αὐτῶν, πρὸς τὸ τί εἰρηκεν· ἡ γὰρ ψευδὴς καὶ ματαία ἀγγελία ἀπαλωμένη, ὥσπερ ἴσως πάσχουσα τὴν ἀπάτην ἀπὸ τοῦ ταῦτα μηνύοντος, ἐν αὐτῷ τῷ ψευδῶς μηνύεσθαι.

172. Αἰεὶ μὲν γὰρ ποθεῖ] ποθεῖ δὲ, οὐκ ἀξιοῖ. τὸ σχῆμα τοῦτο καλεῖται κλιμακωτόν.

174. Θάρσει μοι] Μεγαλοπρεπὴς ὁ λόγος καὶ ἠθικὸς καὶ ἡ συμβουλὴ γνωσικὴ καὶ χρήσιμος.

177. Ὦ τὸν ὑπεραλγῆ χόλον] ὦ τινι τῷ Διὶ τὸν ὑπεραλγοῦντα, τὸν ἄγαν ὀδυνηρὸν καὶ λυπηρὸν χόλον τοῖς πεπραγμένοις νέμουσα, μὴ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς· μήτε ἐπιλάθου αὐτῶν, ἀλλὰ μέμνησο μὲν αὐτῶν, γενναίως δὲ φέρε· ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε, μήτε ἐπιλανθάνου τῆς ἔχθρας.

178. Μήθ' οἷς ἐχθαίρεις] Μήτε τῷ Αἰγίσθῳ καὶ τῇ Κλυταιμνήστρᾳ ὑπεράχθου, οἷς ἐχθαίρεις, μήτε ἐπιλάθου.

180. Χρόνος γὰρ εὐμαρὴς] ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται. ἐνίοτε δὲ μετ' ὀλίγον ἀνιωμένη τῷ χρόνῳ ἴσχει Ὀρέστης. ἢ εὐχερὴς ἔσται ὁ χρόνος ὥστε μετελθεῖν τοὺς ἀδίκους.

181. Κρίσαν] Φωκικήν. Κρίσα γὰρ πόλις Φωκίδος· τὴν αὐτὴν τὴν Κρίσαν, ἀντὶ κτητικῆς, τουτέστι τῆς Κρίσσης.

182. Βυνόμαν] βοῶν θρεπτικήν.

183. Ἀπερίτροπος] ἀνεπίληπτος, ἀνεπίληπτος ἔνθεν καὶ τὸ περιτρεπῶν ἰσταυτός· ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος, ὅτι Ὀρέστης ἀπερίτροπος, ὃς ἐν τῇ Φωκίδι τρέφεται, ὅτι ὁ κάτω Ζεύς. Ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρη-

Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.

ΗΛΕ. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς
Ἀπολέλοιπεν ἤδη
Βίοτος ἀνέλπιστος,
Οὐδ' ἔτ' ἀρκῶ·
Ἄτις ἄνευ τοκέων καταλάκομαι,
Ἃς φίλος ἔτις ἀνὴρ ὑπερίσαλαι.
Ἀλλ', ἅπερ εἴτις ἔποικος, ἀναξία
Οἰκονομῶ θαλάμους πατρὸς, ὧδε μὲν
Ἀεικεῖ σὺν στολᾷ,
Κεναῖς δ' ἐφίσαμαι τραπέζαις.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α

ΧΟΡ. Οἰκτρὰ μὲν νόσοις αὐδὰ,
Οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις,
Ὅτε σοὶ παγχάλκων ἀνταία

θήσονται. καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσισθαι τὴν τιμωρίαν τῷ ἀδίκως ἀνῃρημένῳ προσδόκα τινὲς δὲ τὸ ἀπερίτροπος ἐπὶ μὲν Ὁρέσῃ, ἀνεπελεύστως. ἐπὶ δὲ τῷ Πλάτωνος, ἀνεπίστροφος τῶν τὰς ἐχθρὰς μεμελῆθεν· πολλάκις γὰρ τὸ κατὰ κοινῶν λαμβανόμενον, διαφόρως νοεῖται. Καὶ Ὅμηρος·

" Ἐνθ' ἐλέτην δίφρον τε καὶ ἀνέρε δήμια
" ἀρέσθην."

Τὸ ἐλέτην κατὰ κοινῶν ἐστιν, ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου, ἀντὶ τοῦ ἔλαβον· ἐπὶ δὲ τῶν ἀνδρῶν, ἀντὶ τοῦ ἐφόνευσαν.

184. Οὐδ' ὁ παρὰ τὸν Ἀχέροντα] ἔστε ὁ ἄλης ἀνεπίστροφος· ἀπὸ κοινοῦ γὰρ τὸ ἀπερίστροφος τῷ τὰς ἐχθρὰς μιτελθεῖν· ἀλλ' ἔχει ἐπιστροφὴν, καὶ ἐπιμέλειαν ποιεῖται. Ἄλλως· παρὰ ἀντὶ τῆς κατὰ, καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τῆς παρὰ προθέσεως.

185. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς] οἷον, τὸ πλεῖστον τοῦ βίου ἐθέωσα ἐν κακοῖς, καὶ ὁ πλείων με (φησὶ) βίος ἀπολέλοιπε, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην. Ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐλπίδας Ἀγαμέμνονος πέπρακται.

190. Ἃς φίλος ἔτις ἀνὴρ] ἤτοι, ἧς φίλος ὁ δεῖς πρᾶξαι, ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβούμενοι. Ἢ ἐκεῖνο, Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

191. Ἔποικος] ἀντὶ τοῦ μέτοικος.

Ib. Ἀναξία] ἀξίαν οὐκ ἔχουσα, ἀλλὰ ἀτιμος.

192. Οἰκονομῶ] ἀντὶ τοῦ διαιτῶμαι τοὺς πατρῴους οἴκους.

Ib. Ὧδε μὲν ἀεικεῖ] δεικτικῶς τὸ ὧδε· ἀλλοῖον δὲ τὸ τοιοῦτον, καὶ λελησμένως ἐμφαῖνε τὸ σχῆμα τῶν ὑποκριτῶν· ἀεικεῖ δὲ ἀντὶ τοῦ αἰσχρᾷ, ἀπρεπεῖ παρὰ τὸ μὴ ἐοικέναι, ὃ ἐστιν οἰκεῖοι καθήκειν.

195. Οἰκτρὰ μὲν νόσοις αὐδὰ] ἡ ἀγγελία ἡ περὶ τῆ νόσῳ τοῦ παιδὸς οἰκτρὰ ἐγένετο, εὐθέως ἀναιρεθέντος. Ἀπὸ κοινοῦ δὲ τὸ, αὐδά. Οἰκτρά σοι ἦν γέγονεν ἡ φωνὴ ἡ ἀγγείλασα περὶ τῆ νόσῳ τοῦ πατρός. Οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτοῦ· οἷον, οἰκτρὰ πέπονθας καὶ ὅτε ἦκουσας παρεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι ἐπιβουλευθήσεται· οἰκτρὰ δὲ, ὅτι καὶ ἡ πρᾶξις γέγονε, καὶ ἀνῃρέθη.

197. Ὅτε σοὶ] τὸ σοὶ ἐνταῦθα ὡς ἔχον ἀργὸν

Γενύων ὡρμάθη πλαγά.
Δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
Δεινὰν δεινῶς προφυ[εύσαν]ες
Μορφὰν, εἴτ' ἔν θεὸς, εἴτε βροτῶν
Ἦν ὁ ταῦτα πράσσων,

ΣΤΡΟΦΗ Β.

ΗΛΕ. Ὦ πασᾶν κείνα πλέον ἀμέ-
ρᾳ ἐλθοῦσ' ἐχθίστα δή μοι·
Ὦ νύξ, ὦ δείπνων ἀῤῥήτων
Ἔκπαγλ' ἄχθη·
Τὰς ἐμοὺς εἶδε πατὴρ
Θανάτους ἀεικεῖς διδύμαιν χεροῖν,
Αἳ τὸν ἐμὸν εἷλον βίον
Πρόδοτον, αἵ μ' ἀπώλεσαν·
Οἷς ὁ μέγας θεὸς * Ὀλύμπιος

* Aldus, Ζεὺς ὁ μέγας.

γέν. Ἀλλ' ἐπειδὴ ἡ τῶ πατρὸς αὐτῆς πληγὴ πρότερα ἑτέρων ὑπ' αὐτῆς ἐλογίσθη, διὰ τοῦτο τὸ σὺ λέγει.

Ib. Ἀνταία γενύων] ὕτε ἀνταίαν ἐπλήγη ἀπὸ γενύων παγχάλκων, ὅ ἐστι, πελέκεων· γένυς γὰρ εἶδος πελέκιος.

201. Εἴτ' ἦν] Ἀπορηματικὸς ὁ λόγος· ἀντ' ὧν τινές φασιν ἐν ἀρᾶς σχήματι.

205. Ὦ νύξ] Ὦ ἐκπληκτα ἄχθη τῶν ἀῤῥήτων εἰπόντων, καθ' ἃς εἶπνυς ὁ ἐμὸς πατὴρ εἶδε θανάτους ἀεικεῖς, διὰ διδύμων χειρῶν. Ἤγουν, τῶ Αἰγίσθω καὶ τῆς Κλυταιμνήστρας.

206. Ἔκπαγλ' ἄχθη] τὸ ἄχθη καὶ τὸ θανάτας ταὐτὸν ἐστι· εἰπῶσα γὰρ, ἃ ἔκπαγλ' ἄχθη, ἐπήγαγε τὸ, Ἐμὸς εἶδεν πατὴρ θανάτους ἀεικεῖς· ἡ καὶ τὸ ἄχθη κληϊκὴ ἐστιν· τὸ δὲ θανάτας, αἰτιαλικήν· τὸ μὲν πρὸς τὸ ᾧ συνπασόμενον· τὸ δὲ θανάτους, πρὸς τὸ εἶδεν. Ἔστι δὲ τῆτο ὅμοιον τῷ, Ἡμεῖς μὲν ἂν τήνδ' ἦν ὃ δ' εἶληχεν τύχην, Θανόντες ἂν πρεκείμεθ' ἐχθίστῳ μόρῳ. Μὴ λάβῃς δὲ τὸ διδύμαιν ἀντὶ θηλυκῆς, ἵνα καὶ ἐν ἴξωθεν λάβῃς, ἀλλ' ἀντὶ γενικῆς, ὕτως, θανάτους διδύμων ἐχθρῶν, ἤγουν, ὃς αἱ διπλαῖ χεῖρες ἠργάσαντο Κλυταιμνήστρας ἢ Αἰγίσθου.

207. Τὰς ἐμὰς εἶδε] ὥστιλιν εἰπεῖν πρὸς τὸ ἔκπαγλα ἄχθη, ἃ ὁ ἐμὸς εἶδε πατήρ· ὃ δὲ, πρὸς τὸ σημαινόμενον ἀπεδὼς, λέγει, ὃς θανάτους ἀπρεπεῖς εἶδεν ὁ ἐμὸς πατὴρ ἀπὸ διδύμων χειρῶν.

208. Διδύμαιν χεροῖν] τῆς Κλυταιμνήστρας καὶ τῶ Αἰγίσθου.

209. Τὸν ἐμὸν βίον] Ἤγουν τὴν ἐμὴν ζωὴν εἷλον πρόδοτον, ἀντὶ τῶ ἀνεῖλον. τυλίσι, φθορᾶ ἐποίησαν ἐκεῖνον.

Ib. Αἳ τὸν ἐμὸν εἷλον βίον] πάνυ περιπαθῶς, αἵτινες χεῖρες, αἱ ἀνελοῦσαι τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον, καὶ προέδωκαν τοῖς ἐχθροῖς.

211. Οἷς θεὸς] ἀπὸ τῶν χειρῶν μεταβαίνει ἐπὶ τὰς ἐργαζομένας ταῖς χερσί.

Ποίνιμα πάθεα παθεῖν πάροι.
Μηδέ ποτ' ἀγλαΐας ἀποναίατο,
Τοιάδ' ἀνύσαντες ἔργα.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Φράζε, μὴ πόρσω φωνεῖν· 215
Οὐ γνώμαν ἴσχεις ἐξ οἵων
Τὰ παρόντ', οἰκείας εἰς ἄτας
Ἐπιπίπτεις * ἔτως ἀεικῶς;
Πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
Σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ 220
Ψυχᾷ πολέμους· τὰ δὲ, τοῖς δυνατοῖς
Οὐκ ἐρισὰ πλάθειν.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΗΛΕ. Ἐν δεινοῖς ἠναγκάσθην δή †.

* Aldus, Ἐμπίπτεις. † Aldus, ἠναγκάσθην, ἐν δεινοῖς.

212. Ποίνιμα] ποινὴς ἄξια· ποίνη δὲ λίγεται ἐπὶ μόνης καλοκαγαθίας χρημάτων. Ὅμηρος· "Ποινὴν ὃ παιδὸς ἰδέξατο τεθνειῶτος". Καὶ,

Ἀλλ' ὁ μὲν ἐν δήμῳ μίτει αὐτῷ, πόλλ' ἀπερίσας.

" Τῷ δέ τ' ἐπτύσεται κραδίη καὶ θυμὸς ἀγήνωρ,
" Ποινὴν ἐξαμείψω "—

213. Ἀποναίατο] Οὐάω, ὐῶ, ὄνημι, ὄναμαι, εὐκτικὸν ὀναίμην, ὄναιο, ὄναιτο· τὸ τρίτον τῶν πληθυντικῶν ὄναιντο· καὶ Ἰωνικῶς, ὀναίατο.

215. Φράζε μὴ πόρσω φωνεῖ] ὁ χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἀνέλκυσε ταῖς βλασφημίαις καὶ Κλυταιμνήστρας καὶ Αἰγίσθου χαρεῖν.

Ib. Μὴ πόρσω φωνεῖν] ἤγουν, ἐκτὸς τοῦ δέοντος· δεῖ γὰρ σιγᾶν, καὶ μὴ κατὰ τῶν δυνατωτέρων θρασυφομεῖν.

216. Οὐ γνώμαν ἴσχεις] ἃ νοεῖς, ἃ γινώσκεις (φησὶν) ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνιαρὰν ἐλήλυθας.

217. Οἰκείας] ἴσως, τὰς συγγενικάς· ἢ ἀπὸ τοῦ ἰσομοίρας, καὶ οὐκ ἀλλαχόθεν.

220 Σᾷ δυσθύμῳ τίκτουσ' αἰεί] σαυτῇ γινομένη ταῦτα, ἐξ ὧν πολεμεῖσθαί σου ἡ ψυχὴ ὡς ἐν ἀτιμίαις αὐτῆς οὔσης. Ἄλλως· πολὺ ἐκτίσω τὸ πλῆθος τῶν κακῶν, ἐπὶ τῇ σῇ δυσθύμῳ ψυχῇ τίκτουσα ἀεὶ ταραχὰς καὶ ἔριδας. Δύσθυμος δὲ, σκληρὸς, βαρύθυμος ἢ ἐναντίον ὁ εὔθυμος.

221. Τὰ δὲ, τοῖς δυνατοῖς οὐκ ἐρισὰ] τὰς κρατοῦσιν οὐ δεῖ ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν ἀντὶ τοῦ οὐκ οἷόν τέ σοι ἐρίζειν τοῖς δυνατοῖς. Καὶ ἄλλως· ταῦτα δὲ, ὦ πρέσβις, οὐκ ἐρισὰ τοῖς κρατοῦσιν ἐσί. τυτίσκι, περὶ τούτων φιλονεικίαν πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι ἀσύμφορον. Ἐριστὴς δὲ, ὁ φιλόνεικος. Ἐριστικὸς δὲ, ὁ ἐπιδεδιώκατα ἔχων εἰς τὸ ἐρίζειν· ὥσπερ φιλικὸς, ὁ ἐπιδεδιώκατος εἰς φιλίαν. Ἐριστὸν δὲ, τὸ ἀξίαν ἔχον τὴν ἔριν. Ἅπαξ παιχθὲν παίγνιον, τὸ ἄξιον παίζεσθαι, καὶ παικτὴ παιδιά, ἡ ἀξία παίζεσθαι.

223. Ἐν δεινοῖς] ἃ χρὴ γράφειν, ἐν δεινοῖς ἠναγκάσθην ἐν δεινοῖς· περισσὸν γὰρ ἐσι πρὸς τὸ τοῦ πρώτου συζεύγματος κῶλον, ἀλλ' ἐνδεινοῖς ἠναγκάσθην

Ἔξοιδ'· ἀ λάθει μ' ὀργά.
Ἀλλ', ἐν γὰρ δεινοῖς, ἀ σχήσω
Ταύτας ἄτας.
Ὄφρα μ' ἔχῃ βίοτος·*
Τίνι γάρ ποτ' ἂν, ὦ φίλα † γενέθλα,
Πρόσφορον ἀκῦσαί μ' ἔπος,
Τίνι φρονοῦντι καίρια;
Ἀνετέ μ', ἄνετε παράγοροι·
Ταῦτα γὰρ ἄλυτα κεκλήσεται.
Οὐδέποτ' ἐκ καμάτων ἀποπαύσομαι,
Ἀνάριθμος ὧδε θρήνων.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Ἀλλ' ἦν εὐνοίᾳ γ' αὐδῶ,
Μάτηρ ὡσεί τις πιστὰ,

* Aldus, Ὄφρα μι βίος ἔχῃ. † Alb. φιλία.

ἑκαστάσθην δὴ δίμετρον γὰρ ἐφείλκει εἶναι καὶ τοῦτο ὥσπερ ἐκεῖνο.

224. Ἔξοιδ'· ἀ λάθει μ' ὀργά] τοῦτο ἔπος (φησὶν) ἀ λανθάνει με, ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον, διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν, ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι.

225. Ἀλλ' ἐν γὰρ] ἐείρν, ὅτι τὸ ἀλλὰ μετὰ τοῦ γὰρ συντιθέμενον, ποτὲ μὲν ὀργὴν ἔχει τὸ γὰρ, ποτὲ δὲ ἀμφότερά εἰσιν ἐναργά. ὡς καὶ ἐνταῦθα, τὸ μὲν ἀλλὰ πρὸς τὸ ἀ σχήσω συνιασόμενον· τὸ δὲ γὰρ διὰ μέσου τιθέμενον, λαμβανομένου· ἔξωθεν τοῦ εἰμί· γίνεται δὲ τοῦτο, ὅταν μεταξὺ τοῦ ἀλλὰ καὶ τοῦ γὰρ συλλαβὴ ἢ λέξις εὑρεθῇ. Εἰ δὲ ὕστω τὸ ἀλλὰ τὸ γὰρ πλησιάζει ὡς μὴ μεσολαβεῖν μηδοτιοῦν, ὀργὴν ἔχει παντελῶς τὸ γάρ.

228. Τίνι γάρ ποτ'] παρὰ τίνος γὰρ ἂν ἀκούσαιμι τὰ συμφέροντα, ἢ παρ' ὑμῶν τῶν συντέκνων; ὥστε μὴ συγχωρῆσαι ἐν δεινοῖς ὄντι παρηγορίαν τινὰ ἰσχειν ἐκ τῶν ὁμοεθνῶν καὶ θρήνων· ἀ γὰρ πρὸς ξένους ἔχω, ἀλλὰ πρὸς ὑμᾶς ἐνοῦσας.

231. Ἀνετέ μ'] τὸ ἄνετε ἀ φυσικῶς ἔχει τὸ α μακρὸν, ἀλλ' ἐξ ἀνάγκης καὶ ποιητικῆ ἀδείᾳ γίνεται· ὅτοι γὰρ, τριῶν ἐφεξῆς κειμένων βραχέων, μακρὸν ἐξ ἀνάγκης τὸ α ποιοῦσι διὰ τὰ μέτρα· ὡς ἓν τὸ ἀθάνατος εὕρηται ἀεὶ τὸ α ἔχον μακρὸν, καὶ τὸ ἀκάμαλος καὶ ἀπάλαμος, ὅτω καὶ τὸ ἄνετε ἐνταῦθα. Οὕτω γὰρ καὶ σύμφωνα πλεονάζουσιν, ἵνα μακρὸν τὸ προηγούμενον φανῇ ποιήσωσιν, ὡς καὶ ἐς τὸ γενέθλα γέγονε· καὶ εἶπε δύο σύμφωνα εἶτα, τὸ ἐν ἀφαιροῦσιν, ἵνα βραχὺ γένηται τὸ φωνῆεν. καὶ εὑρήσεις τοῦτο πολλαχοῦ.

232. Ταῦτα γὰρ ἄλυτα] τὸ θρηνεῖν τὸν πατέρα, ἄλυτόν μοι ἐστὶν· ὃ ἐστιν, μέποτε παύσομαι, ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι.

234. Ἀνάριθμος ὧδε θρήνων] ἔν τισι κεῖται ἀνάνομος· οἷον, ἀεὶ νεμομένη ἐν αὐτοῖς, καὶ ὅποτε χωρὶς ὄσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ ἀνήριθμος, καὶ ἐστιν ὁ λόγος, ὡς ἴσομαι ἀνήριθμος θρήνων, ἀλλ' ἐν θρήνοις ἀριθμήσομαι. Ἢ ὅτως, ἀνάριθμος, οἷον, ὡς ἀριθμοῦσα τοὺς θρήνους, ἀλλὰ ἀψιλίσει χρωμένη αὐτοῖς.

238. Καὶ

Μὴ τίκτειν σ' ἄταν ἄταις.

ΗΛΕ. Καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,
Πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
Ἐν τίνι τῦτ' ἔβλαψ' ἀνθρώπων;
Μήτ' εἴην ἔντιμος τύτοις·
Μήτ' εἴ τῳ πρόσκειμαι χρηςῷ,
Ξυνναίοιμ' εὔκηλος, γονέων
Ἐκτίμως ἴσχυσα πτέρυγας
Ὀξυτόνων γόων.
Εἰ γάρ ὁ μὲν θανὼν
Γᾶ τε καὶ ὑδὲν ὤν,
Κείσεται τάλας·
Οἳ δὲ μὴ πάλιν
Δώσυσ' ἀντιφόνως δίκας,
Ἔρρει τ' ἂν αἰδὼς, ἀπάντων

238. Καὶ τί μέτρον] ἔχει τόδε τὸ κακόν, ὥστε μετρίως θρηνεῖν· πρὸς γὰρ ἄμετρον κακὸν καὶ ἀμέτρων δεῖται θρήνων.

Ib. Κακότητος] τῆς συνεχούσης με.

241. Μήτ' εἴην] Ἀντιστρόφως τῦτο λέγεται· ἤγυν, μὴ εἴη μοι ταῦτα διὰ τιμῆς· τὸ δὲ πᾶν· μήτε εἴη μοι ταῦτα διὰ τιμῆς ἤγαν, τὸ ἀμελῶς διακεῖσθαι ὀηλονότι ἐπὶ τοῖς ἐπιθανοῦσι. Μήτε, εἴ τινι χρηςῷ πρόσκειμαι, ξυναίσιμι, ἤγυν, συνοικοίην τύτῳ ὀηλονότι· εὔκηλος, τυτίφιν, ἥσυχος, ἴσχυσα πτέρυγας γόων ὀξυτόνων, ἀντὶ τῦ, γόως ὑψηλοφώνως, ἐκτίμως τῶν γονέων, ἤτοι, ἀφισαμένης τῆς τιμῆς τῶν γονέων.

Ib. Τύτοις] Τοῖς ἀνθρώποις, τοῖς ἀμελοῦσι, ὀηλονότι, τῶν οἰκείων ἀποθανόντων· καὶ ταῦτα τοιῦτῳ τρόπῳ, καὶ μικρῷ τέλει παραλόγως καὶ ἀδίκως φθαρέντων. Μήτε εὔκηλος καὶ ἀμέμπτων ἐμῶν γονέων εἴην ἔθι, εἴ πρόσκειμαι καί τινι χρηςῷ φίλῳ, ὀηλονότι, ὅπω ὐδὲ φίλῳ χρηςῷ πρόσκειμαι, ἀλλὰ μᾶλλον ἐχθροῖς, Αἰγίσθῳ καὶ Κλυταιμνήςρᾳ· μήτε ἴσχυσα ἀτίμως πτέρυγας, ἤγυν, κινήσεις θρήνων μεγαλοφώνων, εἴθε συγκαίοικοίην τοιύτοις ἀνθρώποις, ἐν οἷς ατίμη γονέων ὐκ ἔςι, ὀηλονότι, ἴσχυσα καὶ ἐγὼ αὐτὴ ἀτίμως πτέρυγας ὀξυτόνων γόων.

243. Γονέων ἐκτίμως] τῶν ἐπὶ τοῖς γονεῦσιν ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχυσα ἐκτίμως, ἀντὶ τῦ ἐκτὸς τιμῆς. Ἀλλ' ἐν τῷ τιμᾶν τὲς παλαίας εἶναι ἰδία τῶν γονέων. Πτέρυγας δὲ ὀξυτόνων γόων εἶπεν, διὰ τὸ τιχύ. Ἅμα μὲν γὰρ τῇ μνήμῃ καὶ ὀδυρμὸς, ὠδινὸς τῦ μιταξῦ ὄντος. Ὀξυγόως δὲ, διὰ τὸ σφοδρόν, καὶ τὸ εἰς ὀξὺ τείνεσθαι, τυτίφιν, εἰς ἄκρον ἐλθεῖν.

244. Ἴσχυσα] εἰκότως τὰς πτέρυγας εἶπεν ἐπὶ τῶν γόων· δίκην γὰρ πτερῶν ἀνω πρὸς ὕψος φέρονται. Ἡ δὲ σύνταξις, ἴσχυσα εὔκηλος καὶ ἥσυχος πτέρυγας χόων ὀξυτόνων, ἐκτίμως καὶ ἀτίμως τῶν γονέων· εἶον δὲ εὐκήλως εἰπεῖν, εὔκηλος εἶπι πρὸς τὸ ἴσχυσα.

249. Πάλιν δώσυσιν] ἀντὶ τῦ ἀνταποδώσυσιν, ἀντισαθμήσυσι τῇ φόνῳ.

251. Ἔρρει τ' ἂν αἰδὼς] φθαρείη ἡ παρὰ τῶν ἀνθρώπων πρὸς Θεὸς εὐσέβεια καὶ αἰδὼς νομίζυσι

ἡ εὐσέβεια θνητῶν.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Ἐγὼ μέν, ὦ ξαῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα,
Καὶ τἀμὸν αὐτῆς, ἦλθον· εἰ δὲ μὴ καλῶς
Λέγω, σὺ νίκα· σοὶ γὰρ ἑψόμεσθ' ἅμα.
ΗΛΕ. Αἰσχύνομαι μέν, ὦ γυναῖκες, εἰ δοκῶ
Πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
Ἀλλ' (ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν)
Σύγγνωτε· πῶς γὰρ ἥτις εὐγενὴς γυνὴ,
Πατρῷ' ὁρῶσα πήματ', ἐ ὁρῴη τάδ' ἂν,
Ἃ 'γὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
Θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ;
Ἥ, πρῶτα μὲν τὰ μητρὸς, ἥ μ' ἐγείναλο,

νομίζουσι γὰρ οὐκ εἶναι θεὸς, μὴ τῆς κακίας κολάζουσης.

253. Καὶ τὸ σὸν σπεύδωσ'] ἵνα, ἵνα μὴ κατὰ σὲ τὸν ἐχθρὸν κινήσῃς τῷ συνεχεῖ θρήνῳ, καὶ ταῖς πρὸς αὐτὸν λοιδορίαις. Καὶ τοῦτο, ἵνα μὴ ἄφιλος δόξω ἐν τοιούτῳ καιρῷ, μὴ πρὸς παραμυθίαν σῷ χωρήσασα.

254. Εἰ δὲ μὴ] Εἰ δὲ μὴ καλῶς δοκῶ λέγειν, ἀκάτω τὸ σὸν θέλημα· σοὶ γὰρ ἀκολουθήσομεν ὁμῶς· ἦλθον, συνεξαμύμεθα γὰρ τῷ σῷ θυμάτι.

255. Σὺ νίκα] τὸ σὺ νίκα, πάντ' ἀναγκαίως, ἵν' ἀρχὴ γένηται μάκρας ἐκτείναι ῥῆσιν τῇ Ἠλέκτρᾳ, ἐν ᾗ πάντα τὰ καθ' ἑαυτὴν παραλήψεται.

256. Αἰσχύνομαι μὲν] αἰδοῦμαι εἰ δοκῶ ὑμῶν βαρίως πενθεῖν, καὶ ἀπαραμυθήτως ἔχειν.

257. Δυσφορεῖν] ἀγανακτεῖν· τὸ δυσφορεῖν κυρίως ἐπὶ νόσῳ λέγεται, ᾧ ἐναντίον τὸ εὐφορεῖν, ὡς παρ' Ἱπποκράτει, Εὐφόρως φορέσει.

258. Ἀλλ' ἡ βία γὰρ] ἐπείπερ ἐν τοῖς θεασαμένοις ἐπετίμησαν αὐτῇ διὰ τὸ ἀνεπόδοτος φρένων, περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται. Λέγει δὲ, Ἀλλὰ σύγγνωτε· ἡ βία γὰρ ἀναγκάζει με δρᾶν ταῦτα.

Ib. Ἀλλ' ἡ βία] τὸ ἀλλὰ πρὸς τὸ σύγγνωτε σύναπτε· τὸ δὲ ἡ βία γὰρ διὰ μέσου ἐστὶ κατασκευὴ γάρ ἐστι, τίνος χάριν αὐτῇ συγγνώσονται.

259. Ἥτις εὐγενὴς γυνὴ] ἐ χρὴ γράφειν τὸ ἥτις· τοιοῦτον γάρ ἐστιν οἷον τὸ ὅ, τι εὑρίσκαμεν, ποτὲ μὲν τῷ ὃ τὴν δύναμιν ἔχοντος, ποτὲ δὲ τῷ τις· καὶ οἷον τὸ ὅντινα, καὶ ἥντινα, καὶ τὰ τοιαῦτα, περὶ ὧν καὶ πρεῖρηται, ἷς τὸ, Οὐκοῦν ἂν εἴποις ἥντιν' αἰτίαν, προσθεὶς· καὶ ταῦθα ἂν τὸ τὶς μόνον ἔχει τὴν δύναμιν.

260. Οὐ θρῄη] Ἤγουν, ἐ ποιοίη ἂν τάδε, ἅπερ ἐγὼ δηλονότι ποιῶ.

261. Ἃ 'γὼ κατ' ἦμαρ] ἀναγκαίως κέχρηται τῷ νοήματι. Ἐπὶ μὲν γὰρ γενομένῳ πράγματι καὶ παριλθόντι εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα· ὑπὸτε δὲ αὐτὴν ἐ μόνον τὰ τῶ πατρὸς λυπεῖ, ἀλλὰ καὶ τὰ τῆς μητρὸς, καὶ τρ Λἰγίσθυ ὁσημέραι γιγνόμενα, εἰκότως παρατείνει καὶ τὸ πενθεῖν.

262. Καταφθίνονθ'] μαραινόμενα, κατα μεταφορὰν, ἀντὶ τῦ μειώμενα. Τὸ θάλλειν ἐπὶ τῶν φυτῶν λέγεται κυρίως, καὶ ἔχει ἐναντίον τὸ μαραίνεσθαι, ἢ τὸ φθίνειν· φθίνειν γὰρ καὶ μαραίνεσθαι ταυτόν. Καὶ ἀπὸ τούτων, καὶ ἐπ' ἄλλων, ὡς ἐνταῦθα, θάλλοντα μᾶλλον ἢ καταφθίνοντα, ἀντὶ αὐξάνοντα μᾶλλον καὶ τριφόμενα, ἢ μειώμενα.

265. Ἐν

Ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
Ἐν τοῖς ἐμαυτῆς, τοῖς φονεῦσι τοῦ πατρὸς
Ξύνειμι, κἀκ τῶνδ' ἄρχομαι, κἀκ τῶνδέ μοι
Λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι θέλει.
Ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,
Οταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
Τοῖσιν πατρῴοις; εἰσίδω δ' ἐσθήματα
Φορεῦντ' ἐκείνῳ ταυτὰ καὶ παρεσίους
Σπένδοντα λοιβὰς ἔνθ' ἐκεῖνον ὤλεσεν·
Ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
Τὸν αὐτοφόντην ἡμῖν ἐν κοίτῃ πατρὸς
Ξὺν τῇ ταλαίνῃ μητρί· μητέρ' εἰ χρεὼν
Ταύτην προσαυδᾶν τῷδε συγκοιμωμένην.
Ἠδ' ὧδε τλήμων, ὥστε τῷ μιάσορι

264. Ἐν τοῖς ἐμαυτῆς] ἀντὶ μὲν λίαν τὸ ἐν τοῖς ἐμαυτῆς, ὅτι ἀδικοῦμαι ὅσα ἐν τοῖς ἐμαυτῆς.

266. Κἀκ τῶνδ' ἄρχομαι] καὶ βασιλεύομαι ὑπ' αὐτῶν ἔστι δὲ τοῦτο χαλεπώτερον, τὸ καὶ τούτοις ὑποτετάχθαι.

Ib. Ἄρχομαι] Τὸ ἀρχὴν ποιοῦμαι, καὶ τὸ ἀρχὴν λαμβάνω. Ὡς ἐν τῷ, ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε, ἤδη, τῶν ἐκεισόπων. Καὶ ἄρχομαι, τὸ ἐξυπνιάζομαι.

268. Ποίας ἡμέρας] τοῦτο ἢ ἀντὶ γενικῆς λάμβανε, ἢ ἀντὶ αἰτιατικῆς· καὶ εἰ μὲν αἰτιατικὴ ἐστιν, ἀδιμίαν ἀσάφειαν ἔχει· εἰ δὲ γενική, οὕτω λέγωμεν, ποίας ἡμέρας νομίζεις με ἄγειν, ἀντὶ τοῦ ποίου χρόνου τοῦτο λογίζομαι;

269. Ὅταν θρόνοις Αἴγισθον] καὶ γὰρ μετὰ τὸ φονεῦσαι Ἀγαμέμνονα Αἴγισθος ἐβασίλευσεν. Ὅμηρος·

" Αἴγισθος ἤνασσε πολυχρύσοιο Μυκήνης,
" Κτείνας Ἀτρείδην· ἐδάμητο δὲ λαὸς ὑπ'
" αὐτῷ."

270. Εἰσίδω δ' ἐσθήματα φορεῦντ'] ὡς μόνον ἐσθῆς, ἐσθῆτος εὕρηται τὸ ἔνδυμα, ἀλλὰ καὶ ἔσθημα, ἐσθήματος· ὡς κἀνταῦθα, καὶ ἔσθητες, ἐσθήσιος· τὰ ὕστερα ποιητῶν· τὸ δὲ ἐσθῆς, καὶ λογογράφων.

271. Φορεῦντ' ἐκείνῳ ταυτά] οὐχ ὅμοια βασιλικά, ἀλλὰ τὰ ἐκείνου· πάνυ γὰρ τοῦτο περιπαθῶς, καὶ εἰς ὑπόμνησιν ἄγον τὴν μίξαν τοῦ πατρός· ἐσθήματα μὲν καὶ ἐσθήσεις, ἐν μείζονι λόγῳ ἄχρησα, ἐσθῆς δὲ ἐν χρήσει.

Ib. Καὶ παρεσίους] ἤγουν, ἐφεξῆς· ἐφίσκει δὲ λοιβαί, αἱ ἐν τῇ οἰκίᾳ τελούμεναι.

272. Σπένδοντα λοιβὰς] τὸ τῆς ἀσεβείας Αἰγίσθου κατηγόρημα, εἰ σπένδει θεοῖς ὅτε ἄδικος φόνος εἴργασται· σπένδω λοιβὰς ὡς λίγω λόγον· καὶ σπένδειν ἐπὶ τῶν ὑγρῶν λέγεται.

273. Ἴδω δὲ τούτων] ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα· κινητικὸν δὲ πρὸς εἶκτον τὸ αὐτοφόντην πρὸς κοίτῃ πατρός.

274. Αὐτοφόντην] γράφεται καὶ αὐτοίντην. Τὸ δὲ ἡμῖν παρέλκει Ἀττικῶς.

275. Μητέρ' εἰ χρεὼν] χρεὼν ἀντὶ τοῦ χρέος, καὶ ἀπὸ τούτου πρίπον. Ὡς τὸ ὤφελον ἀντὶ τοῦ ἐχρεώστουν, καὶ ἀπὸ τούτου ἀντὶ τοῦ ἔπρεπεν.

277. Τλήμων] τολμηρὰ, ἀναιδής.

Ib. Μιάσορι] λυμεῶνι, φονεῖ· μιάστωρ, ὁ διὰ τὸν παρ' ἑαυτῷ μιασμὸν καὶ τὸν ἄλλως μιαίνων.

Ib. Ὥστε

Ξύνες', Ἐριννὺν ἤ τιν' ἐκφοβεμένη·
Ἀλλ', ὥσπερ ἐγγελῶσα τοῖς πεπεμένοις,
Εὑρεῖσ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
Πατέρα τὸν ἀμὸν ἐκ δόλε κατέκτανε,
Ταύτῃ χορὸς ἵησι, καὶ μηλοσφαγεῖ
Θεοῖσιν ἔμμην' ἱερὰ τοῖς Σώ]ηρίοις.
Ἐγὼ δ' ὁρῶσ' ἡ δύσμορος κατὰ στέγας
Κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
Τὴν δυσπάλαιναν δαῖτ' ἐπωνομασμένην,
Αὐτὴ πρὸς αὑτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα
Τοσόνδ', ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
Αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
Φωνοῦσα, τοιαῦθ' ἐξονειδίζει κακά.
"Ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
" Τέθνηκεν; ἄλλος δ' ἔτις ἐν πένθει βροτῶν;
" Κακῶς ὄλοιο· μηδέ σ' ἐκ γόων ποτὲ
" Τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί."
Τάδ' ἐξυβρίζει· πλὴν ὅταν κλύῃ τινὸς
Ἥξοντ' Ὀρέστην, τηνικαῦτα δ' ἐμμανὴς

Ib. Ὥσπερ τῷ μιάσμοι ξύνεσι] συνυπακούεται ὁ καὶ σύνεισμός· τὸ γὰρ ὥσπερ μόνον μετὰ ἀπαρεμφάτου ζητεῖ τάττεσθαι.

280. Εὑρεῖσ' ἐκείνην ἡμέραν] τὴν εὑροῦσα, τὸν τόπον καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει· οἷον, ἡδέως αὐτὴν διαβαίνη.

281. Ἀμὸν] τὸν ἡμέτερον· ἦγεν, τὸν ἐμόν· Ἡμίτιμον μὲν, ὃ πολλοὶ ἔχομεν· ἐμὸν δὲ, ὃ μόνος ἐγὼ ἔχω.

283. Θεοῖσιν ἔμμην' ἱερὰ] οἱ Ἀργολικοὶ συγγραφεῖς τρισκαιδεκάτην εἶναί φασι μηνὸς γαμηλιῶνος, ὡς Δεινίας ἐν ἐξηγήσει Ἀργολικῶν.

285. Κακύω] ἑακρύω· λέγομεν δὲ ἑακρύω τὸν τιθηνοῦντα· ἐπιδακρύω δὲ τῷ τιθηνοῦντι.

286. Ἐπωνομασμένην] ἐφ' ᾧ ὠνομάσθην.

288. Ὅσον μοι θυμὸς] ἐπικωφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος·

" Οἴτις πάγμοι τῶν πόνων ἰσμάτα."

289. Γενναία] εὐγενὴς λόγοις, καὶ ἐ πρᾶξισιν.

291. Δύσθεον] Ἀντὶ τοῦ δυσθέατον· ἦγεν, βαρὺ καὶ πικρὸν, καὶ δυσκόλως διαθῆναι δυνάμενον· ἢ δύσθεον ἀντὶ τοῦ ἀσεβὲς, καὶ κακόθεον καὶ κακόδαιμον μίσημα.

Ib. Ὦ δύσθεον] καὶ ταῦτα Ἀριστοφάνης παρῄνεσεν ἐν Γηρυτάδῃ· δύσθεον δὲ, ἀσεβές.

Ib. Σοὶ μόνῃ πατὴρ τέθνηκεν] οὐκ ἀπηρίθμησεν, ἀλλὰ τέθνηκε, τῷ προσχήματι τῆς λέξεως παραλογιζομένη τὴν παιστομίαν.

294. Θεοί] Ἦγον, ὁ Πλάτων, καὶ ἡ Πίτθεώτης καὶ ὁ Ἄιδης.

296. Ἥξοντ' Ὀρέστην] Ἠγεῖ, ἀφίξεσθαι τὸν Ὀρέστην.

Βοᾷ παρασᾶσ'· "Οὐ σύ μοι τῶνδ' αἰτία;
"Οὐ σὸν τόδ' ἔσι τέργον; ἥτις ἐκ χερῶν
"Κλέψασ' Ὀρέσην τῶν ἐμῶν ὑπεξέθρ;
"Ἀλλ' ἴσθι τοι τίσασά γ' ἀξίαν δίκην."
Τοιαῦθ' ὑλακτεῖ· σὺν δ' ἐποτρύνει τέλας
Ὁ κλεινὸς αὐτῇ ταῦτα νυμφίος παρών,
Ὁ πάντ' ἄναλκις ἔτος, ἡ πᾶσα βλάβη,
Ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
Ἐγὼ δ' Ὀρέσην τῶνδε προσμένασ' ἀεὶ
Παυσῆρ' ἐφήξειν, ἡ τάλαιν' ἀπόλλυμαι.
Μέλλων γὰρ αἰεὶ δρᾶν τι, τὰς ὅσας τέ μοι
Καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
Ἐν ὧν τοιούτοις, ὥτε σωφρονεῖν, φίλαι,
Οὐτ' εὐσεβεῖν πάρεσιν· ἀλλ' ἐν τοῖς κακοῖς
Πολλή γ' ἀνάγκη καὶ πεπηδεύειν κακά.
ΧΟΡ. Φέρ' εἰπέ, πότερον ὄντος Αἰγίσθου τέλας
Λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;
ΗΛΕ. Ἥ κάρτα· μή δόκει μ' ἄν, εἴπερ ἦν τέλας,

301. Ὑλακτεῖ] ἀμαυρῶς καὶ ἀναιδῶς βοᾷ, ὡς κύων.

Ib. Σὺν δ' ἐποτρύνει] συμπαροτρύνει δὲ ἐπὶ ταῦτα ὁ νυμφίος αὐτῆς ὁ ἔνδοξος παρὼν πέλας· ἤγουν, συναθεῖ· λέγεται δὲ τὸ συναθεῖν ἐπὶ τῶν ἀμφισβήτησις ταῖς χερσὶν ὠθόντων, ἅμιλλαν τῶν, Ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν, ἀντὶ τοῦ ἐπὶ τὸ πλεῖν παρορμήσαντα.

302. Ὁ κλεινὸς] κατὰ εἰρωνείαν.

303. Ἡ πᾶσα βλάβη] Ἤγουν, ὁ παντα-χόθεν βλαβερός, ὁ λυμεών, ἡ αὐτοβλάβη.

304. Ὁ σὺν γυναιξὶ τὰς μάχας] συνεργάσης γὰρ Κλυταιμνήσρας ἀνεῖλε τὸν Ἀγαμέμνονα, Αἰγίσθου ὑπὸ χερσὶ καὶ ἀλομένης ἀνάγκαις.

305. Ἐγὼ δ' Ὀρέσην τῶνδε] γράφεται, ἐγὼ δ' Ὀρέσην προσμένασ' ἀεί ποτε.

307. Τὰς ὅσας] τὰς παρούσας.

308. Καὶ τὰς ἀπούσας] ἤγουν, καὶ ὡς εἶχον, καὶ ἃς ἐμελλον ἀνακαλύψειν· λέγεται δὲ ἐπιχωλικῶς.

309. Ἐν ὧν τοιούτοις] Ἀνακεφαλαίωσις τοῦ λόγου. Ἐν τοῖς τοιούτοις δή, ὦ φίλαι, ὅτε σωφρονεῖν πάρεσιν, ὅτε εὐσεβεῖν. Ἀλλ' ἐν τοῖς κακοῖς πάρεσιν ἐπιτηδεύειν κακὰ, ὅτι πολλὴ ἰσχὺς ἡ ἀνάγκη.

310. Οὔτ' εὐσεβεῖν πάρεσιν] ἤγουν, τοῖς θεοῖς εὐχαρισεῖν, ἀλλὰ μᾶλλον πρὸς αὐτὸς δυσχεραίνειν, ὅτι μὴ δίκας εἷς τάχος τοὺς τὸν παρόντων αἴτιος ἀπῆτησεν.

312. Φέρ' εἰπέ] ἐπεὶ θρασυτέρα λέγει ἡ Ἠλέκτρα πέχρηται, ὁ χορὸς βουλόμενος περὶ Ὀρέσου πυθέσθαι, ἠμυτῷ εἰ πάρεσιν Αἰγίσθου.

Ib. Φέρ' εἰπέ] ἰδιάζει ὁ χορὸς Ἠλέκτρᾳ συμπαθῶν, μὴ πως Αἰγίσθου γνωσθεὶς κακόν τι πάθῃ.

314. Ἥ κάρτα] ἰσχυρῶς, ἐῶν πολλὰ γε ὑπάρχειν.

Ib. Μὴ δόκει] ἀντὶ τοῦ ἔλπιζε. ἀπαιτοῦσα φαντάζεται τοῦτο πρὸς τὴν χρῆσιν Κλυταιμνήστρας·

Θυραῖον οἰχνεῖν· νῦν δ' ἀγροῖσι τυγχάνει.
ΧΟΡ. Ἦ κἀν ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
Τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.
ΗΛΕ. Ὡς νῦν ἀπόντος, ἱστόρει τί σοι φίλον.
ΧΟΡ. Καὶ δὴ σ' ἐρωτῶ· τοῦ κασιγνήτου τί φῂς;
Ἥξοντος, ἢ μέλλοντος, εἰδέναι θέλω.
ΗΛΕ. Φησίν γε· φάσκων δ', οὐδὲν ὧν λέγει ποιεῖ.
ΧΟΡ. "Φιλεῖ γὰρ οἰκεῖν πρᾶγμ' ἀνὴρ πρεσσων μέγα."
ΗΛΕ. Καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ οἴκῳ.
ΧΟΡ. "Θάρσει· πέφυκεν ἐσθλὸς, ὥστ' ἀρκεῖν φίλοις."
ΗΛΕ. Πέποιθ'· ἐπεί τ' ἂν ὁ μακρὰν ἔζων ἐγώ.
ΧΟΡ. Μή νῦν ἔτ' εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
Τὴν σὴν ὅμαιμον, ἐκ πατρὸς ταὐτοῦ φύσιν,
Χρυσόθεμιν, ἔκ τε μητρὸς, ἐντάφια χεροῖν
Φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.

στημας· τὸ ἰσχυσθαι ἐξόδου, περιπαθὴς μὲν πρὸς τὴν μητέρα, χρήσιμον δὲ πρὸς τὴν ὑπόθεσιν.

315. Θυραῖον οἰχνεῖν] νόει δὲ τοῦτο, ὁ μὴ βάλλει ὄνομα Ἀττικόν· ὁ γὰρ μόνον ἡ Θυραία, ἀλλὰ καὶ ἡ Θυραῖος, ὥσπερ ἡ Διὰ καὶ ὁ Διός· ὁ δὲ βάλλει καὶ ἐπίρρημα.

Ib. Θύραιον οἰχνειν] ἀντὶ τοῦ Θυραίαν διατριβήν. Θυραῖος ἀντὶ τοῦ Θυραία, καὶ ἀγελαῖος ἀντὶ τοῦ ἀγελαία, καὶ βίαιος ἀντὶ τοῦ βιαία, καὶ ὅσα εἰς ὁς ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς α ληγόντων, Ἀττικά ἐστι. Χρύσεος δὲ ἀντὶ τοῦ χρυσῆ, καὶ κλυτὸς ἀντὶ τοῦ κλυτὴ, καὶ ὅσα εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς η ληγόντων, ποιητικά.

316. Ἦ κἂν ἐγὼ] ὄντως, εἰ ταῦτα ὕτως ἔχει, καὶ ἐγὼ ἂν θαῤῥήσασα μᾶλλον ἀφικοίμην εἰς τοὺς σοὺς λόγους.

318. Ἱστόρει] ἐρώτα· ἱστορεῖν, τὸ διέρχεσθαι πάντως παρὰ τοῖς κοινοῖς, παρὰ δὲ τοῖς ποιηταῖς, τὸ ἐρωτᾶν.

319. Τοῦ κασιγνήτου τί φῂς] λείπει ἡ περί.

Ib. Καὶ δή σ' ἐρωτῶ] μὴ λάθῃς εἰς τὸ κασιγνήτου ἔξωθεν τὸ ὕπτιον, ἀλλὰ χωρὶς τοῦτο σύνταξον, εἰ καί τινα ἀσάφειαν ἔχει· ὕστερον γὰρ ὀφειλων εἰπεῖν, εἰδέναι θέλω, ὁ κασίγνητος ἐφίξεται ἢ μενεῖ, τοῦ τί φῂς διὰ μέσου λαμβανομένου· ὁ δὲ ἐπλαγίασε πρὸς γενικήν· ἢ πρὸς τὸ μέλλοντος σιωπῶν· πρὸς δὲ τὸ ἐρωτῶ τὴν σύνταξιν ποιητέον, ὥσπερ πρῶτον ἐποίησε πρὸς τὸ εἰδέναι θέλω.

320. Μέλλοντος] βραδύνοντος.

322. Φιλεῖ γὰρ οἰκεῖν] δύναται τὸ οἰκεῖν ὁμηρικῶς νοῆσθαι ἀντὶ τοῦ φοβεῖσθαι·

"Οκνεῖω δ' ἵππων ἐπιδαινέμεν ὠκυάων."

Ib. Πράσσων] ἐπιχειρῶν πράττειν.

324. Πέφυκεν ἐσθλὸς] ἤγουν, ἀγαθὸς ὑπάρχει, ὥστε ἐπαρκεῖν, τυτίσι, βοηθεῖν τοῖς φίλοις.

325. Ἐπεί τ' ἂν] ἐπεί τοι ἂν.

326. Ὡς ἐξμων ὁρῶ τὴν σὴν ὅμαιμον] οὐχ ὡς τῆς Χρυσοθέμιδος ταναντία φρονούσης τῇ Ἠλέκτρᾳ, ἀλλ' ἐπειδὴ ὁρῶσιν ἐναγίσματα βαστάζουσαν, τοῦτο πρῶτον πυθέσθαι βούλομαι, κωλύσιν αὐτὴν τῶν ἐξῆς λόγων.

327. Φύσιν] κατὰ φύσιν, ἤτοι φύσει, καὶ ὁ Θύσιος· τῷ γνησίῳ ἐναντίον ὁ μὴ φυσικὸς (ὁ ἐπτοικὸς) ὁ λεγόμενος κόπελος· τῷ δὲ φύσει ἴσῳ, ὁ Θύσιος, ἤγουν, ὁ ἐνθετόμενος.

ΧΡΥ. Τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
Ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν;
Κἀδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις,
" Θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά."
Καίτοι τοσοῦτόν γ' οἶδα κἀμαυτὴν, ὅτι
Ἀλγῶ πὶ τοῖς παροῦσιν· ὥστ' ἂν, εἰ σθένος
Λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
" Νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ."
Καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.
Τοιαῦτα δ' ἀλλὰ καὶ σὲ βέλομαι ποιεῖν·
Καίτοι τὸ μὲν δίκαιον, οὐχ ἥ γ' ἐγὼ λέγω,
Ἀλλ' ἥ σὺ κρίνεις· εἰ δ' ἐλευθέραν με δεῖ
Ζῆν, τῶν κρα[έ]ντων ἐστὶ πάντ' ἀκουστέα.

ΗΛΕ. Δεινόν γέ σ' ὄσαν πατρὸς, ὃ σὺ παῖς ἔφυς,
Κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
Ἅπαν[τ]α γάρ σοι τἀμὰ νουθετήμα[τ]α,
Κείνης διδακτὰ, κοὐδὲν ἐκ σαυτῆς λέγεις.

330. Τίν' αὖ σὺ τήνδε] ἄφιξις Χρυσοθέμιδος, καὶ συμβολὴ πρὸς τὴν ἀδελφήν.

Ib. Τίν' αὖ σὺ τήνδε] τὸ ἔξης, τίνα φάτιν φωνεῖς; ἐπίτηδες δὲ τοῖς ἀγγέλοις ἤθεσιν ἀντιπαρατάττουσι πᾶσα, καθάπερ νῦν τῇ Ἠλέκτρᾳ Χρυσόθεμιν συνίζευξι, καὶ τῇ Ἀντιγόνῃ τὴν Ἰσμήνην, ἵνα τὰ διαφοροφίλλων ταῖς ἀντιῤῥήσεσι τὰ ῥήματα.

334. Καίτοι τοσοῦτον γ' οἶδα] ὡς εἰ ἔλεγεν, οἶδα ὅτι καὶ αὐτὴ ἀλγῶ ἐπὶ τοῖς παροῦσιν.

335. Ὥστ' ἄν, εἰ σθένος] τρία γὰρ παρακολουθοῦσιν εἰς τὸ γενέσθαι τι, βούλησις, δύναμις καὶ ἐπιστήμη.

337. Ὑφειμένῃ δοκεῖ] μὴ ὅλον τὸ ἰσχὺν ἀναστασάσῃ. Ἀντὶ τοῦ, δοκεῖ μοι ταπεινῶς διαλέγειν καὶ ὑπηκόως· μεταφορικῶς δὲ λέγεται ἀπὸ τῶν πλέοντων, οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντίσχουσι· ὑφιᾶσι τῶν ἱστίων. Εἰς τὸ αὐτὸ, ὑφῆσειν τὸ ἱστίον, οἷον, συσταλεῖν τὸ φρόνημα, καὶ μὴ ἀντικεῖσθαι· οἱονεὶ τῇ προαιρέσει χρῆσθαι.

338. Πεμαίνειν δὲ μή] ἤγουν, βλάπτειν αὐτάς. Καὶ γὰρ αὐτὴ δοκεῖ πᾶσιν ἀλγεῖν ἀναγκαῖον, μὴ δυναμένη βλάψαι αὐτοὺς πρὸς ἃ ἀγανακτεῖ.

339. Τοιαῦτα δ'] ἤγουν, ἃ μάλιστα ἐγὼ βούλομαι, ἀλλὰ καὶ σὺ βούλομαι ποιεῖν τοιαῦτα.

340. Τὸ μὲν δίκαιον] ὁ ἐγὼ τί ἄριστος τῇ δικαιοσύνῃ, εἴτις διὰ ταύτην τοῖς ἄλλοις περιπίπτει;

342. Ἀκουστέα] Ἀττικῶς, ἀντὶ τοῦ ἀκουστέα τυγχάνειν, ἄξιόν ἐστιν ὑπακούειν κατὰ πάντα τῶν ἀρχόντων.

344. Μέλειν] φροντίζειν.

345. Ἅπαντα γάρ σοι] ταῦτα ὁπόσα ἐστὶ τὰ ἐπὶ τῇ Ἀντιγόνῃ, ὅπερ τῇ Ἰσμήνῃ λοιδορεῖ, καὶ φησιν αὐτῇ τὰ Κρέοντος φρονεῖν.

Ib. Τἀμὰ νουθετήματα] οἷον, ἃ εἶπεν ἐμὲ νουθετοῦσα.

346. Κείνης διδακτὰ] μὴ λάθῃς εἰς τὸ λέγειν ἔξωθεν τὸ ἀπὸ, ἀλλ' ὥσπερ φαμὲν, ἐμφατικός ἐστιν ὁ δεῖνα τὸ δεῖνος, οἷον Ἀλκιβιάδης Σωκράτους.

Ἐπεί θ' ἑλοῦ γε θάτερον *, ἢ φρονεῖν κακῶς,
Ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν.
Ἥτις λέγεις μὲν ἀρτίως, ὡς εἰ λάβοις
Σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·
Ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης,
Οὔτε ξυνέρδεις, τήν τε δρῶσαν ἐκτρέπεις.
Οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
Ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
Κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
Οὐ ζῶ; κακῶς μέν, οἶδ', ἐπαρκούντως δέ μοι.
Λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
Τιμὰς προσάπλειν, εἴτις ἔς' ἐκεῖ χάρις.
Σὺ δ' ἡμῖν ἡ μισοῦσα, μισεῖς μὲν λόγῳ,
Ἔργῳ δὲ τοῖς φανεῦσι τοῦ πατρὸς ξύνει.
Ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἰ μοι τὰ σὰ
Μέλλοι τὶς οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
Τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
Τράπεζα κείσθω, καὶ περιῤῥείτω βίος.

* Ald. Turn. in marg. θάτερ'.

Σκάπτης· οὕτω καὶ τοῦτο, διδακτὰ κείνης, ἀντὶ τοῦ ἐκείνης διδάγματα καὶ μαθήσεις.

347. Ἐπεί θ' ἑλοῦ γε] ὁμολόγησον σαυτὴν ἢ φρονῶν κακῶς, πρεσβευομένην τοῖς ἐχθροῖς, ἢ ξρονοῦσαν, τῶν φιλτάτων ἀμνημονεῖν· εἶον, θάτερά σε δεῖ ὁμολογῆσαι, ἢ ὅτι κακῶς φρονεῖς, ἢ ὅτι ἐκοῦσα ἁμαρτάτιος καὶ πανώρης. Τὸ δὲ θάτερα ἀντὶ τοῦ θάτερον, Ἀττικῶς εἴρηται. Τὸ δὲ, ἐπειθ' ἑλοῦ γε, ἀντὶ τοῦ, εἰ δὲ μή τοι, ἐκλεξαι θάτερον.

351. Πάντα τιμωρουμένης] εὕρηται δ' μέν ἐνεργητικῶς τιμωρῶ τὸ κολάζω, ἀλλὰ καὶ τὸ βοηθῶ καὶ δ μόνον τιμωροῦμαι παθητικῶς τὸ βοηθοῦμαι ἀλλὰ καὶ τὸ κολάζομαι, ὡς καὶ πᾶς τις ἐξιτάζων εὑρήσει.

352. Τήν τε δρῶσαν] ἀντὶ τοῦ ἐμέ.

353. Ἐκτρέπεις] ἡ ἐκ ἀντὶ τῆς ἀπὸ ἀπολήγουσ' ἱκτρίπειν, τὸ παρακλίνειν τῆς ὁδοῦ· καὶ ἐτροπὴ, ὅταν τις ἢν βαδίζει ὁδὸν ἀφεὶς, ἑτέραν βαδίσῃ.

353. Οὐ ταῦτα πρὸς] Ἤγαν, πρὸς τῷ εἶναι σε κακὴν, ὑπάρχεις καὶ δειλή. Κακὴ μὲν, ὅτι δ τιμᾷς τὸν πατέρα· δειλὴ δὲ, ὅτι φοβῇ τοὺς κτανόντας τὸν πατέρα.

356. Κακῶς μὲν, οἶδ'] κακῶς μὲν ζῶ, ἀλλ' ὑπὲρ τοῦ λυπεῖν τοὺς ἐχθροὺς τοῦτο πράττω· δ γὰρ ἐρίζομαι πρυφερώτερον ζῆν.

357. Λυπῶ δὲ τούτους] διὰ τὸ τιμᾶν τὸν πατέρα.

362. Χλιδᾷς] Χλιδὴ ἰτυμολογεῖται, ἀπὸ τοῦ χαλᾶν τὴν ἰδίαν· ἡ γὰρ τρυφὴ χαλᾷ τὴν ἰδίαν, καὶ χαυνοῖ, καὶ ἀχρειοῖ.

364. Περιῤῥείτω] Ἤγουν, πανηγυρίζοι εὐσταθῶς ἐχέτω.

365. Ἐμοὶ

Ἐμοὶ γὰρ ἔξω τὠμὲ μὴ λυπεῖν μόνον
Βόσκημα· τῆς σῆς δ' ὐκ ἐρῶ τιμῆς τυχεῖν.
Οὐδ' ἂν σὺ, σώφρων δ' ὤσα· νῦν δ' ἐξὸν πατρὸς
Πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλῶ
Τῆς μητρός· ὥτω γὰρ φανῇ πλείστοις κακὴ,
Θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.
ΧΟΡ. Μηδὲν πρὸς ὀργὴν, πρὸς θεῶν· ὡς τοῖς λόγοις
Ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
Τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὖτη πάλιν.
ΧΡΥ. Ἐγὼ μὲν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
Τῶν τῆσδε μύθων· ὅθ' ἂν ἐμνήσθην ποτὲ,
Εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
Ἥκω, ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
ΗΛΕ. Φέρ' εἰπὲ δὴ τὸ δεινόν· εἰ γὰρ τῶνδέ μοι
Μεῖζόν τι λέξεις, ὐκ ἂν ἀντείποιμ' ἔτι.
ΧΡΥ. Ἀλλ' ἐξερῶ σοι πᾶν, ὅσον κάτοιδ' ἐγώ·
Μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξοις γόων,
Ἐνταῦθα πέμψειν, ἔνθα μήποθ' ἡλίου

365. Ἐμοὶ γὰρ ἔξω] ἐμοὶ (φησὶν) ἔξω φροντὶς, ἡ τῇ ἀνάγκῃ μόνον ἀρμόζουσα, καὶ τὴν πεῖναν ἀπελαύνουσα· οἱ δέομαι γὰρ τοιαύτης τροφῆς, ἀφ' ἧς ἡδονὴν σχήσω. Ἢ ἄντως, τοῦτο μόνον ἐμὲ βοσκέτω, τὸ μὴ λυπεῖν ἐμὲ αὐτὴν, εἰ τοῖς φανεῖσι τῷ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι.

367. Οὐδ' ἂν σὺ, σώφρων] ὡς σὺ, εἰ ἐσωφρόνεις, ἀδίκως ἔζης, ἡμελημένη τῷ πολίτῃ.

Ib. Νῦν δ' ἐξὸν] ἀδύνατος ὁ ἐξὸν, τὸ παρὸν, τὸ ἐνὸν, καὶ ὅσα ἄλλα ὠδίστερα μιξολεκτικὰ, ὠδίποτε οἱ Ἀττικοὶ πλαγιάζουσιν, ὅτι πλαγιασμὸν ἡ σύνταξις ἀπαιτεῖ.

368. Καλῶ] ἀντὶ τοῦ καλήσω, λέγω, ὀνομάζω.

371. Μηδὲν πρὸς ὀργὴν] ἀντὶ τοῦ ὀργίλως· καὶ πρὸς βίαν, ἀντὶ τοῦ βιαίως· καὶ πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς· καὶ πρὸς ἀλήθειαν, ἀντὶ τοῦ ἀληθῶς, καὶ πολλὰ ἕτερα λέγεται, ὥστε ἀντὶ ἐπιῤῥήματος.

372. Εἰ σὺ μὲν μάθοις] εἰ συγκεράσειε τὰς τρόπους, εὖ ἂν ἔχοι ἡ μὲν γὰρ, αὐχηρά· ἡ δὲ, ἀνιαμίνη.

374. Ἠθάς εἰμί] ἀντὶ τοῦ ἐν συνηθείᾳ εἰμί. Ἔθος ἡ συνήθεια, ἦθος δὲ ὁ τρόπος. ἐνταῦθα ὧν ἠθὰς ὠφελεῖν εἶναι, διὰ δὲ τὸ μέτρον ἐτέθη τὸ ἠθὰς ἀπὸ τοῦ ἦθος, ἐπεὶ πλησιάζει τὸ ἦθος καὶ τὸ ἦθος.

375. Τῶν τῆσδε μύθων] τῶν παρὰ ταύτης λεγομένων μύθων.

377. Μαχῶν] μιχάλων, ἢ πολυχρονίων.

Ib. Σχήσει] ἐφίξει, κωλύσει.

Ib. Γόων] γράφεται καὶ λόγων.

382. Ἐνταῦθα πέμψειν] ἐκεῖσε· τὸ ἐνταῦθα ποιοῦται ἐν πρώτῳ προσώπῳ, ἤγουν, ἐνταῦθα ἐνθα κἀμὶ ἐγώ· τὸ αὐτὸ, ἐν δευτέρῳ, εἶσον, αὐτὸ ἐκεῖ

Φέγγος προσόψει· ζῶσα δ' ἐν καληρεφεῖ
Στέγῃ χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.
Πρὸς ταῦτα φράζε, καί μέ μήποθ' ὕστερον
Παθοῦσα μέμψῃ· νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ΗΛΕ. Ἦ ταῦτα δή μοι καὶ βεβούλευσαι ποιεῖν;
ΧΡΥ. Μάλισθ'· ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.
ΗΛΕ. Ἀλλ' ἐξίκοιτο τῆδέ γ' ὥνεκ' ἐν τάχει.
ΧΡΥ. Τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;
ΗΛΕ. Ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
ΧΡΥ. Ὅπως πάθῃς τὶ χρῆμα; ὦ πότ' εἶ φρενῶν;
ΗΛΕ. Ὅπως ἀφ' ὑμῶν ὡς πρόσωτατ' ἐκφύγω.
ΧΡΥ. Βίᾳ δέ τῳ παρόντος ἀμνείαν ἔχεις;
ΗΛΕ. Καλὸς γὰρ οὑμὸς βίοτος, ὥστε θαυμάσαι.
ΧΡΥ. Ἀλλ' ἦν ἄν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίσασο.
ΗΛΕ. Μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡΥ. Ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκάθειν.
ΗΛΕ. Σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡΥ. Καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.

ἐνθα εἶ σύ· τὸ ἐκεῖ, ἐν τρίτῳ, οἷον ἐκεῖ ἔνθα ἐστὶν ἐκεῖνος· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐκεῖσε λέγεται, τὸ ἐπίρρημα ἀντὶ τῆς ἐπιρρήματος.

383. Κατηρεφεῖ] Ἤγουν, ἐν σκεπαστῇ φυλακῇ. ἦθος· γὰρ ἦν τοῖς παλαιοῖς, ὅτε ἠθέλον ἀπολέσαι τινά, καὶ μὴ μιανθῆναι τῷ αὐτοῦ αἵματι, ἐν φυλακῇ σκοτεινῇ ἔβαλλον ἐκεῖνον, καὶ ἐκεῖ ἔθνησκε, λέγοντες ὡ πως ἡμᾶς ἐρημώσῃ.

384. Ὑμνήσεις] Θρηνήσεις· ὕμνος κυρίως ὁ ἐς θεὸν ᾠδὴ· παρὰ δὲ ποιηταῖς ἁπλῶς ἡ ᾠδὴ, εἴτε ἐπὶ πανηγυρικῆς ἐμμελείας (ἀφ' ἧς λέγεται ὑμνοπόλος παρ' αὐτοῖς, ταὐτὸν τῷ ἀοιδοπόλος) εἴτε μέλους θρηνώδους, καθ' ὃ λέγεται ἐνταῦθα τὸ ὑμνήσεις.

386. Νῦν γὰρ ἐν καλῷ φρονῶν] ἤγουν, πρὸ τῆς πείρας κάλλιστόν ἐστι νὰν λαμβάνειν, ὅπως σαύτην ἐκφύγῃς. Οἱ δὲ τὸ ἐγκαλῶ ἀντὶ τοῦ λίγω φάσκοντες, οὐκ οἶδα εἰ τὸ παράπαν μετέχουσι νοῦ.

387. Ἦ ταῦτα δή μοι] ἆρα δή μου καὶ βεβούλευνται, ἤγουν, οὐκ ἠπείλουν μόνον ταῦτα, ἀλλ' ἤδη καὶ βουλὴ κυρῶσιν.

389. Ἀλλ' ἐξίκοιτο] ἀκμάζει μάλιστα τὸ πρόσωπον Ἠλέκτρας τῇ Ἀντιγόνῃ.

393. Ἀφ' ὑμῶν] πῶνυ θυμικῶς καὶ τὸν ἀδελφὸν αὐτῆς συγκαταλέγει ὡς τὸ αὐτῶν αἷμα μίαιμον.

395. Καλὸς γὰρ] εἰρωνεύεται ἐν ἤθει.

Ib. Ὥστε θαυμάσαι] ἀντὶ τοῦ ἀγαπῆσαι βιῶν αὐτὸν ἀξιόνοτι τὸν βίοτον. Θαυμάζειν τις ἀρετὴν, ἀντὶ τοῦ ἀγαπᾷ· ἐργάζεσθαι ἀρετὴν, καὶ θαυμάξει λόγως, ἀντὶ τοῦ ἀγαπᾷ κτᾶσθαι λόγως· κατὰ τοῦτο λίγεται καὶ ταῦθα τὸ θαυμάσαι· ἤγουν, καλὸς γὰρ ὁ ἡμὸς βίος, ὥστε θαυμάσαι αὐτὸν ἀξιόνοτε.

398. Ἀλλ' οὐ διδάσκω] ἀλλ' οὐ διδάσκω κακὴν εἶναι τοῖς φίλοις, διδάσκω δὲ εἶκειν τοῖς ἄρχουσιν.

400. Ἀβουλίας] ἐξ αἰτίας τῆς κακοβουλίας· ἤγουν, διὰ κακοβουλίαν.

401. Πατρὸς

ΗΛΕ. Πεσούμεθ', εἰ χρὴ, πατρὶ τιμωρούμενοι.
ΧΡΥ. Πατὴρ δὲ τούτων, οἶδα, συγγνώμην ἔχει.
ΗΛΕ. Ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡΥ. Σὺ δ' οὐχὶ πείσῃ, καὶ συναινέσεις ἐμοί;
ΗΛΕ. Οὐ δῆτα· μήπω νὴ τοσόνδ' εἴην κενή. 405
ΧΡΥ. Χωρήσομαί τ' ἄρ' οἷπερ ἐσάλην ὁδῷ.
ΗΛΕ. Ποῖ δ' ἐμπορεύῃ *; τῷ φέρεις † τάδ' ἔμπυρα;
ΧΡΥ. Μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
ΗΛΕ. Πῶς εἶπας; ἢ τῷ δυσμενεστάτῳ βροτῶν;
ΧΡΥ. Ὃν ἔκταν' αὐτή· τοῦτο γὰρ λέξαι θέλεις. 410
ΗΛΕ. Ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
ΧΡΥ. Ἐκ δείματός τοι νυκτέρου, δοκεῖν ἐμοί.
ΗΛΕ. Ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν.
ΧΡΥ. Ἔχεις τι θάρσος τῶνδε τοῦ τάφου πέρι;
ΗΛΕ. Εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε. 415

* Ald. Turn. in marg. ἐκπορεύῃ. † Ald. ποῖ φέρεις.

401. Πατρὶ τιμωρούμενοι] ἀποροῦσιν ἐνταῦθα πῶς γυνὴ οὖσα, τιμωρούμενοι εἶπεν, ὅπερ ἐστὶν ἀρσενικόν· καὶ φαμεν ὅτι πρὸς τὸ ὑμῖν τοῦτο ὤφειλεν.

402. Πατὴρ δὲ τούτων] οἶδα ὅτι ὁ πατὴρ ἕνεκα τούτων συγγνώμην ἔχει ἡμῖν δηλονότι.

403. Πρὸς κακῶν] Ἀντὶ τοῦ, κακῶν ἀνθρώπων ἐστὶν ἴδιον δηλονότι, ἐπαινέσαι ταῦτα τὰ ἔπη, ἤγουν, κακοὶ ταῦτα ἐπαινέσονται.

Ib. Οὐ δῆτα] ἀντὶ τοῦ, μηδαμῶς· ἤγουν, εἴθε μηδαμῶς εἴην κενὴ, ἤτοι λειποψυχῶν, σπεύσω χωρῆσαι, κατὰ τοσοῦτον.

405. Νὴ κενὴ] ἀντὶ τοῦ συνέσεως κεχῆν.

406. Οἷπερ ἐσάλην ὁδῷ] καὶ τὸ οἷ μόνον ἱκανόν ἐστιν· οἷον πορεύσομαι εἰς ἀπεσάλην· ἐπὶ δὲ ὁδοῦ ἄγει ἱκέσθαι ὅπου ἀπεσάλην, λέγει οὖν τῆς ὁδοῦ. Ἐσάλην, ἀντὶ τοῦ ἀπεσάλην, σέλλομαι ἀντὶ τοῦ πορεύσομαι· ἀποσέλλομαι δὲ ὑφ' ἑτέρου, ἀντὶ τοῦ πέμπομαι.

407. Ποῖ δ' ἐμπορεύῃ] καλῶς εἶπε τὸ ἐμπορεύῃ· ὥσπερ γὰρ οἱ ἔμποροι κέρδους ἕνεκα σφῶν ταύτην τὴν τίχνην μετίασιν· οὕτω καὶ ἡ Χρυσόθεμις πρὸς Ἀγαμέμνονα τὴν θυσίαν ἔφερεν, κέρδος τῇ μητρὶ καὶ βοήθειαν ἐντεῦθεν πραγματευομένη. Οἱ δὲ λέγουσι τὸ ἐμπορεύῃ ἀντὶ τοῦ πορεύῃ, ἐκλαμβάνοντες τὸ ἐν ἀρχῇ ἀμαθῶς. Καταχρηστικῶς δὲ εἶπε τὸ ἔμπυρα· ἔμπυρα γὰρ κυρίως τὰ διὰ πυρὸς γινόμενα.

408. Τυμβεῦσαι] σπεῖσαι τῷ τύμβῳ.

411. Ἐκ τοῦ φίλων] ἀντὶ τοῦ, ἐκ παραινήσεως τινὲς ἀπὸ τῶν φίλων.

412. Δοκεῖν ἐμοὶ] ἤγουν κατὰ τὸ δοκοῦν ἐμοί· δοκῶ γὰρ δοκεῖν οἱ Ἀττικοὶ λέγουσιν ὁ δοκῶν· ὡς πολέω πολεῖν, δίω διεῖν.

413. Συγγένεσθέ γ'] συμμαχήσατε, συνεργήσατε, συμπράξατε ἡμῖν κἂν νῦν· ἀκούσασα δὲ ὅτι ἐν τοῖς ὀνείροις δείγματά τινα τῇ Κλυταιμνήστρᾳ γίγνονται, θαρσεῖ, καὶ ἐπικαλεῖται τοὺς θεούς, εἰ καὶ μὴ πρότερον, κἂν νῦν παρίστασθαι.

Ib. Ὦ θεοὶ] Ἀκούσασα ἡ Ἠλέκτρα, ὅτι ἐν τοῖς ὀνείροις γεγόνασι τῇ Κλυταιμνήστρᾳ δείματα, θαρσεῖ, καὶ ἐπικαλεῖται τοὺς θεούς.

415. Τὴν ὄψιν] ἤγουν, ὃ εἶδεν. Ὄψις, τὸ θεᾶσθαι, καὶ ἡ ὁρατικὴ δύναμις, καὶ τὸ πρόσωπον.

416. Πλὴν

ΧΡΥ. Ἀλλ' ἐ κάτοιδα, πλὴν ἐπὶ σμικρὸν * φράσαι,
ΗΛΕ. Λέγ' ἀλλὰ τοῦτο· "πολλά τοι σμικροὶ λόγοι
"Ἔσφηλαν ἤδη, καὶ κατώρθωσαν βροτούς."
ΧΡΥ. Λόγος τὶς αὐτὴν ἐσιν εἰσιδεῖν πατρὸς
Τῷ σῷ τε κἀμοῦ δευτέραν ὁμιλίαν,
Ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέσιον
Πῆξαι λαβόντα σκῆπτρον, ὃὐφόρει ποτὲ
Αὐτὸς, τανῦν δ' Αἴγισθος· ἔκ τε τοῦδ' ἄνω
Βλαστεῖν βρύονλα θαλλὸν, ὥ κατάσκιον
Πᾶσαν γένεσθαι τὴν Μυκηναίων χθόνα.
Τοιαῦτά τε παρόντος, ἡνίχ' ἡλίῳ

* Turn. in marg. σμικρῷ.

416. Πλὴν ἐπὶ σμικρὸν] ἀντὶ τοῦ πλὴν δι' ὀλίγων.

417. Λέγ' ἀλλὰ τοῦτο] λέγε κἂν τοῦτο.

Ib. Πολλά τοι] ἀντὶ τοῦ καταπολὺ, ἐπιρρηματικῶς. Ἔσι δὲ Ἀττικὸν, ὡς καὶ τὸ πότερα ἀντὶ τοῦ πότερον.

418. Ἔσφηλαν] ἔσφαλαν, σφαλῆναι ἐποίησαν.

419. Λόγος τὶς] λόγος τὶς ἐσὶν εἰς αὐτὴν τὴν μητέρα ἡμῶν, λέγει ἰδεῖν δευτέραν ὁμιλίαν τοῦ σοῦ καὶ ἐμοῦ πατρὸς, ἐλθόντος εἰς τὸν ζωήν. Εἶτα εἰδε τὸν πατέρα ἡμῶν τοῦτον ἐφέσιον λάβοντα τὸ σκῆπτρον, ὅπερ ἔφερέ ποτε αὐτὸς, ὅτε ἦζε, τανῦν δὲ φέρει ὁ Αἴγισθος, πῆξαι· καὶ ἐκ τοῦδε τοῦ σκήπτρου ἄνω εἶδε ἀναβλαστῆσαι βρύοντα θαλλὸν, ὦ, ἀντὶ τοῦ, δι' ὃ, εἶδε γενέσθαι κατάσκιον πᾶσαν τὴν χθόνα τῶν Μυκηναίων· ἰσέον, ὅτι τὸ ἐφέσιον ἁρμόζει καὶ μετὰ τοῦ Ἀγαμεμνονος, ἵνα ᾖ, τὸν δὲ ὄντα ἐφέσιον· ἁρμόζει καὶ μετὰ τοῦ σκήπτρου, ἵνα ᾖ, εἶτα τόνδε τὸν πατέρα ἡμῶν λαβόντα τὸ ἐφέσιον σκῆπτρον, ἤγουν, τὸ πατρικὸν, ὅπερ ὁ Ζεὺς δέδωκε τῇ οἰκίᾳ ἡμῶν ἔκπαλαι.

420. Δευτέραν ὁμιλίαν] ὡς αὖθις αὐτοῦ ἀναζήσαντος, καὶ προσομιλήσαντος. Ὁμιλία δὲ, ἐπὶ τῶν ἐνωμένων· κοινωνία, ἐπὶ τῶν συμμετεχόντων τινός· ἐπεὶ δὲ ἡ ἕνωσις καὶ διὰ λόγων γίνεται, καὶ διὰ μίξεως ἀφροδισίων, καὶ δι' ἑτέρων, λέγεται ἡ ὁμιλία καὶ ἐπὶ συνουσίας καὶ ἐπὶ διαλέξεως. Ὡμιλεῖ γάρ τις τινὶ, ἤγουν, διαλέγεται· καὶ ὁμιλεῖ βιβλίῳ, ἀντὶ τοῦ εἰς λόγους ἔρχεται. λόγος γὰρ τὸ βιβλίον ἐμπεριέχει· ὁμιλεῖ δὲ θανάτῳ, ἀντὶ τοῦ ἐνοῦται· καὶ ὁμιλεῖ συμφοραῖς, ἀντὶ τοῦ ἐνοῦται καὶ συγκρίνεται· κοινωνοῦσι δέ τισες, ἢ μεταδιδόντες ἀλλήλοις καὶ μεταλαμβάνοντες παρ' ἀλλήλων φιλίας, ἢ γνώσεως, ἤ τινος τοιούτου τῶν παρ' ἑαυτοῖς, ἢ ἑτέρου τινὸς ἔξω ἑαυτῶν συμμετέχοντες, οἷον πραπέζης, ἢ χωρίων, ἢ τοιούτων τινῶν.

421. Ἐφέσιον] ἐπὶ τὴν οἰκίαν γενόμενον· τετέχνιν, ἐπ' οἶκον. Ἐφέσιος, ὁ οἰκῶν ἐν ἀλλοτρίᾳ οἰκίᾳ· ὡς παρ' Ὁμήρῳ·

"Ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέσιον ἤγαγε
"δαίμων,"

Καὶ ὁ ἔχων οἰκίαν, ὡς παρὰ τῷ αὐτῷ, "Τρῶας μὲν λέξασθε ἐφέσιοι ὅσσοι ἔασιν· ἐφέσιος ἁπλῶς καὶ ὁ ἐν οἰκίᾳ ὤν, ὡς ἐνταῦθα· ὁμέσιος δὲ καὶ συνέσιος, ὁ ἐν μιᾷ οἰκίᾳ μεθ' ἑτέρου ὤν.

424. Θαλλὸν] Θαλλὸς καὶ Θύρσος τὸ αὐτό. ἴσι δὲ ὁ ἁπαλὸς κλάδος.

426. Ἡνίχ' ἡλίῳ] τοῖς γὰρ παλαιοῖς ἔθος ἦν, ἀποτροπιαζομένους τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα.

Ib. Ἡλίῳ] ἀντὶ τοῦ ἡμέρᾳ· Ἤκουσα (φησὶ) τοῦ ὀνείρου ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι, κἀκεῖνος ἐμοί.

Δείκνυσι τἄναρ, ἔκλυον ἐξηγημένης·
Πλείω δὲ τούτων ἐ κάτοιδα, πλὴν ὅτι
Πέμπει με κείνη τῆδε τῇ φόβῃ χάριν.
Πρὸς νῦν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν,
Ἐμοὶ πιθέσθαι, μηδ' ἀβελίᾳ πεσεῖν·
Εἰ γὰρ μ' ἀπώσῃ, σὺν κακῷ μέτει πάλιν.

ΗΛΕ. Ἀλλ', ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν,
Τύμβῳ προσάψῃς μηδέν· ἐ γάρ σοι θέμις,
Οὐδ' ὅσιον, ἐχθρᾶς ἀπὸ γυναικὸς ἰσάναι
Κτερίσματ', ἐδὲ λητρὰ προσφέρειν πατρί·
Ἀλλ' ἢ πνοαῖσιν, ἢ βαθυσκαφεῖ κόνει
Κρύψόν νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
Τούτων πρόσεισι μηδέν· ἀλλ' ὅταν θάνῃ,
Κειμήλι' αὐτῇ ταῦτα σώζεσθω κάτω.
Ἀρχὴν γὰρ, εἰ μὴ τλημονεσάτη γυνὴ

1b. Ἠίχ' ἠλίῳ] ἔθος ἦν τοῖς παλαιοῖς, ὅπότε καθ' ὕπνους ὄναρ δεινὸν θεάσαιντο, ἅμα πρὸὶ πρὸς τὸν ἥλιον λέγειν, ἵν', ἐπειδὴ ἐναντίος ὗτός ἐςι τῇ νυκτὶ, ἀποτροπὴν ἐργάσηται τούτου.

427. Ἐξηγημένη] ἀντὶ τοῦ διηγημένη· ἑρμηνεία, συνθήκη λόγῳ δηλοῦσά τι, καὶ ἡ τῶν τυχόντων διασάφησις. Ἐξηγήσις δὲ, διασάφησις θείων· διήγησις δὲ, ἡ ἁπλῶς ἀφήγησις.

432. Εἰ γάρ μ' ἀπάσῃ] εἰ γὰρ νῦν (φησὶ) δεομένην σε ἀπάσῃ με, κακῶ σοι τινὸς γενομένης μετὰ ταῦτα, αὐτὴ μετελεύσῃ με καὶ ἀξιώσεις μετά σε γενέσθαι. Ἄλλως· μέτει, ἀντὶ τοῦ κολακεύσεις. Μετέρχομαι, τὸ ὑπέρχομαι, καὶ κολακεύω, καὶ τὸ κολάζω.

433. Ἀλλ', ὦ φίλη] συμβουλὴ Ἠλέκτρας πρὸς Χρυσόθεμιν, ἵνα ἀποβάλῃ ἃ φέρει θύματα πρὸς τύμβον πατρός.

434. Οὐ γάρ σοι θέμις] ἵνα μὴ ἀποβρέψῃ. εἴ τι κακὸν μέλλει γενέσθαι ἀπὸ τῶν ὀνείρων. Εὐνὴν δὲ νῦν, τὸν τάφον. Θέμις, τὸ εὔνομον ἔσιον, τὸ δίκαιον. ὅμως ἀμφότερα ἐπὶ θεῦ, δίκαιον δὲ ἐπὶ ἀνθρώπου.

1b. Προσάψῃς μηδὲν] ἀντὶ τοῦ, μὴ προσάψῃς, ἤγουν, ἀναθῇς. Κρεμάσῃς, προσεγίσῃς, καὶ προσαρτίσῃς.

436. Κτερίσματ'] Κτερίσματα λέγονται τὰ ἐπὶ τοῖς νεκροῖς θύματα· ἔχουσι δὲ τὴν ἐτυμολογίαν, ἀπὸ τοῦ χίειν αὐτὰ κάτω τῆς ἕρας, ἤγουν, τῆς γῆς.

437. Βαθυσκαφεῖ κόνει] εἰς βάθος ὀρυγμένῃ· πρὸς μὲν τὸ βαθυσκαφεῖ κόνει ἁρμοδίως λέγεται τὸ κρύψον· πρὸς δὲ τὸ πνοαῖς ὐ δύναται ἁρμόσαι. Δεῖ δὲ συνυπακουειν ἔξωθεν ῥῆμα κατὰ ἀναλογίαν, ἢ τὸ βίψον, ἢ τὸ δὸς, ἤ τι τῶν τοιούτων. Καὶ ἐν ἑτέροις τοῦτο γίνεται πολλοῖς, ὡς παρ' Ὁμήρῳ·

——— "ἦχι ἑκάστῳ
"Ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἕ-
"κειτο."

Οὐ γὰρ οἱ ἵπποι ἔκειντο (ἵν' ἀπὸ κοινοῦ τὸ ἔκειντο λέγηται, μετεσχηματισμένον ἀπὸ τοῦ ἵκειτο) ἀλλ' εἱςήκεισαν.

440. Κειμήλι'] Κειμήλια λέγονται, τὰ ἐναπόθετα χρήματα. Ἔχουσι δὲ τὴν ἐτυμολογίαν, ἀπὸ τοῦ κεῖσθαι καὶ μὴ τὸν ἥλιον ὁρᾶν.

441. Εἰ μὴ τλημονεσάτη] καθόλου (φησὶν) εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν, ὐκ ἂν ποτε

Πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
Οὐκ ἄν ποθ', ὅν γ' ἔκλεινε, τῷδ' ἐπέσκεφε.
Σκέψαι γὰρ, εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
Γέρα τάδ' οὖν τάφοισι δέξασθαι νέκυς,
Ὑφ' ἧς θανὼν ἄτιμος, ὥστε δυσμενὴς,
Ἐμασχαλίσθη, κἀπὶ λυτροῖσιν κάρα
Κηλῖδας ἐξέμαξεν· ἆρα μὴ δοκεῖς

ποτε ταῦτα ἔπραττειν ἐπὶ τιμῇ τῇ πατρὸς, ὃν αὐτὴ ἀπέλεν. Εἰκὸς ὧν αὐτὴν τῦτο ἐπί τινι λυσιτελῦντι πράττειν· ᾧ μὴ ὑπεργησης σύ.

1b. Εἰ μὴ τλημ.] Εἰ μὴ γὰρ κατὰ τὴν ἀρχὴν ἐγένετο τλημονεςάτη γυνὴ πασῶν γυναικῶν, ὐκ ἄν ποτε ἔκτεινε τὸν ἄνδρα αὐτῆς, ὃν ἔκτανεν· ἀλλ' ὐδὲ ἔςεφεν ἐπὶ τῷδε τῷ τάφῳ αὐτῦ τάσδε τὰς δυσμενεῖς χοάς. Ἢ ὅτας· εἰ μὴ γὰρ κατὰ τὴν ἀρχὴν ἐγένετο τλημονεςάτη γυνὴ πασῶν τῶν γυναικῶν, ὐκ ἂν ποτε ἐπέςεφε, καὶ ἐπεκόσμει τῶνδε τῷ πατρὶ ἡμῶν καὶ ἀνδρὶ αὐτῆς τάσδε τὰς δυσμενεῖς χοὰς, ὃν τινα ἔκτανε.

444. Προσφιλῶς] τὸ αὐτῇ, ἢ πρὸς τὸ σοὶ συντακτέον, ἵν' ᾖ ἐκ παραλλήλυ αὐτῇ σοί· ἢ πρὸς τὸ γέρα, ὅτω, τὰ γέρα αὐτῇ, ἤγυν, αὐτῆς· ἢ πρὸς τὸ προσφιλῶς, ἵν' ᾖ προσφιλῶς αὐτῇ, ἤγυν, ἀποδεικτῶς αὐτῇ, καὶ ὡς αὐτὴ βύλεται.

1b. Εἴ σοι προσφιλῶς αὐτῇ] σκέψαι γὰρ εἰ σοὶ αὐτῇ δοκεῖ ὁ νέκυς δέξασθαι ἐν τοῖς τάφοις προσφιλῶς τάδε τὰ δῶρα.

447. Ἐμασχαλίσθη] ἔθος ἦν τοῖς παλαιοῖς, ἡίκα τινὰ διεχρήσαντο, ἀκρωτηριάζειν αὐτὸν, καὶ ὑπὸ τῆς μασχάλης ταῦτα τιθέναι. Τῦτο δὲ ἐποίυν ἵνα ἀνίσχυρον αὐτὸν ἐργάζωνται διὰ τῆς τῶν ἀκρωτηρίων τομῆς πρὸς τὴν αὐτῶν ἄμυναν, ἣν οἱ νεκροὶ τὺς ζῶντας ἀμύνονται, Ἐρινῦς αὐτοῖς ἐπιπέμπυλες· ὐ μόνον δὲ ταῦτα ἐποίυν, ἀλλὰ καὶ τὸ ξίφος, δι' ὗ ἡ σφαγὴ ἐγίνετο, ἀπέματτον πρὸς τὴν τῦ σφαγέντος κεφαλήν.

1b. Ἐμασχαλίσθη] ὑπὸ τὰς μασχάλας ἔλαβε τὰ ἄκρα, ἀντὶ τῦ ἠκρωτηριάσθη. ἢ ἐπεὶ εἰάθισαν εἰς τὰς κεφαλὰς τῶν αναιρημένων ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μῦσος τὸ ἐν τῷ φόνῳ· κάρα δὲ, κατὰ τὴν κεφαλὴν ἑαυτῦ δηλονότι. Τὸ δὲ ἐξέμαξεν, ἐπὶ τῦ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήςρας. Καὶ τὸ κάρα αὐτῦ, τὰς κηλῖδας τύτων τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν. Οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμηρον, ἐπεί φησιν ἐκεῖνος·

" Δειπνίσσας, ὥς τίς τε κατέκτανε βῦν ἐπὶ
" φάτνῃ."

Ἥκει γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι. Τὰ γὰρ κατὰ μέρος ἐξυσίαν ἔχει ἕκαςος ὡς βύλεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν βλάπτῃ τῆς ὑποθέσεως. Ἄλλως· εἰάθισαν οἱ δρῶντες ἐμφύλιον φόνον, ἀκρωτηριάζειν τὺς ἀναιρεθέντας, ἐκ παντὸς μέρυς τῦ σώματος ἀποτεμνόμενοι, καὶ περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συτείροντες· διὰ τύτων ὥσπερ τὴν δύναμιν ἐκείναν ἀφαιρέμενοι, διὰ τὸ μὴ παθεῖν ἐς ὕςερον τί δεινὸν παρ' ἐκείνων. Ἐφόρυν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα· ὃ καὶ μασχαλισθῆναι ἔλεγον. Ἄλλως· ἐπὶ ταῖς καθάρσεσι τῶν φονευθέντων τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὰς μασχάλας αὐτῶν ἐκρέμαζον αὐτὰ, ἵνα (φασὶν) ἀσθενεῖς γένοιντο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. Καὶ Ἀπολλώνιος·

" Ἐξάργματα τέμνε θανόντος, ὁ Ἴσσων
" τῷ Ἀψύρτυ."

448. Ἆρα μὴ] Τὸ μὴ ἐνταῦθα παρέλκει, ἐςὶν· ἀρκεῖ γὰρ εἰς τὴν ἔννοιαν τῦ λόγυ μόνον τὸ ἆρα. Ἐρώτησις, ἆρα δοκεῖς αὐτῇ Κλυταιμνήςρα τῇ μητρὶ ἡμῶν φέρειν ταῦτα τὰ κτερίσματα λυτήρια τῷ φόνῳ; Ἀπορ. ὐκ ἔςι. ἀντὶ τῦ ὐδαμῶς.

1b. Κηλῖδας ἐξέμαξεν] ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τῷ ξίφυς τὰς κηλῖδας, ἢ τῇ τῦ φονευομένυ· ὥσπερ τὰς ἐπὶ τῷ μύςει κηλῖδας ἀποτερπόμενοι.

Λυτήρι' αὐτῇ ταῦτα τῷ φόνῳ φέρειν;
Οὐκ ἔσιν· ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
Τεμοῦσα κρατὸς βοσρύχων ἄκρας φόβας,
Κἀμοῦ ταλαίνης (σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
Ἄ 'χω) δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα,
Καὶ ζῶμα τὐμὸν, ἐ χλιδαῖς ἠσκημένον.
Αἰτοῦ δὲ προσπίλνοῦσα, γῆθεν εὐμενῆ
Ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθρὰς μολεῖν·
Καὶ παῖδ' Ὀρέσην ἐξ ὑπερτέρας χερὸς
Ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδί,
Ὅπως τολοιπὸν αὐτὸν ἀφνεωτέραις

450. Ἀλλὰ ταῦτα μὲν μέθες] προοικονομικῶς ἀποσέλλει αὐτὴν εἰς τὸν τάφον ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου.

453. Ἀλιπαρῆ τρίχα] περιπαθῶς μὲν, τὸ τῆς πενίας· τὸ δὲ ἀλιπαρῆ, ἀντὶ τοῦ αὐχμηράν. Ἐν δὲ τῷ ὑπομνήματι, λιπαρῆ· ὅ ἐστιν, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα.

Ib. Ἀλιπαρῆ τρίχα] τρίχες κεφαλὴ λέγεται, οὐχὶ κεφαλὴ τριχῶν· ὁ γὰρ ὥσπερ ἡμέρα ἡλίου λέγεται, καὶ τὸ ἀνάπαλιν ἥλιος ἡμέρας λέγεται, ἐπεὶ διὰ τὴν ἡμέραν ὁ ἥλιος ἐγένετο, καὶ ὃ ἕνεκα ἐστὶν ἡμέρα. ποιεῖ δ' ὁ ἥλιος τὴν ἡμέραν γεγονὼς, διὰ τοῦτο καὶ λέγεται ἥλιος ἡμέρας· ἡ δὲ κεφαλὴ ποιεῖ μὲν τρίχας. Οὐ μέντοι δι' αὐτὸ τοῦτό ἐστιν ἡ κεφαλὴ, ἤγουν, διὰ τὸ ποιεῖν τρίχας. ὃ δ' ὁ προηγούμενος σκοπὸς τῆς κεφαλῆς ἐστιν ὗτος. Διὸ καὶ λέγεται ἡ κεφαλὴ τῶν τριχῶν· καὶ ἐπὶ μὲν τῶν ποιούντων οὕτως· ἐπὶ δὲ τῶν γινομένων δεῖ σκοπεῖν· ἔοικεν οὖν, ὁ πάντα τὰ γινόμενα, οἷς γίνεται τοῦτον λέγεσθαι. Οἷον, ἡ Σύρα τῷ περίοντι γίνεται ἡ τοῦ σκεπάρνου. Οὐ μὲν ἡ Σύρα τοῦ σκεπάρνου λέγεται, ἢ τοῦ περίοντος· ὁ γὰρ αὐτὸ δι' ἑαυτοῦ τὸ σκέπαρνον ποιεῖ τὴν Σύραν, ἵν' ᾖ ἡ Σύρα τοῦ σκεπάρνου· ἀλλ' ὁ ἐργαζόμενος, ἄλλος ἐστὶν, ἐργαλείῳ χρώμενος τῷ σκεπάρνῳ, ἤγουν, ὁ τέκτων, ὃ λέγεται ἡ Σύρα. λέγεται δὲ καὶ τοῦ οἴκου, ὅτι ἕνεκα τοῦ οἴκου γίνεται· καὶ τοῦ κυρίου τοῦ οἴκου, ὡς δεσπόζοντος. Καθόλου δὲ τὰ λεγόμενα τινὸς, ἢ ὡς πρός τι λέγεται, ὡς πατὴρ υἱοῦ. ἢ ὡς μέρη, ὡς ἡ χεὶρ τοῦ ἀνθρώπου. ἢ ὡς ὕλα, ὡς ὁ λαὸς τοῦ Θεοῦ. ἢ ὡς δεσπόζοντα, ὡς ὁ Θεὸς τῶν ἀνθρώπων· καὶ ὁ βασιλεὺς τοῦ λαοῦ. ἢ ὡς κτήματα, ὡς τὸ ἔνδυμα τοῦ δεῖνος. Ἢ ὡς γινόμενα ὑπό τινος, ὡς ἡμέρα ἡλίου. Ἢ ὡς γινόμενα διά τι, καὶ ποιοῦντα ἐκεῖνο δι' ὃ ἐγένοντο. ὡς ἥλιος ἡμέρας. Ἢ ὡς περιέχοντα, οἷον, τόδε τὸ πλῆθος, τοσόνδε ἀνθρώπων ἐστίν· ἤγουν, τοσοῦτος ἀνθρώπους περιέχει· ἢ ὡς περιεχόμενα, οἷον, τοσοῦτοι ἄνθρωποι τόδε τοῦ πλήθους, ἤγουν, τοσοῦτοι περιέχονται ὑπὸ τόδε τοῦ πλήθους. Ἢ ὡς ἐπέχοντα, οἷον ὁ δρόμος ὅτος πέντε σταδίων ἐστὶ, ἤγουν, τοσούτοις σταδίοις ἐπέχει. ἢ ὡς ἐπικρατούμενα, οἷον τοσοῦτοι σάδιοι τόδε τοῦ δρόμου. ἤγουν, τοσοῦτοις σάδιοι ἐπικρατοῦνται ὑπὸ τόδε τοῦ δρόμου. Καθὸ λέγεται καὶ ὁ δεῖνα τοσούτων ἐτῶν, ἤγουν, τοσαῦτα ἔτη ἡ ζωὴ αὐτοῦ ἐπέχει. Καὶ τὰ ἔτη τοῦ δεῖνος, ἤγουν, ἃ ἐπέχειαι ὑπὸ τῆς ζωῆς αὐτοῦ.

454. Καὶ ζῶμα τὐμὸν] σύμφωνον τοῦτο τῷ ὧδε μὲν ἀεικεῖ σὺν στολᾷ· ζῶμα δὲ νῦν τὴν ζώνην δηλοῖ, ἢ τὸ ἔνδυμα· ἵνα τοῦτῳ σέφῃ τὸν τάφον ἀντὶ μίτρας· δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ τῆς ταινίας.

457. Ἐξ ὑπερτέρας] ἀντὶ τοῦ ἰσχυροτέρας, μετὰ δυνάμεως μείζονος.

458. Ἐπεμβῆναι] ἤγουν, λάξ ἐπεμπηδῆσαι καὶ ἐπιτεθῆναι.

459. Τολοιπὸν] ἤγουν, κατὰ τὸ ἐπίλοιπον τοῦ χρόνου, τυτέσι, τὸ ἔμπροσθεν.

461. Οἶμαι

Χερσὶ ϛέφωμεν ἢ τανῦν δωρήμεθα.
Οἶμαι μὲν ἔν, οἶμαί τι κἀκείνῳ μέλον,
Πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα·
Ὅμως δ', ἀδελφὴ, σοί θ' ὑπέργησον τάδε
Καμοί τ' * ἀρωγὰ, τῷ τε φιλτάτῳ βροτῶν
Πάντων ἐν ᾅδε κειμένῳ κοινῷ πατρί.

ΧΟΡ. Πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δὲ
Εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.

ΧΡΥ. Δράσω· " τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
" Δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν."
Πειρωμένη δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
Σιγὴ παρ' ὑμῶν πρὸς θεῶν ἔσω, φίλαι·
Ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
Δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Εἰ μὴ ἐγὼ παράφρων

* Aldus, ἐμοί τ'. recte.

461. Οἶμαι μὲν] ἤγων, ὑπολαμβάνω ὅτι διὰ φρονίδος ἐϛὶ κακείνῳ τῷ πατρὶ ἡμῶν Ἀγαμέμνονι, πέμψαι ταῦτα τὰ δυσθέατα ὀνείρατα τῇ μητρὶ ἡμῶν Κλυταιμνήϛρᾳ. Ἤγεν, οἶμαι μὲν ἄν, οἶμαι ὅτι ἦν ἐκείνῳ τῷ πατρὶ ἡμῶν τι μέλον, ἤγων, τίς ποτε φρονεῖ, πέμψαι τάδε τὰ δυσπρόσοπτα ὀνείρατα αὐτῇ τῇ μητρὶ ἡμῶν, Κλυταιμνήϛρᾳ δηλονότι.

466. Πρὸς εὐσέβειαν] ἔϛιν ὅτε τὴν πρὸς μετ' ὀνείδους κειμένην καὶ αἰτιατικῇ συνταϛσομένην, ἀντὶ ἐπιῤῥήματος λαμβάνουϛιν, ὡς τὸ, μνῆϛιν πρὸς ὀργὴν, ἀντὶ τοῦ ὀργίλως· καὶ πρὸς εὖϛιν· καὶ πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς.

468. Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον] οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου, ὥϛε περὶ αὐτῶ δύο ὄντας ἐρίζειν· δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεϛθαι· ἢ τὸ, οὐκ ἔχει λόγον, ἀντὶ τοῦ, οὐ παρέχει πρόφαϛιν· Ἄλλως· ὑ διςαγμῶ (ϕηϛὶ) καὶ ἀμφιςολίας προσδεῖται τοῖς δύο, πάντων δεῖ τοῦτον ποιεῖν ἢ πρεπιςεῖϛθαι.

469. Ἀλλ' ἐπισπεύδειν] ἀλλὰ παρέχει σπεύδειν ἐπὶ τὸ δρᾶν. Σπεύδω ἐπὶ τόδε, ἐπισπεύδω δὲ ἕτερον, ἤγων, ἐπείγω.

470. Πειρωμένη] Ἤγων, ἀπτομένη καὶ ἀρχομένη τῶνδε τῶν ἔργων, ἃ εἶπεν ἡ Ἠλέκτρα ἐμοὶ, ἔϛω πρὸς θεῶν σιγὴ παρ' ὑμῶν, ὦ φίλαι. Ἰϛέον, ὅτι ὅϛα εὐλαβὴς ἡ Χρυσόθεμις, ἀξιοῖ τὸν χορὸν κρύπτειν τὰ γινόμενα ἔργα. Διὸ καί φηϛι, ὦ φίλαι, πρὸς θεῶν ἔϛω σιγὴ παρ' ὑμῶν, ἐμοὶ τῇ πειρωμένῃ τῶνδε τῶν ἔργων. τυτέϛιν, ἔϛω κρύψις παρ' ὑμῶν, ἐμοὶ τῇ ἐπιχειρούϛῃ τῶνδε τῶν ἔργων· ἤγων, ζητῶ γενέϛθαι σιγὴν παρ' ὑμῶν, ἕνεκα ἐμοῦ τῆς ἐπιχειρούϛης τῶνδε τῶν ἔργων· ἤγων, ϛιωπήϛαιτε ταῦτα τὰ ἔργα, ἃ ἐπιχειρῶ ποιεῖν, ὅτι εἰ ἡ τεκοῦϛα πεύϛεται καὶ μαθήϛεται ταῦτα, δοκῶ ὡς εἰς τὸ ἐξῆς μέλλω μέμψαϛθαι ἐμὲ, ἤγων, ἐμαυτὴν, ὅτι ἐτόλμηϛα ἐργάϛαϛθαι τήνδε τὴν πεῖραν πικράν.

474. Εἰ μὴ ἐγὼ παράφρων] κατανοήϛας ὁ χορὸς ἀπὸ τοῦ ὀνείρου, ὡς ταχέως οἱ φοναῖς ὑπὸ

Μάντις ἔφυν, καὶ γνώμας
Λειπομένα σοφᾶς
Εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα
Χεροῖν κράτη· μέτεισιν, ὦ
Τέκνον, ἐ μακρᾷ χρόνῳ.
Ὑπερί μοι Θράσος,
Ἀδυπνόων κλύουσαν
Ἀρτίως ὀνειράτων·
Οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὃ φύσας
Ἑλλάνων ἄναξ,
Οὐδ' ἁ παλαιὰ χαλκόπληκτος
Ἀμφήκης γένυς,

τῆς Δίκης τιμωρηθήσονται, προμαντευόμενος δηθεν φησὶ πρὸς τὴν Ἠλέκτραν, ὦ τέκνον, ὑπερί μοι Θράσος, ἦγεν, Θαῤῥῶ, εἰ μὴ ἔφυν καὶ ὑπάρχω ἐγὼ μάντις παράφρων καὶ λειπομένη καὶ ἐσερημένη γνώμης σοφῆς, ἦγεν, διανοίας φρονίμου· ἦγεν, εἰ μὴ ἀνοήτως μαντεύομαι καὶ ἐστέρημαι γνάσεως φρονίμου, εἶσι καὶ ἐλεύσεται ἡ Δίκη ἡ πρόμαντις, καὶ ἡ διὰ σημείων τινῶν προμαντευομένη, καὶ δεικνύουσα τὸ μέλλον, φερομένη ἐν ταῖν χεροῖν κράτη δίκαια· ἦγεν, κατὰ τῶν φονέων τῦ σῦ πατρὸς δικαίαν ἐξουσίαν καὶ δύναμιν φερομένη, τῦτ' ἔχει, δικαίως αὐτὸς μετὰ δυνάμεως τιμωρήσουσα, μέτεισι καὶ μετελεύσεται, καὶ τιμωρήσεται τινα κλύουσαν, καὶ ἀκούσασαν ἀρτίως καὶ πρὸ ὀλίγου ὀνειράτων ἡδυπνόων καὶ εὐφαντῶν ἡμῖν, οὐκ ἐπὶ μακρᾷ χρόνῳ, ἀλλὰ ταχέως· ἦγεν, ταχέως τιμωρήσεται Κλυταιμνήσραν, ἥτις εἶδε τὰ ὀνείρατα· τῦτο δὲ ὅμοιόν ἐστι τῷ παρ' Ἀριστοφάνει,

"Ὁρᾷ τιν' ἐπὶ τῷ βήματος καθεδούμενον·"

καὶ τῷ,

"Ἥκει τῷ κακῇ, δώσει τὶς δίκην."

478. Δίκαια φερομένα] δίκαια φερομένη κράτη χεροῖν. Ἦγεν, ἰσχὺν δικαίαν ἐπιφερομένη διὰ τῶν χειρῶν.

479. Μέτεισιν] μέτεισι, φησὶ, παρίχασι τύτοις δύναμιν ὡς χειρώσασθαι τὺς ἐχθρύς. Ἄλλως· μέτεισι, κολάσει, ἐ διὰ μακρᾷ χρόνῳ.

481. Ὑπερί μοι] οἱ γράφοντες, Ὑπερίμα Θάρσος, ἀμαθεῖς τῶν μέτρων. Διὰ τῦτο θράσος χρὴ γράφειν, ὡς καὶ ἐν τινι τῶν παλαιῶν εὕρηται, ἵν' οἰκεῖον ᾖ τὸ κῶλον τῷ ἦπε ἀντιστροφῆς. Εἰ δ' ἄλλο μὲν σημαίνει θράσος, ἄλλο δὲ τὸ θάρσος, μὴ θαυμάσῃς. πολλὰ γὰρ τοιαῦτα καινολομῦσιν οἱ ποιηταί, μεταθέντες τὰ σύμφωνα, καὶ μεταπλάττοντες τὰς λέξεις, διὰ τὴν τῦ μέτρυ ἀνάγκην. Καὶ δηλοῖ τὸ κάρτος καὶ τὸ κραδία, καὶ τὰ τοιαῦτα.

484. Οὐ γάρ ποτ' ἀμναστεῖ] ἐ γὰρ ἀμνημονεῖ (φησὶ) τῶν τολμηθέντων καθ' ἑαυτῦ ὁ βασιλεὺς, ἀλλ' ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν.

486. Χαλκόπληκτος] ἀπὸ κοινῦ τὸ ἀμνησ[illegible] δὲ' ἀμνημονεῖ (φησὶν) ἡ χαλκόπληκτος γένυς, ἡ ἐλῦσα αὐτὸν, ἀλλὰ καὶ αὐτὴ τιμωρίας ἕξει κατὰ τῶν δρασάντων· χαλκόπληκτος δὲ λέγεται ὑπὸ χαλκῆ πληγείς· ἐνταῦθα δὲ χαλκόπληκτος γένυς, ἡ ὑπὸ χαλκῆ ἠλασμένη. Πάλαια δὲ ἀναφέρεται πρὸς τὴν πᾶξιν, ἥτις πάλαι ἐγένετο.

Ib. Ἁ παλαιὰ γένυς] Ἀντὶ τῦ, ὁ παλαιὸς πέλεκυς· ἀπὸ τῦ σόματος λέγει ὅλον τὸν πέλεκυν·

Ἄ νιν κατέπεφνεν αἰ-
σχίσαις ἐν αἰκίαις.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἦξει δὲ καὶ πολύπους
Καὶ πολύχειρ, ἃ δεινοῖς
Κρυπτομένα λόχοις,
Χαλκόπους Ἐρινύς.
Ἄλεκτρ', ἄνυμφα γὰρ ἐπέβα
Μιαιφόνων γάμων ἁμιλ-
λήμαθ', οἷσιν ἃ θέμις·
Πρὸ τῶνδέ τοι μ' ἔχει,
Μήπολε, μήποθ' ἡμῖν
Ἀψεγὲς πελᾶν τέρας
Τοῖς δρῶσι καὶ συνδρῶσιν·
Ἦτοι μαντεῖαι βροτῶν
Οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
Οὐδ' ἐν θεσφάτοις,
Εἰ μὴ τόδε φάσμα νυ-

λικὸν παλαιὸν δὲ λέγει, ἀναφέρων πρὸς τὴν πρᾶξιν, ἥτις πάλαι ἐγένετο.

489. Αἰκίαις] Ὕβρεσιν· αἰκία, ὕβρις, ἀπὸ τοῦ μὴ ἐοικέναι· ἀφ' ὧν. καὶ τὸ ἀεικής· Γένυς δὲ, εἶδος πελέκεως.

497. Πρὸ τῶνδέ τοι μ' ἔχει] τό τοι, σύνδεσμος παραπληρωματικός. Λείπει δὲ τὸ ἐλπίς, ἡ θάρσος με ἔχει, μὴ πρὸ τούτων τῶν προειρημένων (Αἴγισθον φησὶ καὶ Κλυταιμήστραν) τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν· ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν, λεγόντων ὅτι κακῶν ἦν σημαντικόν. Ἄλλως· Θαρρῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος· παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. Ἄλλως· ὑπὲρ τῶνδε ἔχει ἐμὲ τοῦτο μή ποτε πελᾶν. ἤγουν, πλησιάζειν ἡμῖν τοῖς δρῶσι, καὶ τὰ ἑξῆς· τῶνδε τέρας ἀντὶ τοῦ σημείου.

499. Τέρας] τὸ τοῦ ὀνείρου τέρας λέγει.

500. Τοῖς δρῶσι καὶ συνδρῶσιν] ὑμῖν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις.

501. Ἦτοι μαντεῖαι] ἡ μαντεῖαι ἀνθρώπων οὐκ εἰσὶν ἐν ὀνείροις δεινοῖς, ἀντὶ τοῦ ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις, ἤγουν, χρησμοῖς, ἀληθεύουσιν, εἰ μὴ τὸ φάσμα τόδε τῆς νυκτὸς εὖ κατασχήσει, ἀντὶ τοῦ εὖ ἕξει.

Ib. Ἦτοι μαντεῖαι] ἤγουν, εἰ μὴ ταχέως δώσουσι δίκην, ὥσπερ ὁ ὄνειρος ὑποτίθεται, οὐ χρὴ τὸ ἀπὸ τοῦδε ὀνείρασι προσέχειν, καὶ ἐκ χρησμῶν τὸ μέλλον ἔσεσθαι προσδοᾶν.

502. Ἐν δεινοῖς ὀνείροις] τοῖς ἐκφοβοῦσι τοὺς ὁρῶντας ὅταν ὦσι δεινοί.

503. Θεσφάτοις] τοῖς τῶν ὀνείρων.

505. Εὖ

κτὸς εὖ καλασχήσει.

ΕΠΩΔΟΣ.

Ὦ Πέλοπος ἀ πρόσθεν
Πελύπονος ἱππεία,
Ὡς ἔμολες αἰανὴ
Τᾶδε γᾶ.
Εὖτε γὰρ ὁ πονλισθεὶς
Μυρτίλος ἐκοιμάθη
Παγχρύσων δίφρων
Δυςάνοισιν αἰκίαις
Πρόρριζος ἐκριφθεὶς *,
Οὔτις πω
Ἔλειπεν ἐκ τῆδ' οἴκε
Πελύπονος αἰκία.

ΙΑΜΒΟΙ.

ΚΛΤ. Ἀνειμένη μὲν (ὡς ἔοικας) αὖ πρέφη·
Οὐ γὰρ πάρες Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ

* Turn. in marg. ἐκριφεὶς.

505. Εὖ κατασχήσει] ἢ τοῖς ἑωρακόσιν, ἀλλὰ τῇ Ἠλέκτρᾳ.

506. Ὦ Πέλοπος] οἷον ἦν καὶ τὸ πρῶτον, πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε· φησὶ δὲ Φερεκύδης, ὅτι Πέλοψ νικήσας τὸν ἀγῶνα, καὶ λαβὼν τὴν Ἱπποδάμειαν, ὑπέστρεφεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τῆ Μυρτίλῳ. Καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν προϊόντα πρὸς τὸ φιλῆσαι αὐτὴν, ἔρριψεν εἰς Θάλασσαν.

507. Πελύπονος ἱππεία] πολύπονος γενομένη πᾶσιν Ἀργείοις· καὶ ἑρμηνεύει αὐτὸ, λέγων ὡς ἔμολες αἰανὴ τᾶδε γᾶ· αἰανὴ δὲ, θρηνητική. Ἐξ ἧ γίνεται αἰ, αἰ. Ἱππασία παρὰ τοῖς κοινοῖς· ἱππεία δὲ καὶ ἱππωσύνη παρὰ τοῖς ποιηταῖς.

Ib. Πελύπονος ἱππεία] πολύπονος χρὴ γράφειν ἐνταῦθα καὶ ἐν τῷ ιβ΄ κώλῳ, ἵν' ᾖ παιδικὰ τὰ κῶλα, ὡς καὶ τὰ λοιπά.

508. Αἰανὴ] Ἀπὸ τῆ αἰανὲν τὸ σκυθρὸν καὶ δύλιον. Λέγεται δὲ ἵτω καὶ τὸ σκυτικὸν· αἰανὴ γῆν, σκιερὰ καὶ ἐπώδυνος καὶ σκυτικὴ καὶ Θλιβερὰ ἐπῆλθες ἐν ταύτῃ τῇ ἡμετέρᾳ γῇ.

510. Εὖτε γὰρ ὁ πονπισθεὶς] ὁ νῦν τοιοῦτός ἐςιν, ἀφ' ἧ ὁ Μυρτίλος ἀπέθανεν, ὃ διέλιπεν αἰκία τὰς πολυκτήμονας δόμες. Ὁ γὰρ Ἑρμῆς πατὴρ Μυρτίλῳ ἐμήνισε τοῖς Πελοπίδαις.

513. Αἰκίαις] αἰκισμοῖς, ὕβρεσι.

514. Πρόρριζος] ἀντὶ τῆ παντάπασιν.

516. Ἐκ τῆδ' οἴκε] ἐπεὶ καὶ οἶκος καὶ οἶκε εὕρηται, πρὸς μὲν τὸ οἶκος ἵτω λέγε, ἐκ τῆδε τε καιρῷ ὅτις πω καὶ ὐδεμία αἰκία πολύπονος ἔλειπε τὰς οἴκος· πρὸς δὲ τὸ οἶκε, ὅτις, ὅτις καὶ ὐδεμία αἰκία πολύπονος ἔλειπεν ἐκ τῆδε τῆ οἴκε.

518. Ἀνειμένη] ἄνεσιν ἔχουσα. Παντα-χοῦ

Μή τοι θυραίαν γ' ἔσαν αἰσχύνειν φίλυς·
Νῦν δ' ὡς ἄπες' ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
Ἐμοῦ γε· καίτοι πολλὰ πρὸς πολλούς με δὴ
Ἐξεῖπας, ὡς θρασεῖα καὶ πέρα δίκης
Ἄρχω, καθυβρίζουσα καί σε καὶ τὰ σά.
Ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω· κακῶς δέ σε
Λέγω, κακῶς κλύουσα πρὸς σέθεν θαμά.
Πατὴρ γὰρ, οὐδὲν ἄλλο σοι πρόσχημ' ἀεὶ,
Ὡς ἐξ ἐμοῦ τέθνηκεν. Ἐξ ἐμοῦ καλῶς·
Ἔξοιδα *, τῶνδ' ἄρνησις οὐκ ἔνεσί μοι.
Ἡ γὰρ δίκη νιν εἶλε, κ' † οὐκ ἐγὼ μόνη·
Ἥ, χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες.
Ἐπεὶ πατὴρ ὅτος σὸς, ὃν θρηνεῖς ἀεὶ,
Τὴν σὴν ὅμαιμον μῆνος Ἑλλήνων ἔτλη
Θῦσαι θεοῖσιν, οὐκ ἴσον καμοὶ ἐμοὶ
Λύπης, ὅτ' ἔσπειρ', ὥσπερ ἡ τεκοῦσ' ἐγώ.
Εἶεν· δίδαξον δή με τοῦ χάριν τίνων ‡

* Aldus, ἐξ ἐμοῦ· καλῶς ἔξοιδα. † Ald. εἶλεν, οὐκ.
‡ Ald. τοῦ χάριν τίνος.

θειν δὲ διαφέρεις ἐξαλλαγαῖς τὸν ἕλκειν Ἡλέκτρας διαγράφει ὁ ποιητής.

Ib. Στρέφῃ] ἀναστρέφῃ. Γράφεται τρέφῃ, ἀντὶ τοῦ διάγεις.

520. Αἰσχύνειν] ἀντὶ τοῦ καθ' ὑμῶν λέγειν. Ἄλλως· Ὡς ἐπεῖχέ σε μὴ αἰσχύνειν τὰς φίλας. Ἁρμόζει δὲ καὶ χωρὶς τοῦ μὴ λέγεσθαι, οἷον, ἐπεῖχέ σε αἰσχύνειν τὰς φίλας. Ἐνθα τὸ ἐπεῖχε, τὸ ἐκώλυε μόνον δηλοῖ, ἐν δὲ τῷ ἐπεῖχε μὴ αἰσχύνειν, ἀντὶ τοῦ κωλύων ἐπαύει, λαμβάνεται.

522. Πρὸς] Πρὸς τὸ, ὡς θρασεῖα ἀποδίδοται τὸ καταπολύ.

527. Πρόσχημ'] Ἤγουν, πρόφασις, λέγεται καὶ ὁ καλλωπισμός. πρόσχημα γάρ σοι ἀεὶ ὁ πατὴρ, ὅτι ἐξ ἐμοῦ τέθνηκεν, οὐδὲν ἄλλο· ἀντὶ τοῦ, πρόσχημά σοι τὸ τεθνηκέναι τὸν πατέρα ἐξ ἐμοῦ· τοῦτο καὶ μετὰ μεκοχῆς δύναται λέγεσθαι· οἷον, πρόσχημά σοι ὁ πατὴρ ἐξ ἐμοῦ τεθνηκώς.

528. Ἐξ ἐμοῦ] καλῶς. Ἴδιον ῥητορικῆς, τὸ μὴ ἀρνεῖσθαι μὲν, αἰδαγὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν· οὐχ ὡς δίκαια δὲ πραττόμενα συνηγορεῖ ὁ ποιητὴς, ἀλλ' ἵνα μὴ ἄρχον εἶη τὸ προσωπον.

534. Οὐκ ἴσον λύπης ἐμοὶ] Ἀντὶ τοῦ, οὐκ ἴσην ἐμοὶ λύπην καμών, ἀντὶ τοῦ ὑπομείνας, ὅτε ἔσπειρεν, ὥσπερ ἐγὼ ἡ τίκτουσα. Ἤγουν, ὥσπερ ἐγὼ, ὅτε ἔτικτον, ὑπέμεινα δηλονότι.

536. Τοῦ χάριν τίνων ἔθυσεν] Ἤγουν, τίνος χάριν

Ἔθυσεν αὐτήν; πότερον Ἀργείων ἑρεῖς;
Ἀλλ' ἐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
Ἀλλ' ἀντ' ἀδελφῆ δῆτα Μενέλεω; κτανὼν
Τἄμ', ἐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
Πότερον ἐκείνῳ παῖδες ἐκ ἦσαν διπλοῖ;
Οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
Καὶ μητρὸς ὄντας, ἧς ὁ πλεῖς ὅδ' ἦν χάριν;
Ἢ τῶν ἐμῶν Ἅιδης τίν' ἵμερον τέκνων
Ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
Ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
Παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἑνῆν;
Οὐ ταῦτ' ἐβέλε καὶ κακῆ γνώμην πατρός;
Δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
Φαίη δ' ἂν ἡ θανεῖσά γ', εἰ φωνὴν λάβοι.
Ἐγὼ μὲν ἓν ἐκ εἰμὶ τοῖς πεπραγμένοις

χάριν ἀποδιδὺς ἐθυσίασεν. Τοῦτο δηλοῖ τὸ τίνων, ἤγουν, ἀποδιδὺς· ἔστι δὲ μετοχὴ, καὶ ἐ γενικὴ πληθυντική.

541. Πότερον ἐκείνῳ παῖδες] λαμβάνονται τινες τοῦ ποιητοῦ ἐκ τῶν Ὁμηρικῶν. Ἐπεὶ ἐκεῖνος μίαν γεγονέναι τῷ Μενελάῳ τὴν Ἑρμιόνην φησὶν, ὅτος δὲ διπλοῦς ὁμομητρίους φησὶν αὐτῷ γεγονέναι. Ὅμως συμφωνεῖ τῷ Ἡσιόδῳ, λέγοντι,

"Ἡ τέκεθ' Ἑρμιόνην δουρικλυτῷ Μενελάῳ.
"Ὁπλότατον δ' ἔτεκεν Νικόστρατον, ὄζον
"Ἄρεος."

Οὐ περὶ μεγάλων δὴ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν. Ὡστε ἐ πάνυ δεῖ αὐτοῖς ἐπὶ τῶν τοιούτων ἐνοχλεῖν, ἀφεμένους τῶν ἀναγκαιοτέρων, ἅπερ παρατηρεῖν ἔχεν· Ταῦτα δὲ ἐστὶ τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν. Ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἰσοῤῥοπίας κατεχρήσατο, ὅτι συνέφερε τῷ λόγῳ τῆς Κλυταιμνήστρας.

1b. Παῖδες διπλοῖ] Ἑρμιόνη καὶ Νικόστρατος.

543. Ὅ δ'] Τὸ ὅτος, ἐπὶ τῶν ὀρωμένων λέγεται καὶ δακτυλοδεικτουμένων, ἢ ἐπὶ τῶν εἰς ὄψιν ἀγομένων ἀπὸ διηγήσεως. Ἐνταῦθα οὖν ἐκ ἐπὶ διηγήσει τῷ πλῆ ἐπάγει τὸ, ὅτος, ἵνα καλῶς ἀποτείνῃ ἡ δεῖξις πρὸς ἃ διηγήσατο. Ἀλλ' ἀναφορὰν θέλει δηλῶν ὅλως μετὰ δείξεως. ἦν δηλοῖ τὸ ἐκεῖνος. ἔστιν οὖν τὸ ὅδε, ἀντὶ τοῦ ἐκεῖνος.

544. Ἢ τῶν ἐμῶν Ἅιδης] τὸ ἐξῆς, ἢ τῶν ἐμῶν τέκνων δαίσασθαι πλέον ἵμερόν τινα Ἅιδης ἔσχεν ἢ τῶν ἐκείνης·

1b. Ἢ τῶν ἐμῶν Ἅιδης] Ἆρα ὁ Ἅιδης ἴσχει τινὰ ἐπιθυμίαν τῶν ἐμῶν τέκνων εὐαχηθῆναι πλέον, παρὸ ἀπὸ τῶν ἐκείνης τῆς Ἑλένης παίδων δηλονότι; ἆρα ὁ πόθος τῶν ἐξ ἐμοῦ παίδων ἠμελεῖτο τῷ πανώλει πατρὶ Ἀγαμέμνονι, τῷ δὲ Μενελάῳ ἐνυπῆρχε πόθος τῶν αὐτοῦ παίδων;

1b. Τίν' ἵμερον] τοῦτ' ἐκ ἴσι τίνα ἵμερον, εἰ διαλελυμένως εἴποις, ἀλλὰ τινὰ ἵμερον. Διὰ δὲ τὸ κύφισμα μετετέθη ὁ τόνος.

547. Παρεῖτο] ἠμελεῖτο, παρηρεῖτο.

551. Ἐγὼ μὲν οὖν] Τυτέσιν, ἐγὼ μὲν ἐφ' οἷς ἐποίησα, οὐδὲν μεταμέλομαι· οὐδὲ φαίνομαί σοι κακῶς φρονεῖν, λαβοῦσα σὺ δικαίαν γνώμην,

Δύσθυμος· εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
Γνώμην δικαίαν σχοῦσα, τὰς πέλας ψέγε.
ΗΛΕ. Ἐρεῖς μὲν οὐχὶ νῦν γε μ' ὡς ἄρξασά τι
Λυπηρὸν, εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
Ἀλλ' ἦν ἐφῇς μοι, τοῦ τεθνηκότος * θ' ὕπερ
Λέξαιμ' ἂν ὀρθῶς, τῆς κασιγνήτης θ' ὁμοῦ.
ΚΛΥ. Καὶ μὴν ἐφίημ'· εἰ δέ μ' ὧδ' ἀεὶ λόγοις
Ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.
ΗΛΕ. Καὶ δὴ λέγω σοί· πατέρα φῂς κτεῖναι; τίς ἂν
Τόδε λόγος γένοιτ' ἂν αἰσχίων ἔτι,
Εἴτ' ὄν δικαίως, εἴτε μή; λέξω δέ σοι
Ὡς οὐ δίκῃ γ' ἔκτεινας, ἀλλά σ' ἔσπασε
Πειθὼ κακὴ πρὸς ἀνδρὸς, ᾧ ταννῦν ξύνει.
Ἐρῶ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
Ποινῆς, τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·

* Aldus, τεθνηκότος γ' ὕπερ. rectè.

γνώμην, ἤγων, εἶπασα σὺ δίκαια, ψέγε τὰς πέλας, ἤγων, ἐμέ.

552. Δύσθυμος] μετάμελος, κακόβουλος.

553. Γνώμην δικαίαν] οἷον, λογισμῷ χρησαμένη δικαίῳ, τότε δηλονότι.

Ib. Τὰς πέλας ψέγε] ἡμᾶς, μὴ τὸ πᾶν ὀργῇ καταχαριζομένη. Τινὲς τὰς πέλας, τὰς περὶ Ἀγαμέμνονα ἔγνωσαν.

554. Ἐρεῖς μὲν οὐχὶ νῦν] οὐκ ἂν εἴποις ὡς λυπήσασά με, τοιαῦτα ἀνταπήκοας; ἐμοῦ γὰρ εἰπόσης οὐδὲν, σὺ προκατήρξω τῆς εἰς ἐμὲ λοιδορίας.

Ib. Ἐρεῖς μὲν] προκατάστασις.

558. Εἰ δὲ μ' ὧδ' ἀεὶ λόγοις] εἰ πρὸ τῶν λόγων ἐπυνθάνου, εἰ τὸ λέγειν σοι ἐφίημι, οὐκ ἂν ἦς λυπηρά.

559. Λυπηρὰ] Ἤγων, λύπην ἐμποιοῦσα εἰς τὸ κλύειν, ἤγων, ἀκούειν τινὰ σοῦ δηλονότι. Ὁμοίων τῷ, Ἡδὺς ὁ ποταμὸς πιεῖν, ἤγουν εἰς τὸ πιεῖν, ἤγουν, εἰς τὸ πιεῖν τινὰ ἐξ αὐτοῦ.

560. Πατέρα φῂς κτεῖναι] ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον. Καὶ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἶγε δικαίως. Δεύτερον, ὅτι οὐ δικαίως, ἀλλὰ πεισθεῖσα Αἰγίσθῳ. Δείκνυσι δὲ ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσε τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι.

561. Αἰσχίων ἔτι] ἀντὶ τοῦ ἀκμὴν παρὰ τοῖς κοινοῖς, οἷον, ἔτι νέος ἐγὼ, καὶ, ἔτι ποιῶ τόδε. Λέγεται δὲ καὶ ἀντὶ τοῦ ἐπὶ τούτῳ. Λέγεται καὶ ἀντὶ τοῦ εἰς τὸ ἑξῆς, οἷον, οὐ μὴ ἔτι ποιήσω τόδε. Ἔχει καὶ περισσὸν, ὡς ἐνταῦθα.

563. Ὡς οὐ δίκῃ γ' ἔκτεινας] ἐναντίον τῷ, ἡ γὰρ δίκη νιν εἶλε, τὸ ὡς οὐ δίκῃ γ' ἔκτεινας.

Ib. Ἀλλά σ' ἔσπασε πειθὼ] αὕτη γὰρ ἀπόδειξις, οὐ διὰ τὴν θυγατέρα, ἀλλὰ διὰ τὸν μοιχὸν πεφονεῦσθαι τὸν Ἀγαμέμνονα, τὸ καὶ μέχρι τοῦ νῦν αὐτῷ συνεῖναι καὶ συνοικεῖν.

Ib. Ἔσπασε] παρήγαγε, παρέπεισεν.

565. Τίνος ποινῆς] λείπει ἡ διά.

Ἢ γὼ φράσω· κείνης γὰρ ἡ θέμις μαθεῖν.
Πατήρ ποθ' οὑμὸς (ὡς ἐγὼ κλύω) θεᾶς
Παίζων κατ' ἄλσος, ἐξεκίνησεν ποδοῖν
Στικτὸν κεράσην ἔλαφον, ἣ κατὰ σφαγὰς
Ἐκπομπάσας, ἔπος τὶ τυγχάνει βαλών.
Κρᾶκε τῆδε μηνίσασα Λητῴα κόρη
Κατεῖχ' Ἀχαιούς, ὡς πατὴρ ἀντίσαθμον
Τῇ θηρὸς ἐκθύσειε τὴν αὑτῆ κόρην.
Ὧ δ' ἦν τὰ κείνης θύματ'· ἡ γὰρ ἦν λύσις
Ἄλλη στρατῷ πρὸς οἶκον, ἡδ' εἰς Ἴλιον.
Ἀνθ' ὧν βιασθεὶς πολλὰ, κἀντιβὰς, μόλις
Ἔθυσεν αὐτὴν, ἐχὶ Μενέλεω χάριν.
Εἰ δ' ἦν (ἐρῶ γὰρ καὶ τὸ σὸν) κεῖνον θέλων
Ἐπωφελῆσαι, ταῦτ' ἔδρα, τάτε θανεῖν
Χρὴν αὐτὸν ἕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
Ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς,
Μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
Εἰ γὰρ κτενεῖμεν ἄλλον ἀντ' ἄλλε, σύ τοι
Πρώτη θάνοις ἂν, εἰ δίκης γε τυγχάνοις.

568. Πατήρ ποθ'] διήγησις.

1b. Θεᾶς κατ' ἄλσος] ἦγεν, σύνδενδρον τόπον ἀνατεθειμένον τῇ Θεᾷ.

572. Λητῴα κόρη] Αἱ κτητικαὶ ἀντωνυμίαι δύναμιν ἔχουσι γενικῶν καὶ κτητικῶν γενικῶν, καὶ πατρικῶν γενικῶν. Οἷον, ὁ ἐμὸς υἱός· καὶ ὁ ἐμὸς οἶκος καὶ ἡ ἐμὴ πατρίς. Τὰ δὲ κτητικὰ ὀνόματα γενικῶν κτητικῶν μόνον ἔχουσι δύναμιν, οἷον Πλατωνικὸν βιβλίον, ἢ μὴν καὶ Πλατωνικὸς υἱός. Καὶ Ἑκτόρειος ζωγὸς, ἢ μὴν καὶ Ἑκτόρειος υἱός. Ἀλλ' ἡ υἱὸς τῦ Ἕκτορος, ἡ Ἑκτορίδης, χαρὶς τῦ υἱῦ. Οἱ ποιηταὶ δὲ καὶ Ἑκτόρειος υἱὸς λέγουσι, καὶ Λητῴα θυγάτηρ, ὡς ἐνταῦθα. Ἔστι γὰρ Λητῴα κόρη, ἡ θυγάτηρ τῆς Λητῦς, ἦγεν, Ἄρτεμις.

577. Κἀντιβὰς] ἀντιπαρατατόμενος, καὶ μὴ βουλόμενος. Διὰ δὲ τῆς λέξεως δηλοῖ τὸ ἀκούσιον τῆς προαιρέσεως. Ἀντιβαίνειν δὲ καὶ ἀντιστᾶν καὶ ἀντιτείνειν, ταὐτόν· παρὰ δὲ τοῖς κοινοῖς, ἀντιπατεῖν.

579. Εἰ δ' ἦν (ἐρῶ γὰρ καὶ τὸ σὸν)] σιδεννῶς κατασκευάζει, ὅτι εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλε ἀναιρεῖσθαι, κατὰ σαυτῆς νομοθετεῖς.

583. Μετάγνοιαν] ἀντὶ τῦ μετάνοιαν, τατέστι, μεταμέλειαν. Ἄνοια, ἡ παντελὴς ἀφροσύνη· ἄγνοια δὲ, ἑνός τινος πράγματος. Μετάνοια δὲ καὶ μετάγνοια, ταὐτὸν, πλὴν ὅτι τὸ μὲν ἐσχηνὲν χρήσει παρὰ τοῖς κοινοῖς, τὸ μετάνοια· τὸ δὲ μετάγνοια παρὰ τοῖς ποιηταῖς.

584. Ἄλλον ἀντ' ἄλλε] Ἦγεν, τὸν Ἀγαμέμνονα ἀντὶ τῦ Μενελάυ.

585. Εἰ δίκης] Τυτέστιν, εἰ ἀξία ὑπάρχει δίκης καὶ τιμωρίας.

585. Ἀλλ'

Ἀλλ' εἰσόρα μὴ σκῆψιν ἐκ ἔσαν τιθῇς.
Εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου ταῦν
Αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
Ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' ἧ
Πατέρα τὸν ἀμὸν πρόσθεν ἐξαπώλεσας,
Καὶ παιδοποιεῖς· τὰς δὲ πρόσθεν εὐσεβεῖς,
Κἀξ εὐσεβῶν βλαστόντας, ἐκβαλοῦσ' ἔχεις.
Πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ τοῦτ' ἐρεῖς,
Ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
Αἰσχρῶς δ', ἐάνπερ καὶ λέγῃς· ἃ γὰρ καλὸν
Ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς ἕνεκα.
Ἀλλ' ἃ γὰρ ἃδὲ νωθετεῖν ἔξεσί σε,
Ἢ πᾶσαν ἴης * γλῶσσαν, ὡς τὴν μητέρα
Κακοσομοῦμεν· καί σ' ἔγωγε δεσπότιν
Ἡ μητέρ' ἐκ ἔλασσον εἰς ἡμᾶς νέμω,

* Turn. in marg. ἴεις. rectè.

586. Ἀλλ' εἰσόρα] ὅρα (φησὶ) μὴ παρακάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην κρίζῃ τὴν πρόφασιν.

587. Εἰ γὰρ θέλεις] ἔνστασις καὶ κατηγορία τῶν ἔργων, ὧν ἀθέσμως πράττει.

588. Τυγχάνεις] τὸ τυγχάνω εὑρισκόμενον μετὰ μετοχῆς εἰς τὸ τῆς μετοχῆς ῥῆμα ἀναλύεται ὁ λόγος· οἷον, δρῶσα τυγχάνεις, ἀντὶ τοῦ ἔδρασας.

591. Εὐσεβεῖς] ἀντὶ του ἐννόμως· τυτέσιν, ἐξ ἐνόμου γάμου.

592. Εὐσεβῶν] Ἀντὶ τοῦ ἐννόμων, τυτέσιν, ἐννόμῳ γάμῳ ἁρμοσμένων.

597. Ἀλλ' ἃ γάρ ἃδὲ νωθετεῖν ἔξεσί σε] ἐπεὶ πάνυ αὐτὴν διήλεγξεν ἐπὶ τῇ μοιχείᾳ, ὥσπερ ἐπιλαμβανομένη αὐτῆς, κἀκείνην ἐκμειλισσομένη, φησὶν, ὅτι ἃδὲ νωθετεῖν σε δεῖ. Χαλεπαίνεις γὰρ ὡς λοιδορουμένη. Τὸν ἔλεγχον ἓν νωθεσίαν ἀνόμασεν.

598. Πᾶσαν ἴης γλῶσσαν] ἀντὶ τοῦ, πάντα λόγον κινεῖς· ἀκρατὰς πάντα λέγῃς. Ἐπεὶ ὄργανα τοῦ λόγου εἰσὶν ἡ γλῶττα, τὰ χείλη, καὶ τὸ στόμα, οἰκείως ἐνίοτε ταῦτα, ἀντὶ τοῦ λόγου λαμβάνεται· ὡς ἐνταῦθα κακοστομοῦμεν, ἀντὶ τοῦ κακῶς λέγομεν. καὶ πᾶσαν γλῶσσαν, ἀντὶ τοῦ πάντα λόγον.

599. Δεσπότιν] Ἰσέον ὅτι τὰ εἰς ης λήγοντα ὀνόματα, εἰ μὲν διγενῆ ὄντα, ὁμοφωνεῖ τὸ θηλυκὸν τῷ ἀρσενικῷ, καὶ τὸ ἀδέτερον ἔχει εἰς ες λῆγον. Οἷον, ὁ εὐτυχὴς, ἡ εὐτυχὴς, τὸ εὐτυχές· διγενῆ γὰρ λέγονται, διότι ὁμοφωνεῖ τὸ θηλυκὸν τῷ ἀρσενικῷ, καὶ ἴσι μία φωνὴ ὁμοία, τὰ δύο, καὶ τὸ ἀδέτερον πάλιν λῆγον εἰς ες, ἑτέρα φωνὴ, καὶ διὰ τοῦτο λέγεται διγενῆ· εἰ δὲ κλίνεται ἰσοσυλλάβως τὸ ἀρσενικὸν, καὶ ἀδέτερον οὐκ ἔχει, οὐχ ὁμοφωνεῖ τὸ θηλυκὸν τῷ ἀρσενικῷ· ἀλλὰ τὸ μὲν ἀρσενικὸν, εἰς ης λήγεται διὰ τοῦ η, οἷον ὁ δεσπότης, τὸ δὲ θηλυκὸν εἰς ις, διὰ τοῦ ι, οἷον ἡ δεσπότις. Καὶ τὸ μὲν ἀρσενικὸν κλίνεται ὡς ὁ Χρύσης. Τὸ δὲ θηλυκὸν ὡς ὁ Πάρις.

603. Ἔξω

Ἢ ζῶ βίον μοχθηρὸν, ἔκ σε σῶ κακοῖς
Πολλοῖς ἀεὶ ξυνεῖσα, τῶ τε συνόμῳ.
Ὁ δ' ἄλλος, ἔξω χεῖρα σὴν μίλις φυγὼν,
Τλήμων Ὀρέσης δυστυχῆ τρίβει βίον.
Ὃν πολλὰ δή με σοὶ τρέφειν μιάσορα
Ἐπῃτιάσω· κἀ τόδ', εἴπερ ἔσθενον,
Ἔδρων ἄν, εὖ τᾶτ' ἴσθι. τᾦδέ γ' ἕνεκα
Κήρυσσέ μ' εἰς ἅπαντας εἴτε χρὴ κακὴν,
Εἴτε σόμαργον, εἴτ' ἀναιδείας πλέαν.
Εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
Σχεδόν τι τὴν σὴν ἀ καταισχύνω φύσιν.

ΧΟΡ. Ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
Ξύνεσι, τᾦδε φροντίδ' ἐκέτ' εἰσορῶ.

ΚΛΥ. Ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
Ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισε,

603. Ἔξω φυγὼν] Ἀντὶ τοῦ ἐκφυγών.

Ib. Χεῖρα σὴν] Ἀντὶ τοῦ, τὴν σὴν κατάσχεσιν, κάκωσιν.

604. Δυστυχῆ τρίβει βίον] Ἤγων, μετὰ κατατριβῆς καὶ κακώσεως ἀνύει.

605. Ὃν πολλὰ μιάσορα] Ἤγων, καὶ πολλὰ ἐπῃτιάσω ἐμέ, λέγουσα, ὅτι δυνατόν ἐστι τρέφειν σοι ὃν, ἤγων, αὐτὸν τὸν Ὀρέσην μιάσορα, τυτθίων φονέα, καὶ μὰ τὴν ἀλήθειαν δηλονότι, εἴπερ ἔσθενον τοῦτο, ἔδρων ἂν· εὖ τοῦτο ἴσθι, ἔπρασσον ἂν τόδε εἴπερ ἔσθενον· καὶ γὰρ σὸν εἰμὶ τέκνον, καὶ τῶν σῶν ἠθῶν μέτεστί μοι. Οἷον γὰρ οἱ γονεῖς, τοιοῦτοι καὶ οἱ παῖδες.

607. Ἔδρων ἄν] ὑπόθεσις.

609. Εἴτε σόμαργον] εἰ γέγονα τούτοις τοῖς κακοῖς ἔνοχος, σόμαργος καὶ ἀναιδὴς (ὡς φῂς) ἀ καταισχύνω σε τὴν φύσιν, ἐλάττων σὺ ὤσα· ἀλλ' ὁμοῖα σοι φανήσομαι. Ζηλῶ σε (φησὶν) ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος Αἴγισθον ἔθρεψας, ὕτω κατὰ σοῦ τὸν Ὀρέσην ἐγώ.

610. Ἔργων] Ἤγων, τῆς ἀναιδείας, τῆς φλυαρίας, καὶ τῶν τοιούτων.

611. Σχεδόν τι] ἴσως καὶ ἀντὶ τοῦ πλησίον.

Ib. Καταισχύνω] ἐξυθενημένην ποιῶ τὴν σὴν φύσιν, ἐπεὶ καὶ αὕτη οὐκ ἀμέτοχος τούτων ἐστίν.

612. Ὁρῶ μένος πνέουσαν] ὁ χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις, φησὶν, Ὁρῶ μένος πνέουσαν τὴν παῖδα· εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεσιν, τύτη τοῦ μένους ἐρεῖ τίδα οὐκ ἔτι ὁρῶ γιγνομένην ὑπό τινος. Εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν. ἀντιλαμβανομένη ἂν ἐκείνη τοῦ λόγου, φησὶ, ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος;

613. Οὐκ ἔτ' εἰσορῶ] ἀντὶ τοῦ οὐκ ἐνοῶ.

614. Ποίας δέ μοι] ποίας γνώσεως χρεία ἐστὶν ἐμοὶ εἰς τὸ ἰδεῖν εἰ δίκαια αὕτη λέγει, ἥτις τοιαῦτα ὕβρισε τὴν τεκοῦσαν;

615. Ἥτις τοιαῦτα] Ἤγων, τοιαύτας ὕβρεις ὕβρισεν· ἀντὶ τοῦ τοιαύτας ἀτιμίας ἠτίμασεν.

616. Καὶ

Καὶ ταῦτα τηλικοῦτος; ἆρ' ἔ σοι δοκεῖ
Χωρεῖν ἂν εἰς ὧδ' ἔργον αἰσχύνης ἄτερ;
ΗΛΕ. Εὖ νῦν ἐπίσω τῶνδέ μ' αἰσχύνην ἔχειν,
Κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὅθ' ἕνεκα
Ἕξωρα πράσσω κοὐκ ἐμοὶ προσεικότα.
Ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια κἀ τὰ σὰ
Ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ.
" Αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεσθαι."
ΚΛΥ. Ὦ θρέμμ' ἀναιδές, ἦ σ' ἐγὼ, κἀ τἄμ' ἔπη,
Καὶ τἄργα τἀμὰ, πόλλ' ἄγαν λέγειν ποιεῖ;
ΗΛΕ. Σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς
Τἔργον· " τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται."
ΚΛΥ. Ἀλλ' ὦ, μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσος
Τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.
ΗΛΕ. Ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι
Λέγειν ἃ χρῄζοιμ', ὧδ' ἐπίσασαι κλύειν;

616. Καὶ ταῦτα τηλικοῦτος] ὑπὲρ ἐπιτάσεως, ὅτι εἰ καὶ δοίη τις ἐξουσίαν ἀντιλέγειν τοῖς γονεῦσιν, ἀλλ' ὦ ταύτῃ παρθένε ὕσῃ ἔτεσι τηλικαύτῃ.

617. Αἰσχύνης ἄτερ] ἀντὶ τοῦ ἀναισχύντως. Τὸ χωρὶς, τὸ ἄνευ, καὶ τὸ δίχα, κοινά· τὸ δὲ ἄτερ, ποιητικόν.

618. Εὖ νῦν] καὶ εἰ μὴ δοκῶ καὶ φαίνομαί σοι τῇ Κλυταιμνήστρᾳ ἔχειν ἐμὲ αἰσχύνην ἕνεκα τῶνδε, ἀλλὰ νῦν ἐπίσασο καλῶς ὅτι αἰσχύνομαι.

Ib. Ἐπίσω] Ἐπίσασο, καὶ κατὰ ἀποβολὴν τοῦ σ', ἐπίσαο. Κατὰ δὲ κρᾶσιν τοῦ ao εἰς ω μέγα, ἐπίσω.

Ib. Τῶνδε] Ἀντὶ τοῦ, ἕνεκα τούτων αἰσχύνεσθαι.

620. Ἕξωρα πράσσω] κἀγὼ (φησὶ) αἰσθάνομαι ἐποιείδιζα πράσσουσα, καὶ ὦ κατὰ τὴν ἐμὴν ἥβην.

621. Καὶ τὰ σὰ ἔργα ἐξαναγκάζει με] ἐμφατικώτερον τὸ ἐξαναγκάζει με, διὰ τῆς προθέσεως.

623. Ἐκδιδάσκεται] Διδάσκεται τίς ὑπό τινος· καὶ διδάσκεται ὑπό τινος τοιαύτῃ διδασκαλίᾳ· καθ' ὃ λέγεται ἐνταῦθα.

624. Ἦ σ' ἐγὼ, καὶ τάμ' ἔπη] ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζουσα πρὸς αὐτὴν ταῦτά φησιν ἡ Κλυταιμνήστρα.

628, 629. Θράσος τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ] πιθανῶς ἐπὶ τῶν ἀγρῶν ἔφη τὸν Αἴγισθον, ὑπὲρ τῆς παῤῥησίαν δοθῆναι τῇ κόρῃ.

630. Ἐκφέρῃ] ἐκκλίνεις, τὸ ἐκφέρεσθαι, κυρίως ἐπὶ ἵππου λέγεται, καὶ ὅταν φέρῃ τινὰ ἵππος ἔξω τῆς εὐθείας ὁδοῦ· ἀφ' ὧ κατὰ μεταφορὰν λέγεται ἐνταῦθα τὸ πρὸς ὀργὴν ἐκφέρῃ.

Ib. Ἐκφέρῃ] ἤγαν, ἐκκλίνεις τοῦ προσήκοντος, ἐκτρέπῃ. Ἔξω τοῦ πρέποντος φέρῃ ὥσπερ ὑπὸ ἵππου.

Ib. Μεθεῖσα] ἤγαν, ἐνδοῦσα, παραχωρήσασα.

631. Χρῄζοιμι] Θέλοιμι. χρῄζω, τὸ χρείαν ἔχω,

ΚΛΥ. Οὔκουν ἐάσεις ἐδ' ὑπ' εὐφήμου βοῆς
Θύσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
ΗΛΕ. Ἐῶ, κελεύω· θῦε, μηδ' ἐπαιτιῶ
Τἀμὸν στόμ'· ὡς ἐκ ἂν πέρα λέξαιμ' ἔτι.
ΚΛΥ. Ἔπαιρε δὴ σὺ θύμαθ', ἡ παρεῖσά μοι,
Πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίως
Εὐχὰς ἀνάσχω δειμάτων ἃ νῦν * ἔχω.
Κλύοις ἂν ἤδη, Φοῖβε προσατήριε,
Κεκρυμμένην μου βάξιν· ἐ γὰρ ἐν φίλοις
Ὁ μῦθος, ἐδὲ πᾶν ἀναπτύξαι πρέπει
Πρὸς φῶς, παρέσης τῆσδε πλησίας ἐμοί.
Μὴ σὺν φθόνῳ τε κ᾽ πολυγλώσσῳ βοῇ
Σπείρῃ μαλαίαν βάξιν ἐς πᾶσαν πόλιν·
Ἀλλ' ὦδ' ἄκουε· τῆδε γὰρ κἀγὼ φράσω.
Ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα

* Aldus, ὧν νῦν.

ἔχω, καὶ τὸ θέλω· ὧν τὸ μὲν συντάσσεται γενικῇ, τὸ χρείαν ἔχω, τὸ δὲ θέλω, αἰτιατικῇ.

632. Οὔκουν ἐάσεις] ἐκ ἐμμενεῖς οἷς πρότερον εἶπα; ἔφη γάρ, καὶ μὴν ἐφίημι. Πιθανῶς δέ· ἐ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμοῦσθαι τὸν ἡττώμενον.

634. Ἐῶ, κελεύω· θῦε, μηδ' ἐπαιτιῶ] δεῖ γὰρ καὶ προκόπτειν τὴν ὑπόθεσιν· διο ἐ ποιεῖται πλείονας ἀντιρρήσεις.

636. Ἔπαιρε δὴ σὺ] πρὸς θεράπαιναν φησί.

Ib. Θύμαθ'] Θυμιάματα.

637. Πάγκαρπ'] πάγκαρπα ὑπερβολικῶς λέγεται. Ἀντὶ τοῦ, ἐκ διαφόρων καρπῶν· ἐκ παντοίων καρπῶν.

Ib. Λυτηρίως] ἤγουν, δυναμένης λυτροῦσθαι καὶ ἐξελευθερῶν τῶν δειμάτων.

638. Εὐχὰς ἀνάσχω] ἀναπέμψω· ἀνέχω, ἐπὶ εὐχῆς, τὸ ἀναπέμπω· ἀνέχω, ἐπὶ χειρῶν, ἀντὶ τοῦ ὑψῶ· ἀνέχω, ἐπὶ βάρους, ἀντὶ τοῦ βαρύζω· ἀνίσχει δὲ ὁ ἥλιος, ἀντὶ τοῦ ἀνατέλλει, καὶ ἀνίσχει ἡ βοτάνη, ἀντὶ τοῦ βλαστάνει· ἀνίσχομαι δὲ παθητικῶς, τὸ ὑπομένω.

639. Κλύοις ἂν] ἐπάκουε· ἐπὶ γὰρ μεγάλων προσώπων, ἐφ' ὧν ἐδόκει βαρὺ τὸ φανερῶς προστάττειν, ἐχρῶντο οἱ Ἀττικοὶ εἰκτικῷ μετὰ τοῦ ἂν, ὡς ἐνταῦθα.

Ib. Προστατήριε] ὅτι πρὸ τῶν θυρῶν ἵδρυται.

640. Κεκρυμμένην βάξιν εὐχὴν, δέησιν, τὸν λόγον ὃν ἔχω ἐν τῇ ψυχῇ μου.

Ib. Βάξιν] λόγον.

Ib. Οὐ γὰρ ἐν φίλοις] ἐκ εἰς τὸν χορὸν ἀπευθύνεται, ἀλλ' εἰς τὴν Ἠλέκτραν.

641. Ἀναπτύξαι] ἐπιπτύξαι, τὸ ἀσφαλίσαι· ὡς καὶ τὸ πτυχῆς. ἀναπτύξαι δὲ, τὸ ἀνακαλύψαι ψευδῆ καὶ ἀληθῆ.

644. Σπείρῃ μαλαίαν] τὸ μαλαίαν ἐκ ἴσι ψευδῆ, ἀλλ' ἀνωφελῆ· τί γὰρ πράξει τὸς κρατοῦντας διαβάλλουσα; μαλαίαν γοῦν, κενὴν λέγει, διὰ τὸ μηδὲν αὐτὴν δύνασθαι πρᾶξαι.

645. Ἀλλ' ὦδ' ἄκουε] ὕτως ἐμοῦ λεγούσης.

Ib. Τῇδε γὰρ] ἀντὶ τοῦ τύτῳ τρόπῳ.

647. Διτσῶν

Δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
Εἰ μὲν πέφηνεν ἐσθλὰ, δὸς τελεσφόρα·
Εἰ δ' ἐχθρὰ, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.
Καὶ μή, με πλούτῳ τῷ παρόντος εἴ τινες
Δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς·
Ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ,
Δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
Φίλοισί τε ξυνοῦσαν, οἷς ξύνειμι νῦν,
Εὐημεροῦσαν, κ᾽ τέκνων ὅσων ἐμοὶ
Δύσνοια μὴ πρόσεσιν, ἢ λύπη πικρά.
Ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων,
Δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα·
Τὰ δ' ἄλλα πάντα, καὶ σιωπώσης ἐμοῦ,
Ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι·
" Τὰς ἐκ Διὸς γὰρ εἰκὸς ἐσι πάνθ' ὁρᾶν."

ΠΑΙ. Ξέναι γυναῖκες, ὡς ἂν εἰδείην σαφῶς

647. Δισσῶν ὀνείρων] ἤγουν, διπλῆν φύσιν ἐχόντων· ἀληθῆ γάρ ἐσθ' ὅτε καὶ ψευδῆ ἀποβαίνουσιν. Ἔοικε δὲ ὅμοιον τῷ παρ' Ὁμήρῳ·

" Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων."

Ib. Λύκει' ἄναξ] διότι ἐν τῇ Λυκίᾳ ἐτιμᾶτο, ἤγουν, ἐν τῇ Λυκίᾳ σέβουσιν αὐτὸν ἄγαν.

650. Καὶ μή, με] καὶ μὴ ἐφῇς, ἤγουν, ἐάσῃς ἐκβαλεῖν ἐμὲ τῷ πλούτῳ τῷ παρόντος, εἴ τινες σὺν δόλῳ βουλεύουσιν ἐκβαλεῖν με δηλονοτι· ἀλλ', ἐασον ἀπὸ κοινοῦ, διέπειν με τοὺς δόμους τῶν Ἀτρειδῶν, καὶ τὰ σκῆπτρα τάδε, ζῶσαν ὅτως ὡς ζῶ ἀεὶ ἐν ἀβλαβεῖ βίῳ· καὶ συνοῦσαν φίλοις οἷς σύνειμι νῦν μετὰ εὐημερίας, καὶ ἐκείνους δηλονότι συνοῦσαν ἀπὸ τῶν τέκνων, ὅσων ἐμοὶ μὴ πρόσεσι δύσνοια ἢ λύπη πικρά.

652. Ἀλλ' ὧδέ μ' ἀεὶ ζῶσαν] τὸ ὅλον ὑπὲρ τοῦ Αἰγίσθου εὔχεται. Διὰ δὲ τῆ πλησυντικῆ τῦ φίλυς τὸ τολμηρὸν τῦ λόγυ ἐπεκάλυψεν.

653. Ἀμφέπειν] τὸ γὰρ διέπειν, εὐθετεῖν· περιέπειν δὲ, τὸ φίλον τινὰ κυδαίνειν καὶ σκέπειν.

654. Φίλοισί τε ξυνοῦσαν] ἀκατάλληλα φαίνεται τὸ ὅλον, ἐὰν μὴ ᾖ τὸ οἷς ξύνειμι νῦν, ἀπὸ κοινοῦ λαμβανόμενον, φίλοισί τε καὶ τέκνοις συνοῦσαν, οἷς ξύνειμι νῦν. Τὸ δὲ δύσνοια, ἀπ' αὐτῶν εἰς ἐμέ. ἢ ἀπ' ἐμοῦ εἰς αὐτούς.

655. Εὐημεροῦσαν] ἐκάκην ἡμέραν εὖ διάγουσαν· τὰ δ' ἄλλα πάντα τὰ περὶ τῆς τελευτῆς Ὀρέσυ ἔοικεν εὔχεσθαι. Ζητοῦσι δὲ διὰ τί ἐνταῦθα μὲν ὐκ ἐμφαίνει περὶ τοῦ Ὀρέσυ, ὕςερον δὲ τῦ ἀγγέλυ ἐλθόντος φαίνεται ἐφηδομένη. Ῥητέον ὅν, ὅτι νῦν μὲν προσδοκῶσα αὐτὸν ἥξοντα ζῶντα, τότε δ' ὡς κατὰ ἀποθανόντος παῤῥησιάζεται, ἀφοβος γενομένη.

Ib. Ὅσων ἐμοὶ] μὴ λάβῃς εἰς τὸ ὅσων ἔξωθεν τὸν ἀπὸ, ἀλλὰ πρὸς τὸ δύσνοια τὴν τοιαύτην γενικὴν νόει.

662. Ξέναι γυναῖκες] ἄφιξις τῦ παιδαγωγῦ πρὸς τὸν οἶκον Αἰγίσθυ.

Ib. Ξέναι γυναῖκες] ὁ παιδαγωγὸς ἥκει πλασάμενος τὰ περὶ τῦ θανάτυ Ὀρέσυ, τὸ δὲ ἦθος αὐτῦ μέσον ἐςὶν, ὥτε ἀποικτιζομένυ παντάπασιν, ὥτι ἠδομένυ, ἀλλ' ὡς ξένυ εὐκαί-

Εἰ τῇ τυράννῳ δώματ' Αἰγίσθῳ τάδε;
ΧΟΡ. Τάδ' ἐστίν, ὦ ξέν'· αὐτὸς εἰκάσας καλῶς.
ΠΑΙ. Ἦ κῆδάμαρτα τήνδ' ἐκείκαζων κυρῶ
Κείνῳ; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.
ΧΟΡ. Μάλιστα πάντων ἥδέ σοι κείνη πάρα.
ΠΑΙ. Ὦ χαῖρ' ἄνασσα· σοὶ φέρων ἥκω λόγους
Ἡδεῖς φίλῳ πάρ' ἀνδρὸς, Αἰγίσθῳ θ' ὁμῶ.
ΚΛΥ. Ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σε
Πρώτιστα χρῄζω τίς σ' ἀπέστειλε βροτῶν.
ΠΑΙ. Φανοτεὺς ὁ Φωκεύς, πρᾶγμα πορσύνων μέγα.
ΚΛΥ. Τὸ ποῖον, ὦ ξέν'; εἰπέ. Παρὰ φίλῳ γὰρ ὢν
Ἀνδρὸς, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
ΠΑΙ. Τέθνηκ' Ὀρέστης· ἐν βραχεῖ ξυνθεὶς λέγω.
ΗΛΕ. Οἵ' ἰὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
ΚΛΥ. Τί φῂς, τί φῂς; ὦ ξεῖνε! μὴ ταύτης κλύε.
ΠΑΙ. Θανόντ' Ὀρέστην νῦν τε κἀτότ' ἐννέπω.
ΗΛΕ. Ἀπωλόμην δύσηνος· οὐδέν εἰμ' ἔτι.
ΚΛΥ. Σὺ μὲν τὰ σαυτῆς πρᾶσσ'· ἐμοὶ δὲ σὺ, ξένε,
Ταὐληθὲς εἰπὲ, τῷ τρόπῳ διόλλυται.

ρως δὲ ἦκει, ἔξω ὑσῶν ἀμφοτέρων· πρῶτον, ἵνα μὴ δισσολογοίη, πρὸς ἀμφοτέρας ἀπαγγέλλων· δεύτερον, πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέραν· πιθανῶς δὲ ἐρωτᾷ, ὡς ἀγνοῶν.

664. Ὦ ξέν'] Ξένος, ὃν ἀπὸ ξένης τίς φιλοφρονήσεται. Λέγεται τὸ ξένος καὶ ἐπὶ τῶν μὴ γνωρίμων προσφιλῶς. Καὶ ξένος ἁπλῶς, ὁ ἀπ' ἄλλης πόης. Ξένος, ὃν ἐν τῇ οἰκείᾳ πατρίδι φιλοφρονήσεσθαι τὶς ἀπὸ ξένης ἐλθόντα· καὶ ἁπλῶς ὁ ἀπὸ ἀλλοτρίας πόης· τὸ δὲ Ὦ ξένε φιλοφρόνως λέγεται ἐπὶ τῶν μὴ γνωρίμων.

1b. Αὐτὸς εἰκάσας] ἦγεν, ἀπὸ σαυτῆ καὶ ἀπὸ οἰκείᾳ σοχασμῷ ἔγνως. Πρὸς ἅπερ ἐκεῖνος, ἆρ' ὃν ἀπεικάζω καὶ τήνδε τὴν γυναῖκα ἐκείνῳ; ἦγεν, ἀπὸ σοχασμῷ καλαλαμβάνω;

665. Ἀπεικάζων] τὸ ἀπεικάζων μετὰ τῷ κυρῶ ἐνταῦθα εὑρισκόμενον, εἰς τὸ ῥῆμα τῆς μετοχῆς ἀναλύεται ὁ λόγος. Ἦγεν, ἀπεικάζω.

666. Πρέπει γὰρ ὡς τύραννος] σοχάζεται ἐκ τῆς σολῆς καὶ τῶν βασιλείων.

670. Ἐδεξάμην] λείπει ἡ ἀπὸ, ἵν' ᾖ, ἀπεδεξάμην.

1b. Εἰδέναι δὲ] ὃ μόνον ὐ λάβοις εἰς τὸ σῦ ἐξωθεν τὸ ἀπὸ, ὥς τινες, ἀλλὰ καὶ πρὸς τὸ χρῄζω συντάσσων, εὖ ἂν ποιήσῃς.

681. Τῷ τρόπῳ διόλλυται] Ἴδιον καὶ τοῦτο τῶν ἡδομένων· μαθόντες γὰρ τὸ πᾶν, καὶ τὸ κατὰ μέρος, ἡδόμενοι πυνθάνονται· ἔπειτα ὁ ποιητὴς βούλεται εὐδοκιμεῖν περὶ ἀγῶνος λίγων Ἑλληνικῶ.

682. Καπιμ-

ΠΑΙ. Καὐτεμπόμην πρὸς ταῦτα, κ᾽ τὸ πᾶν φράσω.
Κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
Πρόσχημ᾽ ἀγῶνος, Δελφικῶν ἄθλων χάριν,
Ὅτ᾽ ἤσθετ᾽ ἀνδρὸς ὀρθίων κηρυγμάτων
Δρόμον προκηρύξαν[τ]ος, ἔ πρώτη κρίσις,
Εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας·
Δρόμῳ δ᾽ ἰσώσας τῇ φύσει τὰ τέρμα[τ]α,
Νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
Χὥπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
Οὐκ οἶδα τοιῦδ᾽ ἀνδρὸς ἔργα κ᾽ κράτη *·
Ἓν δ᾽ ἴσθ᾽· ὅσων γὰρ εἰσεκήρυξαν βραβεῖς
Δρόμων διαύλων πεντάεθλ᾽, ἃ νομίζε[τ]αι,
Τούτων ἐνεγκὼν πάντα τἀπινίκια

* TURN. in marg. ἔργα ὐδὲ κράτη.

682. Καὐτεμπόμην] προκατάσασις καὶ διήγησις, ὅπως δῆθεν Ὀρέσης τέθνηκεν.

684. Πρόσχημ᾽ ἀγῶνος] εἶδος, καλλώπισμα· λέγει δὲ τὰς Δελφάς· ὅτι δὲ τοῦτο δηλοῖ τὸ πρόσχημα, μαρτυρεῖ καὶ Ἀριστείδης λέγων, τὸ τῆς Ἑλλάδος πρόσχημα καθαρῶς ἀνήρηται.

Ib. Δελφικῶν ἄθλων χάριν] ὅπως ἦν ἐπὶ Ὀρέστου ὁ Πυθικὸς ἀγών.

Ib. Δελφικῶν ἄθλων] τῶν εἰς τὰς Δελφὰς ἐν τῇ τῶν Πυθίων πανηγύρει τοῖς νενικηκόσι διδομένων βραβείων. Τὰ δὲ Πύθια ἦν ἑορτὴ τοῦ Ἀπόλλωνος.

685. Ὀρθίων] ὄρθιος, ὁ ἰσάμενος ὀρθὸς καὶ μὴ συγκεκυφὼς. Καὶ ὄρθιον ἐπὶ φωνῆς, τὸ ὑψηλόν.

686. Οὗ πρώτη κρίσις] εἰσήγετο γὰρ ὁ δρόμος πρῶτος τῶν ἄλλων ἄθλων, συγμῆς, πάλης, δίσκου, διάλματος· Τοῦτο δὲ ἐγίνετο διὰ τὸ πάντας τὰς ἀγῶνας στορείας δεῖσθαι· ἔστι δὲ ὁ δρόμος ἐκ ἄλλό τι ἢ μάνην στορεία καὶ τάχος ποδῶν· ὡς ἂν τὸ φύσει προσὸν μόνος ἰδιοποιησάμενος πρετέτταται.

688. Δρόμῳ δ᾽ ἰσώσας] τῷ ἐκ ποδὸς δρόμῳ· τινὲς δόλιχόν φασιν ἀγωνίσασθαι Ὀρέστην (ἔς ἐστιν εἴκοσι στάδια) εἴκοσι ἐτῶν ὄντα· ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποιήσατο. Ἄλλως· δρόμῳ δ᾽ ἰσώσας τῇ φύσει τὰ τέρματα, οἷον, ἐκ ἐλλιπὴν κατὰ τὰ τέρματα, ἀλλ᾽ ἴσος φανεὶς τοῖς τερμασι, κατὰ τὴν αὐτοῦ φύσιν, τῆς νίκης ἔτυχεν. Ἀλλ᾽ ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι ὡς ἐπὶ τῇ μορφῇ, ἀντὶ τοῦ, ὡς θαυμαζος ἐπὶ τῇ μορφῇ, οὕτω καὶ τῷ ἔργῳ, ἐφάνη· ὡς ἐπὶ τῷ εἴδει, οὕτω καὶ ἐπὶ τῷ ἔργῳ.

Ib. Δρόμῳ] τὰ τέρματα τῷ δρόμῳ ἰσωσας τῇ φύσει, ἤγουν, ἁρμοδίως τῇ ἑαυτοῦ φύσει δραμών.

692. Βραβεῖς] βραβεῖς, καὶ οἱ βραβευταὶ, καὶ διοικηταὶ τῶν ἀγώνος, οἱ τὰ ἄθλα διδόντες· ἀφ᾽ οὗ βραβεῖον, τὸ ἄθλον.

693. Δρόμων διαύλων] ἰσέον, ὅτι ἀντὶ τοῦ ἀγώνων, διαύλων εἶπε· δίονται γὰρ πάντες οἱ ἀγῶνες (ὡς ἄνωθεν ἔφημεν) στορείας πρὸς τὸ τελεσθῆναι· ἐσαφήνισε δὲ διὰ τοῦ εἰπεῖν, ἃ νομίζεται πένταθλα· δέον δὲ εἰπεῖν, οἱ νομίζονται, πρὸς τὸ πένταθλα ἐπήνεγκε· καὶ ἔστιν ὅμοιον τῷ, Ἡμεῖς μὲν ἂν τήνδ᾽, ἣν ὅ δ᾽ εἵληχεν τύχην, Θανόντες ἂν πρὸκείμεθ᾽ ἐχθίστῳ μόρῳ. εἰσὶ δὲ αἱ τοιαῦται γενικαὶ τὸ ὅσων δρόμων, πρὸς τὸ τούτων ἐνεγκών· εἰ καὶ τινες ἀγνοοῦντες τὴν σύνταξιν, τὸ ὅσον δρόμον μικρογραφοῦσι.

Ib. Πεντάεθλ᾽, ἃ νομίζεται] ἅλμα, δίσκον,

Ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
Ὄνομα δ' Ὀρέσης, τῷ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
Καὶ ταῦτα μὲν τοιαῦθ'· "ὅταν δέ τις θεῶν
"Βλάπῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν."
Κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
Ἦν, ἡλίου τέλλοντος, ὠκύπους ἀγὼν *,
Εἰσῆλθε πολλῶν ἁρμαληλατῶν μέτα·
Εἷς ἦν Ἀχαιὸς, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπισάται·
Κἀκεῖνος ἐν τούτοισι, Θεσσαλὰς ἔχων
Ἵππους ὁ πέμπτος· ἕκτος, ἐξ Αἰτωλίας
Ξανθαῖσι πώλοις· ἕβδομος, Μάγνης ἀνήρ·
Ὁ δ' ὄγδοος, Λεύκιππος, Αἰνιὰν † γένος·
Ἔναλος, Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος δέκαλον ἐκπληρῶν ὄχον.

* Turn. in marg. ἄγων. † Ald. Αἰνειὰν.

σχον, ἄκοντα, δρόμον, πάλην· ταῦτα ἐν μιᾷ τις ἠγωνίζετο ἡμέρᾳ.

698. Ὅταν δέ τις θεῶν] ὅμοιον τούτῳ τὸ Πινδαρικὸν, Θεὸς ὁ καὶ πτερόεντ' ἀετὸν κίχε, καὶ θαλασσαῖον παραμείβεται δελφῖνα.

700. Κεῖνος γὰρ ἄλλης] μὴ λάβῃς εἰς τὸ ἡμέρας ἔξωθεν τὸ ἐπὶ, ἀλλ' ὅτω λέγε, ἐκεῖνος γὰρ, ὅτε ἄλλης ἡμέρας, πρὸς τὸ ὅτε τὴν τοιαύτην γενικὴν συντάσσων. Ὥσπερ γάρ φαμεν, ὅτε τῆς ἡμέρας ἔκλειψις ἡλίου γέγονεν, ὕτω καὶ τοῦτο. Τὸ δὲ ἱππικῶν, ἀντὶ τοῦ ἡνιόχων, οὐχ ὡς τινές φασιν, ἀντὶ τοῦ ἵππων, τὸ κτητικὸν ἀντὶ τοῦ ἁπλοῦ, ληφθέντες. Ἐπεὶ δὲ ἱππικῶν εἶπεν, ἤτοι, ἡνιόχων, τοιοῦτον δὲ οὐχ ἕτερός ἐστιν ἀγὼν ἢ δι' ἵππων, διὰ τοῦτο ὠκύπους εἰς τὸ ἀγὼν προσέθηκε· περὶ γὰρ τάχους ἵππων ἠγωνίζοντο.

702. Εἰσῆλθε πολλῶν] φιλοτίμως διὰ πλειονότητα ταῦτα ἐπεξεργάζεται.

705. Κἀκεῖνος ἐν τούτοισιν] ὁ Ὀρέσης.

707. Μάγνης] αὕτη ἡ Μαγνησία ἐν δύσει ἐστίν.

708. Αἰνειὰν] κλίνεται τοῦ Αἰνειᾶνος· καὶ πληθυντικῶς Αἰνειᾶνες· ἦγον, ἀπὸ τῶν ὑπτείων τῶν Αἰνειᾶ. Οἱ ἀπὸ τοῦ Αἰνείου καλαγόμενοι.

Ib. Λεύκιππος Αἰνειὰν] ἐμοὶ δοκεῖ ὄνομα εἶναι· οὐδὲν γὰρ ἄτοπον ἐπίθετον εἶναι· ὄνομα γὰρ κύριον ὑπερτέθεικε, πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον· ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασαι· οἱ δὲ, Αἰνειᾶν, τῶν Θετταλῶν, ἢ Θρᾳκῶν. Ὅμηρος.

"Τῷδ' Ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε
"Περαιβοί."

709. Ἔνατος] ἐννία, δύο νν ἔνατος, ἴν.

Ib. Ἀθηνῶν τῶν Θεοδμήτων ἄπο] προσχαρίζεται τοῖς Ἀθηναίοις, ἐν Ἀθηναίοις λέγων.

Ib. Τῶν Θεοδμήτων ἄπο] τοῦτο σεμνύνων τοὺς Ἀθηναίους ὡς Ἀθηναῖος ὁ Σοφοκλῆς λέγει, τῷ ὄντι γὰρ Θεόδμητος ἦν ἡ Τροία, ἐκ Ποσειδῶνος καὶ Ἀπόλλωνος κατὰ τὸν μῦθον κτισθεῖσα.

710. Ὄχον] ὄχος ποιητικόν· ὄχημα δὲ κοινόν· ὄχημα,

Στάντες δ', ὅτ' αὐτὰς οἱ τεταγμένοι βραβεῖς
Κλήροις ἔπηλαν, κ᾽ κατέσησαν δίφρους,
Χαλκῆς ὑπαὶ σάλπιγγος ἦξαν· οἱ δ' ἅμα
Ἵπποις ὁμοκλήσαντες, ἡνίας χεροῖν
Ἔσεισαν· ἐν δὲ πᾶς ἐμεσώθη δρόμος
Κτύπῳ κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
Φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι,
Φείδονο κέντρων ἡδέν, ὡς ὑπερβάλοι
Χνόας τις αὐτῶν, κ᾽ φρυάγμαθ' ἱππικά.
Ὁμοῦ γὰρ ἀμφὶ νῶτα κ᾽ τροχῶν βάσεις
Ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
Κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην σήλην ἔχων,

ὄχημα, ἐφ' ᾧ ὀχεῖταί τις. Ὄχος, ἀρσενικῶς, τὸ ἅρμα. Ὄχεα δὲ πληθυντικῶς παρ' Ὁμήρῳ, ὠδίτερας· ὄχημα δὲ παρὰ τοῖς κοινοῖς τὸ αὐτό. Ὡς παρὰ Λυκιανῷ· "Καὶ ἠξίω ὄχημα "ζεύγνυσθαι αὐτῷ."

712. Κλήροις ἔπηλαν] ἀντὶ τοῦ μετὰ κλήρων ἔζησαν· ἔζι δὲ τὸ κλήροις ὥσπερ ἀργόν· τὸ γὰρ ἔπηλαν καὶ χωρὶς τούτου σώζει τὴν φύσιν· τὸν αὐτὸν δὲ λόγον φαμὲν καὶ εἰς τὸ, περιῆει κύκλῳ· ὃ γὰρ συναμφότερον δύναται, τοῦτο μόνον τὸ, περιῆει.

Ib. Ἔπηλαν] πάλλω, παλῶ, ἔπηλα, ὡς ἔψηλα· ἐν τῇ περικεφαλαίᾳ δὲ ἔβαλον κλήρους ἕκαςος τούτων τῶν βυλομένων δραμεῖν. Εἶτα ἔπαλεν ὁ ἀγωνοθέτης τὴν περικεφαλαίαν· ὅτινος δὲ ὁ κλῆρος ἐπήδα πρῶτος ἀπὸ τῆς περικεφαλαίας, αὐτὸν ἐτίθην πρῶτον ἐν τῇ τάξει, καὶ πάλιν βάλλοντες τὰς κλήρους αὐτῶν οἱ λοιποὶ, ἔπαλεν ὁ ἀγωνοθέτης τὴν περικεφαλαίαν· καὶ πάλιν ὅτινος ἐπήδα πρῶτος ὁ κλῆρος, τοῦτον ἐτίθην ἐν τῇ δευτέρᾳ τάξει· καὶ πάλιν οἱ λοιποὶ ἔβαλον τὰς κλήρους ἐν τῇ περικεφαλαίᾳ, μίχρι τέλους.

717. Ἀναμεμιγμένοι] Μίγω, ὃ καὶ μίσγω γράφεται ἐνίοτε· ὁ μέλλων μίξω, μέμικα, ὁ παθητικὸς παρακείμενος μέμιγμαι· καὶ ἠμείχθη, μεμιγμένος· καὶ μετὰ τῆς ἀνὰ ἐν συνθέσει καὶ συγκοπῆς, ἀναμεμιγμένος, πληθυντικῶς, ἀναμεμιγμένοι.

718. Ὡς ὑπερβάλοι χνόας τις αὐτῶν] ἵνα πρῶτος τοῦ δρόμου γενέσθαι· χνόας δὲ, τὰς τῶν ἀξόνων σύριγγας, καὶ τὰ ἱππικὰ φρυάγματα· ἀπὸ δὲ μέρους τὸ ὅλον ἅρμα. Σύριγξ δὲ ἐζι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος. Καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ ὕτας καλεῖται· λείπει δὲ τὸ ἐλαύνων· τὸ δὲ χνόας, βαρέως· τὰ γὰρ εἰς η δισύλλαβα τῷ ο παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν πρόκειται δασὺ, βαρύνεται, χνόη, φθόη, χλόη· τὸ δὲ πνοὴ, ὐκ ἔχει δασύ.

Ib. Ὑπερβάλοι] ὑπεκδράμοι.

719. Φρυάγματα] φυσήματα, πνεύματα.

Ib. Χνόας τις αὐτῶν] ἤγουν, τὸ ἅρμα τοῦ ἑτέρου· ἀπὸ μέρους τὸ πᾶν· χνόαι γὰρ τὰ ἀκροξόνια· ἔζι δὲ τὸ χνόας καὶ τὸ φρυάγματα ἱππικὰ ταὐτόν.

720. Τροχῶν βάσεις] τῶν περὶ τὰ στρέγματα· βάσεις δὲ τροχῶν εἰσὶν οἱ ζυγοὶ, οἵτινες κεῖνται ἐν ταῖς αὐχέσι, ἤγουν νώτοις, τῶν ἵππων· ὑπὸ τούτων γὰρ τῶν ζυγῶν τὰ ἅρματα ἕλκονται συνδεδεμένα τούτοις τοῖς ζυγοῖς δηλονότι.

722. Κεῖνος] ἤγουν, ἐκεῖνος δὲ ὁ Ὀρέςης δηλονότι, ἐλαύνων ὑπ' αὐτὴν τὴν ἐσχάτην σήλην, ἐπλησίαζεν ἀεὶ τῷ καμπτῆρι τὴν σύριγγα·

Ἔχριμπτ' ἀεὶ σύριγγα· δεξιόν τ' ἀνεὶς
Σειραῖον ἵππον, εἶργε τὸν προσκείμενον.
Καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἔσασαν δίφροι·
Ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄσομοι
Πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς
Τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
Μέτωπα συμπαίουσι * Βαρκαίοις ὄχοις·
Κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ,
Ἔθραυε, κἀνέπιπλε· πᾶν δ' ἐπίμπλατο
Ναυαγίων Κρισσαῖον ἱππικῶν πέδον.
Γνοὺς δ' οὐξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος,
Ἔξω παρασπᾷ, κἀνακωχεύει, παρεὶς

* Turn. in marg. *συμπταίουσι.*

γα· ἤγαν, τῷ τροχῷ τὴν ὀπήν. Ὅθεν τὸν σειραῖον ἵππον τὸν ὄντα ἔξω τοῦ καμπτῆρος, ἤγαν, τὸν δεξιὸν ἀπολύων καὶ ἀχαλινᾶν, ἐπεῖχεν ἀεὶ τὸν προσκείμενον ἵππον καὶ πλησιάζοντα τῷ καμπτῆρι, ἤγαν, τὸν ἀριστερὸν, ἵνα μὴ πλησιάζῃ ὁ σύριγξ τῷ καμπτῆρί δηλονότι.

Ib. Στήλην] ἤγαν, καμπτῆρα· καμπτῆρες μὴν λέγεται τὰ πλαίθρα τοῦ τόπου ἐκείνου, ἐν ᾧ οἱ δρομεῖς τρέχουσιν· ἤγαν, οἱ τοῖχοι οἱ ἀφ' ἑνὸς μέρους καὶ τοῦ ἑτέρου, διὰ πετρῶν καὶ ἀσβέστου κατασκευασμένοι.

Ib. Στήλην] τὸν λίθον τὸν καμπτῆρα· ςῆλαι, κυβοειδεῖς λίθοι, ἐπιγράμματα τινῶν ἔχοντες· ἐσχάτην δὲ λέγει, ἐπεὶ καὶ ἄλλαι ἦσαν ἐν τῷ μέσῳ τοῦ δρόμου.

723. Ἔχριμπτ' ἀεὶ] ὅ ἐςι, προσεπίλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ.

Ib. Σύριγγα] τὴν ὀπὴν τοῦ τροχοῦ.

724. Σειραῖον ἵππον] τὸν ἔξω τοῦ ζυγοῦ, τὸν δεξιόν· προσκείμενον δὲ τῷ καμπτῆρι ἀριστερόν.

726. Ἄσομοι] σκληρόσομοι.

727. Ἐκ δ' ὑποστροφῆς] ἐξ ὑπαντήσεως ἐκείνων ὑποστρεφόντων.

Ib. Πῶλοι βίᾳ] ἤγαν, σὺν βίᾳ εἵλκυσιν ἔξω τοῦ πρέποντος, ἀπειθεῖς γενόμενοι ταῖς ἡνίαις· ἤγαν, ἀπειθεῖς ἐγένοντο ταῖς ἡνίαις, καὶ ἐξήνεγκε τοῦ προσήκοντος.

728. Τελοῦντες ἕκτον ἕβδομόν τ'] ἰςέον, ὅτι οἱ ἀγωνισταὶ τῶν δρομέων, ἐκ ἅπαξ ἔτρεχον τὸν ἀγῶνα ἐκεῖνον, ὅντινα ὧν ἤθελον, ἀλλ' ἐνίοτε μὲν ἑτίθεν αὐτὸν ἐν ἓξ δρόμοις· ἐνίοτε δὲ ἐν ἑπτά· καὶ ὅστις ἦν αὐτῶν ἐπλήρου πρότερος τοὺς δρόμους τῶν ἄλλων, αὐτὸς ἐκεῖνος ἐνίκα τὸν ἀγῶνα, τούτων δὲ, Ὁρέςου δηλονότι καὶ τῶν ἄλλων, οἱ μὲν ἑτέλουν ἕκτον ἤδη δρόμον, οἱ δὲ ἕβδομον.

729. Βαρκαίοις ὄχοις] τοῖς Λιβυκοῖς· Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαΐς καλουμένη.

732. Ναυαγίων] Ναύαγια κυρίως, τὰ συντρίμματα τῶν νηῶν· ἀπὸ τοῦ ναῦς, καὶ τὸ ἄγω τὸ συντρίβω.

Ib. Κρισσαῖον] ἤτοι Φωκικόν. Ἔςι γὰρ πόλις Φωκίδος, ἐν ᾗ Φωκίδι καὶ τὸ ἐν Δελφοῖς μαντεῖόν ἐςιν· ἔςι δὲ τὸ ναυαγίων ἱππικὸν ὅμοιον τῷ, Νέκταρ ἐφοχέει.

Ib. Ναυαγίων] τῶν πλωμάτων.

733. Γνοὺς δ' οὐξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος] ἀντὶ τοῦ ἔμπειρος. Πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς Ἀθηναῖον.

734. Κἀνακωχεύει] Ἀνακωχεύω κυρίως, ὅτι οἱ ναῦται συςέλλουσι τὸ ἄρμα τῶν νηῶν ἐν τῷ πελάγει, καὶ ἠρεμοῦσιν ὀλίγον. ὁμοίως καὶ ἐπὶ πολέμου,

Κλύδων᾽ ἔφιππον ἐν μέσῳ κυκώμενον.
Ἤλαυνε δ᾽ ἔσχαλος μὲν, ὑςέρας δ᾽ ἔχων
Πώλυς Ὀρέςης, τῷ τέλει πίςιν φέρων.
Ὀδ᾽ ὡς ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
Ὀξὺν δι᾽ ὤτων κέλαδον ἐνσείσας θοαῖς
Πώλοις, διώκει· κἀξισώσαντες ζυγὰ
Ἠλαυνέτην, πότ᾽ ἄλλος, ἄλλοθ᾽ ἅτερος
Κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
Καὶ τὰς μὲν ἄλλας πάντας ἀσφαλεῖς δρόμους
Ὠρθοῦθ᾽ ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
Ἔπειτα, λύων ἡνίαν ἀριςέραν,
Κάμπτονος ἵππου, λανθάνει ςήλην ἄκραν
Παίσας· ἔθραυσε δ᾽ ἄξονος μέσας χνόας,
Κἀξ ἀντύγων ὤλισθε· σὺν δ᾽ ἑλίσσεται
Τμητοῖς ἱμᾶσι. Τὸν δὲ πίπτοντος πέδῳ,
Πῶλοι διεσπάρησαν εἰς μέσον δρόμον
Στρατὸς δ᾽, ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
Δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
Οἵ᾽ ἔργα δράσας, οἷα λαγχάνει κακὰ,

735 740 745 750

πολέμῳ, ὅτε οἱ ςρατιῶται ἄνω ἔχωσι τὰς ἀκωκὰς τῶν δοράτων· ὅθεν καὶ ἀνακωχή.

Ib. Ἔξω παρασπᾷ] φυλαξάμενος (φησὶ) τύτοις συμπεσῶσιν ἐμπεσεῖν, ἔξω ἀπ᾽ αὐτῶν παρασπᾶ.

Ib. Κἀνακωχεύει] ἀναστειράζει, κατέχει· ἀνακωχεύειν γὰρ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος ἐν τῷ πελάγει, ςείλαντες τὰ ἄρμενα, σαλεύωσιν αὐτόθι, μὴ διαμαχόμενοι τῷ πνεύματι· μεταφορικῶς δ᾽ ἐπὶ τοῦ ἅρματος εἴρηκεν, ὃ διημιλλήσατο, ἀλλ᾽ ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα, καὶ ὕςερος ἠρέμα ἤλαυνε.

737. Πῶλυς] πῶλος λέγεται ἀρσενικῶς καὶ θηλυκῶς.

Ib. Τῷ τέλει πίςιν φέρων] οἷον, πιςεύων ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται. Ἢ νομίζων ἕως τοῦ τέλους ὅτως ἐλαύνειν.

740. Κἀξισώσαντες ζυγὰ] ὁ Ὀρέςης καὶ ὁ Ἀθηναῖος.

745. Λύων ἡνίαν] χαυνῶν· διὰ τὸ συμπεπλέχθαι.

Ib. Ἔπειτα] ἔπειτα ὁ Ὀρέςης λύων καὶ ἀχαλινῶν τὴν ἀριςερὰν ἡνίαν, κλίναντος τοῦ ἵππου εἰς αὐτὸ τὸ μέρος τὸ ἀριςερὸν, ἔλαθε παίσας, ἦγεν, κρύσας, εἰς τὸν καμπτῆρα αὐτὸν τὸν τελευταῖον ὁ Ὀρέςης δηλονότι, καὶ ἔθραυσε τοῦ ἄξονος τὰς τρύπας μεσαιτάς.

747. Μέσας χνόας] ἀντὶ τοῦ, κατὰ τὸ μέσον ἔθραυσε τὰς χνόας τοῦ ἄξονος. Ἀντὶ τοῦ ἡνιοῦ, ἦγεν, τὸ μέρος τοῦ ἄξονος τὸ ἐν τῇ ὀπῇ τοῦ τροχοῦ.

Ib. Ἔθραυσε δ᾽ ἄξονος μέσας χνόας] τὸ λεπτὸν μέρος τοῦ ἄξονος, τὸ περιεχόμενον ὑπὸ τῆς χοινικίδος.

Φορεύμενος πρὸς ἕδας, ἄλλοτ' ἀρανῷ
Σκέλη προφαίνων· ἔστέ νιν διφρηλάται,
Μόλις καλασχέθοντες ἱππικὸν δρόμον,
Ἔλυσαν αἱμαγηρὸν, ὥστε μηδένα
Γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
Καί νιν πυρᾷ κείαντες * εὐθὺς, ἐν βραχεῖ
Χαλκῷ μέγιστον σῶμα δειλαίας σποδὸς
Φέρουσιν ἄνδρες Φωκέων τελαγμένοι,
Ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός.
Τοιαῦτά σοι ταῦτ' ἐξὶν, ὡς μὲν ἐν λόγοις,
Ἀλγεινὰ, τοῖς δ' ἰδοῦσιν οἷπερ εἴδομεν,
Μέγιστα πάντων ὧν ὅπωπ' ἐγὼ κακῶν.
ΧΟΡ. Φεῦ, φεῦ, τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
Πρόρριζον, ὡς ἔοικεν, ἔφθαρται γένος.
ΚΛΥ. Ὦ Ζεῦ, τί ταῦτα; πότερον εὐτυχῆ λέγω,
Ἢ δεινὰ μὲν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
Εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.

* Aldus, κήαντες. rectè.

χεννικίδος. Εἴρηται δὲ ὁμοίως τὸ παρ' Ἀπολλωνίῳ.

"Ἀζόμενος πλήμυνσι παρακλιδὸν αἰνυμένοιο."

757. Ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα] καὶ ἵνα ἀξιόπιστος εἴη ὁ ἄγγελος, ἵνα πάλιν τὸ περιπαθὲς εἴη τῇ Ἠλέκτρᾳ.

Ib. Αἱματηρὸν] ἠμαγμένον· αἱματηραὶ γὰρ σαγόνες, αἱ ἀπὸ αἵματος ςάζυσαι· ἠμαγμέναι δὲ, τῷ αἵματι μεμιγμέναι.

759. Ἐν βραχεῖ χαλκῷ] ἀγγείῳ· ἡ εὐθεῖα ὁ βραχὺς χαλκὸς, ὃ δηλοῖ τὴν ὑσίαν τοῦ χαλκοῦ καὶ τὴν ὕλην· ἀπὸ δὲ τῆς ὕλης ἐνταῦθα δηλοῦται τὸ ἀγγεῖον τὸ ἐκ τῆς ὕλης.

Ib. Κείαντες] ἀπὸ τοῦ κάω, καύσω· ὁ ἀόριστος, κοινῶς μὲν, ἔκαυσα· ποιητικῶς δὲ, ἔκηα· καὶ ἡ μετοχὴ, ὁ κήας, κήαντος.

760. Μέγιστον σῶμα δειλαίας σποδοῦ] ἀντίπτωσις, ἀντὶ τοῦ, σποδὸν δειλαίαν μεγίστου σώματος.

Ib. Δειλαίας σποδοῦ] δέον ὕτως εἰπεῖν, δειλαίαν σποδὸν μεγίστου σώματος, ἀντιςρόφως εἴρηται, ὥσπερ καὶ ἄλλα μυρία τοιαῦτα ἐρίσκεται.

768. Ὦ Ζεῦ] δεινοπάθεια δῆθεν Κλυταιμνήσρας ἐπὶ τῷ ἀκύσματι τύτῳ.

Ib. Πότερον εὐτυχῆ] ἀντὶ τοῦ, ἆρα δίκαια ταῦτα εἶπω, ἢ δεινὰ μὲν, ἐπικερδῆ δέ, ἐπειδὴ τοῖς κακοῖς τυτοῖς τοῖς τοῦ υἱοῦ μου, σώζω ἐγὼ τὸν βίον ἐμαυτῆς· ἤγουν, διὰ τῶν κακῶν καὶ θανάτων τοῦ υἱοῦ μου, ἐγὼ σώζω τὴν ἐμὴν ζωήν· ἀλλὰ λυπηρῶς ταῦτα διάκεινται.

770. Ἐν τοῖς ἐμαυτῆς] τὸ πᾶν ὕτως, ἐὰν ἐν τοῖς κακοῖς τοῖς ἐμαυτοῦ σώζω τὴν ζωήν. Καλὸν γὰρ αὐτῆς ἦν τὸ τεθνηκέναι τὸν Ὀρέστην, εἰ ἔσωζε τὸν βίον αὐτῆς.

771. Τῷ

ΠΑΙ. Τίδ' ὦδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;
ΚΛΥ. Δεινὸν τὸ τίκτειν ἐσίν· " ἐδὲ γὰρ κακῶς
" Πάσχοντι μῖσος ὧν τέκῃ προσγίνεται."
ΠΑΙ. Μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.
ΚΛΥ. Οὔτοι μάτην γέ· πῶς γὰρ ἂν μάτην λέγοις; 775
Εἴ μοι θανόντος πὶς ἔχων τεκμήρια
Προσῆλθες, ὅσις τῆς ἐμῆς ψυχῆς γεγὼς,
Μαςῶν ἀποσὰς καὶ τροφῆς ἐμῆς, φυγὰς
Ἀπεξενῶτο· καί μ', ἐπεὶ τῆσδε χθονὸς
Ἐξῆλθεν, οὐκέτ' εἶδεν· ἐγκαλῶν δέ μοι 780
Φόνυς πατρῴυς, δεινὰ ἐπηπείλει τελεῖν.
Ὡς' ὅτε νυκτὸς ὕπνον, ὅτ' ἐξ ἡμέρας
Ἐμὲ σεγάζειν ἡδύν· ἀλλ' ὁ προσταλῶν
Χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
Νῦν δ' ἡμέρα γὰρ τῆδ' ἀπήλλαγμαι φόβυ 785
Πρὸς τῆσδ' ἐκείνυ θ'· ἥδε γὰρ μείζων * βλάβη
Ξύνοικος ἦν μοι, τἀμὸν ἐκπίνυσ' ἀεὶ
Ψυχῆς ἄκραλον αἷμα· νῦν δ' ἔκηλά πυ
Τῶν τῆσδ' ἀπειλῶν ἔνεχ' ἡμερεύσομεν.

* Aldus, μείζω.

771. Τῷ νῦν λόγῳ] ἀντὶ τοῦ, κατὰ τὸν νῦν λόγον, ἐπὶ τῇ νῦν ἀγγελίᾳ.

773. Πάσχοντι] ἤγουν, τῷ γονεῖ. Οὐδαμῶς γίνεται λύπη τῷ παιδὶ, εἰ συμβῇ ὁ παῖς σταῖσαι ἁμάρτημα μέγιςον εἰς τὸν γονέα.

774. Μάτην] ἤγουν, μαλαίως, ἀκαίρως. Τοῦτο λέγει ὁ παιδαγωγὸς ὑποκρινόμενος, ὅτι ὁρᾷ τὴν Κλυταιμνήςραν λυπημένην· καὶ γὰρ ἐδόκει ὁ παιδαγωγὸς κομίσαι ταύτῃ ἡδέα μηνύματα.

778. Φυγὰς] ἀντὶ τοῦ φυγών. Φυγάδες γὰρ κυρίως οἱ διωχθέντες ἀπὸ τῆς οἰκείας πατρίδος.

782. Ὡστ' ὅτε] ὥστε ὅτε κατὰ τὸν καιρὸν τῆς νυκτὸς, ὅτε κατὰ τὸν καιρὸν τῆς ἡμέρας, ἦν δυνατὸν ἐμὲ λαβεῖν γλυκὺν ὕπνον ὑπὸ τὴν σέγην· ἀλλ' ὁ ἐνισάμενος χρόνος διεβίβαζε ἐμὲ ἀεὶ ὡς θανουμένην.

783. Ὁ προστατῶν χρόνος] ὁ ἐπιγενόμενος.

787. Ξύνοικος ἦν μοι] τοῦτο οἰκονομικῶς· εἰ γὰρ ἀπορήσασα ἐπὶ τοῖς ἠγγελμένοις, ἀπέκλινεν ἑαυτὴν, διελύετο ἂν ἡ ὑπόθεσις.

788. Νῦν δ'] τοῦτο τὸ νῦν ἐπανάληψίς ἐςι τοῦ προτέρου νῦν.

789. Ἡμερεύσομεν] διημερεύσομεν· διημερεύω, τὸ τὴν ἡμέραν διαζιβάζω· οὕτω καὶ διανυκτερεύω· ἐνταῦθα δὲ τὸ διημερεύσομεν ἀντὶ τοῦ βίωσομεν.

Ib. Τῶν τῆσδ' ἀπειλῶν] ἕνεκα τῶν ταύτης ἀπειλῶν· ἤγουν, ἵνα μὴ κακολογῇ ἡμᾶς, καὶ ἵνα μὴ κατακρίνῃ ἡ Ἠλέκτρα, ὅτι ὐκ ἐλυπέθημεν

ΗΛΕ. Οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφοράν, ἵν' ὦδ' ἔχων
Πρὸς τῆσδ' ὑβρίζῃ μητρός. Ἆρ' ἔχει καλῶς;
ΚΛΥ. Οὕτοι σύ· κεῖνος δ' ὡς ἔχει, καλῶς ἔχει.
ΗΛΕ. Ἄκυε, Νέμεσις, τῶ θανόντος ἀρτίως.
ΚΛΥ. Ἤκουσεν ὧν δεῖ, κἀπεκύρωσεν καλῶς.
ΗΛΕ. Ὕβριζε· νῦν γαρ εὐτυχοῦσα τυγχάνεις.
ΚΛΥ. Οὐκοῦν Ὀρέστης καὶ σὺ παύσεσθον * τάδε;
ΗΛΕ. Πεπαύμεθ' ἡμεῖς, ἀλλ' ὅπως σε παύσομεν.
ΚΛΥ. Πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,
Εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
ΠΑΙ. Οὐκοῦν ἀποσείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ.
ΚΛΥ. Ἥκιστ'· ἐπείπερ ἆτ' ἐμῶ καλαξίως
Πράξειας, ἅτε τῶ πορεύσαντος ξένου·
Ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοσθεν βοᾶν
Ἔα τά θ' αὑτῆς καὶ τὰ τῶν φίλων κακά.

* Turn. in marg. παύσατον.

θωμεν ἐπὶ θανάτῳ τῷ Ὀρέστου, ὐδὲ ἐθρηνήσαμεν αὐτὸν, ἄγε ἵνα μεθ' ἡσυχίας πῶ καὶ ἡμεῖς τὸ τῆς παρούσης ἡμέρας διαδιδάσωμεν διάσημα.

794. Ἄκυε, Νέμεσις] ἤγγυν, ἄκυε, ὦ Νέμεσις, τίνας εἰρωνείας λέγει, κατὰ τῶ θανόντος ἀρτίως.

Ib. Ἄκυε, Νέμεσις] Νέμεσις, θεὰ μεμφομένη τὰς τοῖς θανοῦσιν ἐφυβρίζοντας, καὶ τότε τιμωρεμένη· σύντασσε δὲ τὸ θανόντας πρὸς τὸ Νέμεσις, καὶ μὴ πρὸς τὸ ἄκυε, ὥσπερ τινὲς πεποίησιν· ἄλλοι δὲ καὶ λαμβάνουσιν ἔξωθεν τὸ ὕνεκα.

797. Οὐκοῦν Ὀρέστης] εἰ μὲν γράψεις ὕκυν, κατ' ἐρώτησιν μὲν ἅ· καθ' ὁμαλισμὸν δὲ εἰρωνικῶς· εἰ δὲ καὶ παύσατον γράψεις (εὕρηται γὰρ καὶ τοῦτο) προστακτικῶς ἐρεῖς ὕτως, οὐκοῦν παύσατε τάδε σύ τε καὶ Ὀρέστης, εἰ δύνασθε.

798. Πεπαύμεθ' ἡμεῖς] ὕτως ἦν τὸ σαφὲς, ὃ μόνον ὐ παύσομέν σε, ἀλλὰ πεπαύμεθα ἡμεῖς· νῦν δὲ προθεὶς τὸ πεπαύμεθα, εἶτ' ἐνεγκὼν τὸ, ὐχ ὅπως σε παύσομεν, ἀσάφειάν τινα ἐποίησε. Σὺ δὲ, ὡς ἔφαμεν, λέγε συντάσσων.

799. Ὦ ξένε] ἄξιος ὑπάρχεις τυχεῖν πολλῶν χαρίτων, ἕνεκα ὧν ἥκεις καὶ ἦλθες· ἐπειδὴ ταύτην τὴν Ἠλέκτραν ἔπαυσας τῆς πολυλόγου βοῆς.

Ib. Πολλῶν ἂν ἄξιος] ἄξιος ἂν εἶης, ὦ ξένε, διὰ τὴν ὁδὸν, ἣν ἦλθες, τυχεῖν πολλῶν ἀγαθῶν.

803. Πορεύσαντος] ἀποσείλαντος· πορεύομαι ἐγὼ, καὶ πορεύω ἕτερον, ἀντὶ τῶ ἄγω· ὡς παρὰ Πλάτωνι, ὃ δὴ προστέτακλαι τὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι. ἀντὶ τῶ ἀγαγεῖν ἐνταῦθα δὲ πορεύσαντος ἀντὶ τῶ πέμψαντος, λέγεται.

804. Ἀλλ' εἴσιθ' εἴσω] περισσὸν τὸ εἴσω· τὸ γὰρ εἴσιθι τὸ εἴσω ἐλθὲ δηλοῖ· εἰσῆλθε δὲ εἰς τὴν οἰκίαν, λέγεται κατὰ λόγον· τὸ γὰρ εἰσῆλθε δηλοῖ μὲν τὸ εἴσω ἦλθεν, ὐ μὴν καὶ ὅπως εἰσῆλθεν ὡρισμένως· διὸ ἐπάγεται εἰς τὴν οἰκίαν, ἢ εἰς τὴν πόλιν· καὶ ὐ δοκεῖ φορτικόν.

816. Καὶ

ΗΛΕ. Ἆρ' ὑμῖν ὡς ἀλγεῖσα κἀδυνωμένη,
Δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
Τὸν υἱὸν ἡ δύσηνος ὧδ' ὀλωλότα;
Ἀλλ' ἐγγελῶσα, φρεῖδος. Ὦ τάλαιν' ἐγὼ,
Ὀρέσα φίλταθ', ὥς μ' ἀπώλεσας θανών.
Ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενὸς,
Αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
Σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε,
Κἀμοῦ ταλαίνης· νῦν δὲ, ποῖ με χρὴ μολεῖν;
Μόνη γάρ εἰμι, σοῦ τ' ἀπεσερημένη
Καὶ πατρὸς ἤδη. Δεῖ με δουλεύειν πάλιν
Ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ,
Φονεῦσι πατρός· ἆρά μοι καλῶς ἔχει;
Ἀλλ' ὅτι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
Ξύνοικος ἔσσομ'· ἀλλὰ τῇδε πρὸς πύλῃ
Παρεῖσ' ἐμαυτὴν, ἄφιλος αὐανῶ βίον·
Πρὸς ταῦτα, καινέτω τὶς, εἰ βαρύνεται,
Τῶν ἔνδον ὄντων· ὡς χάρις μὲν, ἦν κτάνῃ·
Λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' ὀδεὶς πόθος.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Πῶ ποτε κεραυνοὶ Διὸς, ἢ

816. Καὶ πατρὸς ἤδη] τὸ ἤδη εἰ μὲν ἀντὶ τοῦ πάλαι νοήσεις, πρὸς τὸ πατρὸς συνάψεις· εἰ δὲ ἀντὶ τοῦ νῦν, πρὸς μὲν τὸ πατρὸς οὐ ζήξεις, αὐτὸ δὲ πρὸς τὸ ἐπαγόμενον συνάψεις.

817. Ἐχθίστοισιν ἀνθρώπων] Ἐχθρός μοι ἐστὶν ὁ δεῖνα· καθὸ ἁπλῶν, δοτικῇ· ἔχθιστος δὲ τῶν ἀνθρώπων. Καθὸ ὑπερθετικὸν, γενικῇ.

821. Αὐανῶ βίον] Ἀντὶ τοῦ, τὰ σκληρότητος διαζεύξασα· διαζεύξασα τὸν βίον, ἄφιλος ἔσομαι, ἐρημένη φιλίας, μὴ ποιήσασα σπονδὰς μετὰ τοῦ Αἰγίσθου, καὶ τῆς Κλυταιμνήστρας.

823. Χάρις] Ἥγουν, εὐεργεσία, εὐχαριστία ἐμοὶ δηλονότι· χαρίζομαι τὸ δωρεῖσθαι. καὶ τὸ χάριν ποιῶ.

825. Πῶ ποτε κεραυνοὶ Διὸς] ἐν τοῖς ἔμπροσθεν παραμυθουμένου ὁ χορὸς τὴν Ἠλέκτραν ἔλεγε, Θάρσει μοι, τέκνον. Θάρσει ἔστι μέγας ἐν οὐρανῷ Ζεὺς, καὶ τὰ ἐξῆς. Νῦν οὖν παντα-χόθεν ἀπεγνωσμένης τῆς σωτηρίας καὶ προστεθείσης τῆς κατὰ τὸν Ὀρέστην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν, καὶ ὅλως ἀμφιζάλλειν εἰ ὅλως ἐν οὐρανῷ εἰσιν. εἴγε περιορῶσι τοιαῦτα γιγνόμενα. Καὶ τὸν μὲν Ἥλιον ὡς πάντα ἐφορῶντα παρέλαβεν· τὸν δὲ Δία,

Πῦ φαέθων Ἅλιος,
Εἰ ταῦτ' ἐφορῶντες
Κρύπτουσιν ἔκηλοι;
ΗΛΕ. Ἔ, ἔ, αἰ, αἰ.
ΧΟΡ. Ὦ παῖ, τί δακρύεις;
ΗΛΕ. Φεῦ.
ΧΟΡ. Μηδὲν μέγ' αὔσῃς.
ΗΛΕ. Ἀπολεῖς με.
ΧΟΡ. Πῶς;
ΗΛΕ. Εἰ τῶν φανερῶς οἰ-
χομένων εἰς ἀΐδαν
Ἐλπίδ' ὑποίσεις, κατ' ἐμὲ
Τακομένας
Μᾶλλον ἐπεμβάσῃ.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων

φάντων δεσπότην ὄντα. Δεῖ δὲ τὸν ὑποκριτὴν ἅμα τῇ βοῇ ἀναβλέψαι τε εἰς ἠρανὸν, καὶ τὰς χεῖρας ἀνατεῖναι. Ὁ δὴ κωλύει ὁ χορὸς, Μηδὲν μέγ' αὔσῃς.

1b. Πῦ ποτε] Ἀγανακτῶν ὁ χορὸς τοῦτο λέγει. καὶ ἀμφιδάλλων εἰ εἰσὶν εἰ κεραυνοὶ τῷ Διὸς, καὶ ὁ Ἥλιος· εἴτε ἡσυχίαν ἄγουσι τοιούτων γινομένων.

826. Φαέθων] ἐπίθετον ὄνομα ἐνταῦθα, ἀντὶ τοῦ λάμπων. Λέγεται δὲ Φαέθων καὶ ὁ υἱὸς τοῦ Ἡλίου καὶ ὁ ἕτερος τῶν ἵππων αὐτοῦ.

827. Εἰ ταῦτ' ἐφορῶντες κρύπτουσιν] οἷον, ἐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν.

828. Κρύπτουσιν] τοῦτ' ἴσιν, ἡσυχῇ φέρουσιν, ἀ δεικνύουσιν ὅτι ἀγανακτοῦσι.

829. Ἔ, ἔ, αἰ, αἰ] Θρηνεῖ ἡ Ἠλέκτρα τὸν ἀδελφόν· ἐλεεινὸν δὲ λίαν τὸ τοιοῦτον μέρος.

832. Μέγ' αὔσῃς] ἤγουν, βοήσῃς, εἴπῃς· ἤγουν, μὴ πρὸς θρήνους ὁρμήσῃς, ἵνα μὴ πρὸς ὀργὴν Κλυταιμνήστραν κινήσῃς.

833. Ἀπολεῖς με] ἀποκναίεις με (φησὶ) ἐν τοῖς ἀθεραπεύτοις παρηγορῦσα. Δαιμονίως δὲ τοῦτο ἐπήγαγεν· ἐ γὰρ ἀμελήσασα τῶν ἀπὸ χόρου ἐπιτιμήσεων, ἐρεῖ τί ἀπρεπὲς εἰς Θεὸς (ἐπεὶ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τὸς Θεὺς βλασφημῶν· καὶ γὰρ εἷς ἦν τῶν Θεοσεβεστάτων) ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς ἐπιτιμήσεσιν, ὡς ψυχραῖς, τοῦτό φησιν· οἱ δὲ ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι μετριάζειν αὐτὴν ἀξιοῦσιν.

835. Εἰ τῶν φανερῶς] Εἰ τῶν φανερῶς ἀπηλυθότων εἰν ᾅδην ἐλπίδα λαβοῦσα προτρεπεῖς, μᾶλλον ἐπιτεθήσῃ κατ' ἐμοῦ διαῤῥεομένης.

837. Ἐλπίδ' ὑποίσεις] ὑπενέγκῃς, ὑποβαλεῖς, ὡς ἐξ ἐκείνων βοήθειά τις μοὶ γενήσεται.

839. Ἐπεμβάσῃ] ἤγουν, ἐπιπέσῃς νενικημένῃ, καὶ μείζονα ἐργάσῃ τὴν συμφοράν.

840. Ἀμφιάρεων] Ἀμφιάρεως ἦν ἄριστος μάντις καὶ ἄφευκτος, ὅστις ᾔδει τὸν ἐσόμενον θάνατον τοῖς ἀπερχομένοις ἐς τὸν Θηβαϊκὸν

Χρυσοδέτοις ἔρκεσι
Κρυφθέντ ἀπάταισι·
Καὶ νῦν ὑπὸ γαίας——
ΗΛΕ. (Ἔ, ἔ ἰώ.)
ΧΟΡ. Πάμψυχος ἀνάσσει. 845
ΗΛΕ. Φεῦ.
ΧΟΡ. Φεῦ δῆτ'· ὀλοὰ γάρ.

κὴν πόλεμον, ὑπὸ τῷ στρατηγῷ Ἀδράστῳ. ὑφ' ᾧ Ἄδραστος πολλὰ βιασθεὶς καὶ μηδόλως ὑπείξας ἐς Θήβας συναπελθεῖν, πείθεται ὕστερον ὑπὸ τῆς ἰδίας αὐτῦ γυναικὸς Ἐριφύλης ἀπελθεῖν, ἥτις αὖ ὑπὸ Ἀδράστου ἀπατηθεῖσα δώρεις, ἃ ποτε Δῶρα ἦσαν χρυσόδετα ἔρκεα, ἤγουν κόσμος τις γυναικεῖος, ἠνάγκασε τὸν Ἀμφιάρεων ἀπελθεῖν· διὸ καὶ ἐτιμωρήθη πρὸς τῦ υἱῦ Ἀλκμαίωνος· ἀπελθὼν γὰρ ὁ Ἀμφιάρεως εἰς τὸν πόλεμον ἀναιρεῖται. Ὁ δὲ υἱὸς αὐτῦ Ἀλκμαίων, μαθὼν ὅτι ὑπὸ τῆς Ἐριφύλης κατεπείσθη, ἀπέκτεινε ταύτην.

Ib. Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις] ταῖς διὰ χρυσῦ γενομέναις τέχναις, τῦ δόθέντος ὅρμου Ἐριφύλῃ διὰ τὴν Ἀμφιαράου ἔξοδον, διὰ τὰς τῆς γυναικὸς αὐτῦ ἀπάτας. Ἄλλως. Χρυσοδέτοις ἔρκεσιν. Ἢ ἐπὶ τῶν ἁρμάτων, φησὶν, οἷον, τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις. ἅπερ ἔρκη εἶπεν, οἷον, περιφράγματα καὶ τείχη, ἂν ὑπ ἐξέφυγεν ὁ Ἀμφιάραος, ἀλλ' ἐνεσχέθη ἐν αὐτοῖς. Ἢ χρυσοδέτοις, τῷ ἕρμῳ ὃς ἦν ἐκ χρυσῦ πεποιημένος. Τὸ δὲ ἔρκεσιν, οἷον τοῖς δεσμοῖς καὶ φράγμασι, καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ τῦ ἕρμυ γενομένῃ.

841. Ἔρκεσι] ἤγουν, τοῖς περιδεδραίοις, ἅπερ Ἄδραστος ἔδωκεν Ἐριφύλῃ, τῇ σρετέρᾳ μὲν ἀδελφῇ, ἐκείνῳ δὲ τῦ Ἀμφιάρεω γυναικί, ἵνα πείσῃ αὐτὸν ἀπελθεῖν εἰς τὰς Θήβας μετὰ Πολυνείκους. Ἅτε γὰρ μάντις ὢν, ᾔδει ἀπολομένην τὴν σρατιάν· καὶ διὰ τῦτο οὐκ ἤθελε σρατεῦσαι. Εἰκότως δὲ τὰ περιδέδραια ἔρκη ἐκάλεσε, διὰ τὸ αἴτια αὐτῷ ἀπωλείας γενέσθαι. Φασὶ δὲ, ὅτι ἐν τῷ τόπῳ τῶν Θηβῶν, ἔνθα κατεχώσθη Ἀμφιάρεως, μαντεῖον ἦν αὐτῦ τὸ λοιπόν. Ἰσέον δὲ, ὅτι ὁ χρὴ γράφειν, γυναικῶν ἀπάταις (ὁ γὰρ ἁρμόζει οὕτω τῷ μέτρῳ. Περισσὸν γὰρ ἐσὶ τὸ γυναικῶν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ) ἀλλὰ κρυφθέντα ἀπάταισι γράφε· τὸ δὲ γυναικὸς ἔξωθεν λάμβανε. οὕτω γὰρ κατὰ τὴν σύνταξιν καὶ τὸ μέτρον ἔχει καλῶς.

842. Γυναικῶν ἀπάταις] ἡ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ, ἡ καθόλυ τὸν χρυσὸν, γυναικῶν ἀπάτην εἶπεν· Θαυμασῶς δὲ εἴκασεν, ὅτι καὶ οὕτως διὰ γυναικῶν ἀπώλετο. Ἄλλως· οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων, ὁ χρὴς φησὶν ὅτι καὶ ἐν αὐτῷ τῷ Θανάτῳ ἐσί τις εὐτυχία. Τιμὴν δὲ αὐτῷ φησὶν ἔσεσθαι, διὰ τὸ μαντεύεσθαι αὐτόν.

844. Ἔ, ἔ·] ὁ πρόσιεμένη οὐδὲ τὰς τοιύτους λόγυς, θρηνεῖ ἡ Ἠλέκτρα.

845. Πάμψυχος ἀνάσσει] ἀντὶ τῦ πασῶν ψυχῶν ἀνάσσει· ἃ δὴ ἐν χειρὶ καθεζῶσι τῆς ἐκείνυ μαντικῆς· ἢ πάμψυχος, ὁ διασώσας πᾶσαν τὴν ἑαυτῦ ψυχήν· ἢ ὁ διὰ παντὸς τὴν ψυχὴν σώζων, ὅ ἐσιν ἀθάνατος.

Ib. Πάμψυχος ἀνάσσει] ἤγουν, πασῶν τῶν ψυχῶν ἀνάσσει· ἢ ὅλος ζῶν ἀνάσσει. Ἢ ζῶν ἀνάσσει.

846. Φεῦ] μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα ἀναβοᾷ, ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα.

847. Φεῦ δῆτ'· ὀλοὰ γὰρ] ὁ χρὴς συγκατατιθέμενος, φησὶν ὅτι δικαίως ἀναβόησας. ὀλοὴ γὰρ ἦν ἡ Ἐριφύλη· ἔρα δὴ ἂν εἰ ἔπραξέ τι ὁ χορός. Ἀπέσπασε γὰρ αὐτὴν τῦ θρηνεῖν, ἐμβαλὼν τὸ κατ' αὐτὴν μύθυμα.

Ib. Φεῦ δῆτ'· ὀλοὰ] ἐπὶ θηλυκῦ ληπτέον τὸ ὀλοὰ, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς· ἤγουν, ὀλοὰ καὶ ὀλεθρία ὑπῆρχεν ἡ Ἐριφύλη. Ἐδά-

ΗΛΕ. Ἐδάμη γὰρ.
ΧΟΡ. Ναί.
ΗΛΕ. Οἶδ', οἶδ'· ἐφάνη γὰρ
Μελέτωρ ἀμφὶ τὸν ἐν
Πένθει· ἐμοὶ δ' ὕστις ἔτ' ἔ-
σθ'· ὃς γὰρ ἔτ' ἦν,
Φρενὸς ἀναρπασθείς.

ΣΤΡΟΦΗ Β.

ΧΟΡ. Δειλαία, δειλαίων κυρεῖς.
ΗΛΕ. Κἀγὼ τῶδ' ἴσωρ, ὑπερίσωρ,

μη γὰρ ὑπὸ τῦ υἱῦ αὐτῆς Ἀλκμαίωνος. Εἰ δ' ἄλλως εἴποις, οὐκ ἔχει ὀρθῶς.

848. Ἐδάμη] ἡ Ἐριφύλη δηλονότι. Ὁ δὲ λόγος ἀποφαντικός. Ὁ χορὸς δὲ, ὡς συνθαυμαίνης, ἐπάγει τὸ ναί.

850. Οἶδ', οἶδ'· ἐφάνη] οἶδα ὅτι ἐδάμη. ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τῦ ἐν τῷ φόνῳ, τυτ-έσι, τιμωρὸς τῦ πατρός. Ἐμοὶ δὲ ὐδεὶς πάρ-εσιν, ἀποθανόντος Ὀρέσυ. Ὁ μὲν ὖν χορὸς παρέβαλε τὸν Ἀγαμέμνονα τῷ Ἀμφιαράῳ, ἵνα ἡ Ἠλέκτρα εὐελπις εἴη περὶ τῦ πατρὸς, ὅτι τεύξεται τιμῆς τινος· ἡ δὲ φησιν ὅτι Ἀμφιά-ραος ὑπὸ τῦ Ἀλκμαίωνος ἔτυχε τιμωρίας. Πάνυ δὲ περιπαθῶς τὸ πάθος τῦ Ἀγαμέ-μνονος εἰς ἑαυτὴν μεταφέρει, διὰ τῦ ἐμοὶ δ' ὕτις.

851. Μελέτωρ] φρενιτισής. ὦ ἐπιμελὲς γέ-γονε μετελθεῖν τὸν τῦ πατρὸς θάνατον τῦ Ἀμφιαράυ.

854. Ἀναρπασθεὶς] ἀναρπάζω· ὁ μέλλων, ἀναρπάξω ποιητικῶς, ἀναρπάσω κοινῶς· ὁ πα-ρακείμενος ἀνήρπακα· ὁ παθητικὸς, ἀνήρπα-σμαι· ὁ ἀόριστος, ἀνηρπάσθην· ἡ μετοχὴ ἀναρ-πασθείς.

855. Δειλαία δειλαίων] ἤγυν, ἀθλία ἀθλίων ὑπάρχεις, ὑπερβολικῶς, ὡς ματαιότης μα-ταιοτήτων, καὶ ἑορτὴ ἑορτῶν. Τυτέσιν, ἀθλιω-τάτη καὶ ἀποκρύπτυσα τὴν ἀθλιότητα τῶν ἄλλων, ὡς μόνην αὐτὴν ἐν ταῖς ἀθλίαις δοκεῖν ἀθλίαν.

856. Κἀγὼ τῶδ' ἴσωρ] καὶ ἐγὼ ἴσως καὶ ἐπισήμαν καὶ ὑπερίσως εἰμὶ τῶδ· ὅτι δηλονό-τι δειλαία κυρῶ καὶ ὑπάρχω, ἤχυν, ἀθλία, τῶν Ἀχαιῶν τῶν ἀθλιων, ἕνεκα τῶν πολλῶν δει-νῶν, τῶν πανσυρτῶν καὶ πάντα συρόντων, καὶ ἀπολλύντων, καὶ συγνῶν, ἤτοι, τῶν συγκλύ-ζων ποιόντων, ἐν τῷ παμμήνῳ καὶ δινηκεῖ χρόνῳ. Ἤγυν, ἐπίσαμαι ὅτι ἀθλιοτέρα εἰμὶ τῶν Ἀ-χαιῶν, τῶν διὰ τῦτο ἀθλίων ὅτι πολλῶν δει-νῶν πανσύρτων καὶ συγνῶν πεῖραν ἔλαβον ἐν τῷ παμμήνῳ καὶ δινηκεῖ χρόνῳ, ὃν δηλονότι ἐν Τροίᾳ πεποιήκασιν. Εἰ δὲ πανσύρτων καὶ ἀρχαίων γράψεις, (ἐν τισὶ γὰρ τῶν πάνυ πα-λαιῶν ὕτως εὕρηται βιβλίων) ὀρθότερον ἔχει πρὸς τὸ μέτρον. Εἴγε μὴν πανσύρτω γράψεις, (ἐν πολλοῖς γὰρ καὶ ὕτως εὕρηται) πρὸς τὸ παμμήνῳ συνάψεις· ἤγυν, τῷ δινηκεῖ χρόνῳ τῷ κατὰ πάντα συρομένῳ, ἤτοι, τῷ πολυμι-νήτῳ. ἐπεὶ δ' ὑποσκάζει τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς, τὸ δεινῶν συγνῶν τ' Ἀχαιῶν, (ἐκεῖνο γὰρ ἐκ σπονδείων δι' ὅλυ σύγκειται) ἀρ-χαίων φημὶ δεῖν γράφειν·[a] (ἀπὸ τύτυ γὰρ καὶ τὸ Ἀχαιῶν ἐν πολλοῖς τῶν βιβλίων εὕρηται, τῦ ρ κατὰ λήθην τῦ γραφέως ἐκλελοιπότος) καὶ ὕτω συνάπτειν, καὶ ἐγὼ ἴσως καὶ ὑπερίσως εἰμὶ τῦδε, ὅτι δειλαία εἰμὶ δηλονότι, ἐν τῷ πανσύρτῳ καὶ παμμήνῳ καὶ δινηκεῖ χρόνῳ, ἕνεκα τῶν δεινῶν τῶν ἀρχαίων τῶν πολλῶν καὶ συγνῶν. Ἀρχαία δὲ φησι τὰ δεινὰ, ἐπεὶ καὶ πρότερον εἴρηκεν ὡς ἐκ τῆς πρόσθεν Πέλοπος

ἱππείας,

Πανσύρτῳ * παμμήνῳ πολλῶν
Δεινῶν συγγνῶν τ᾽ ἀχέων †.
ΧΟΡ. Εἴδομεν ἀ᾽ θροεῖς.
ΗΛΕ. Μή με νῦν μηκέτι
Παραγάγῃς, ἵν᾽ ὅ——
ΧΟΡ. Τί φῄς;
ΗΛΕ. Πάρεισιν ἐλπίδων
Ἔτι κοινοτόκων
Εὐπατριδᾶν τ᾽ ἀρωγοί.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΧΟΡ. "Πᾶσι θνατοῖς ἔφυ μόρος."
ΗΛΕ. Ἦ καὶ χαλαργοῖς ἐν ἁμίλλαις
Οὕτως ὡς κείνῳ δυστάνῳ
Τμητοῖς ὁλκοῖς ἐγκύρσαι;
ΧΟΡ. Ἄσκοπος ἁ λώβα.
ΗΛΕ. Πῶς γὰρ ὐκ, εἰ ξένος,

* Turn. in marg. πανσύρτων. † Turn. in marg. ἀρχαίων.

ἵππείας, καὶ τῷ φόνῳ Μυρτίλου, ἐκ ἔλιπε τὰς οἴκοις αὐτῶν πολύπονος αἰκία.

857. Πανσύρτῳ] τῷ πάντα σύροντι τὰ καλά· ἢ πανσυρτῷ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ἀφεμημένῳ.

Ib. Παμμήνῳ] τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. Δειλαία ὦν εἰμὶ, οἷον, κατ᾽ αὐτὸ τοῦτο καθὸ πάντα τὰ ἄχη εἰς ἐμᾶς συνεσύρη καὶ διηνεκῆ παρέμεινεν.

860. Μή με νῦν μηκέτι] μηκέτι ὦν με (φησὶ) παρηγορήσητε, ὅπου γε ὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαὶ, αἱ ἀπὸ τῶν ἀδελφῶν.

861. Παραγάγῃς ἵν᾽ ὅ] τὸ ἵν᾽ ὅ, πρὸς τὸ πάρεισι συναπτέον· εἰ καὶ τὸ τί φῄς, διὰ μέσου τίθεται. Συντάσσεται δὲ ὅτου, μή με νῦν μηκέτι παραγάγῃς, ἵνα καὶ ὅπου ὐ πάρεισιν ἐλπίδες ἐλπίδων, τῶν εὐπατριδῶν κοινοτόκων, ἥκω, τῷ εὐγενῆς Ὀρέσῃ τῷ ἐμῷ ἀδελφῷ ἀρωγοὶ ἐμοί. Ἥκω, μὴ εἰς ἐλπίδας ἐμβάλῃς Ὀρέσῃ, ὡς ἥξει ἐμοὶ βοηθός. Ἰστέον δὲ, ὅτι τὸ τί φῄς, πάρεισιν ἐλπίδων, ἓν κῶλόν ἐστι· τὰ γὰρ δύο πρόσωπα ἓν ἀποτελεῖ κῶλον, ὡς καὶ ἐν τῇ πρώτῃ ἀντιστροφῇ δείκνυται. Διὸ τὸ αὐδᾷς δὲ ποῖον, περισσὸν ὂν ἐξεβλήθη παρ᾽ ἐμοῦ. Ταυτὸν γὰρ ἐστι τῷ τί φῄς.

867. Ἐν ἁμίλλαις] διὰ τῶν ἐλπῶν ἁμίλλαις, ἐδήλωσε τὸ ἵππους· τούτων γὰρ ἡ ἅμιλλα. Τὸ δὲ χαλαργοῖς, ἢ τοῖς τὰς χηλὰς (καὶ τὰς πόδας, ἀπὸ μέρους τὸ πᾶν) ἀργὰς ἔχουσι κατ᾽ ἀντίφρασιν, ὥσπερ ἐστὶ καὶ τὸ σύμαργος καὶ τὸ πύγαργος ἢ χαλαργοῖς καὶ λευκόποσιν.

869. Τμητοῖς ὁλκοῖς] τμητοῖς λώροις τοῖς ἱμᾶσιν· ὁλκὸς ὦν ἀντὶ τῶν ἱμάντων, ἐν οἷς εἱλκύσθη.

870. Ἄσκοπος] ἀπροόρατος ὁ θάνατος.

871. Πῶς γὰρ ὐκ] ναὶ, καλῶς ἔφης. πῶς γὰρ ὐκ ἔστιν ἀνέλπιστος ἡ βλάβη, ἐπειδὴ καὶ ὁ Ὀρέστης ξένος ἀπώλετο δυσνόητα καὶ κέκευθεν;

874. Κέκευθεν]

Ἄτερ ἐμᾶν χερῶν * ;
ΧΟΡ. Παπαί.
ΗΛΕ. Κέκευθεν, ὕτε τῦ
Τάφυ ἀντιάσας,
Οὔτε γόων παρ' ἡμῶν.

ΙΑΜΒΟΙ.

ΧΡΥ. Ὑφ' ἡδονῆς τοι, φιλτάτη, διώκομαι,
Τὸ κόσμιον μεθεῖσα, σὺν τάχει μολεῖν.
Φέρω γὰρ ἡδονάς τε, κἀνάπαυλαν, ὧν
Πάροιθεν εἶχες καὶ κατέσενες, κακῶν.
ΗΛΕ. Πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
Ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνες' ἰδεῖν ;
ΧΡΥ. Πάρες' Ὀρέσης ἥμιν· ἴσθι τῦτ' ἐμῦ
Κλύυσ' ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
ΗΛΕ. Ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς

* Aldus, ἐμᾶν χερᾶν.

874. Κέκευθεν] τὸ κέκευθεν, ἀλλοίωσις ἐξι κατὰ διάθεσιν. ἐνεργητικὸν ὂν λαμβάνεται ἀντὶ παθητικῦ, ἦγεν, ἐσκεπάσθη, ἐκρύβη· ἢ ὂν τὸ κέκευθεν μέσος παρακείμενος ἀπὸ τῦ κεύθω, κεύσω, κέκευκα· ὁ μέσος παρακείμενος κέκευθα, δύναται εἶναι καὶ ἐνεργητικὸς, καὶ παθητικός.

877. Ὑφ' ἡδονῆς τοι] ἡ Χρυσόθεμις παραγέγονε τὰ ὑπὸ τῦ Ὀρέσυ ἐγκείμενα τῶ τάφῳ εὑρῦσα. Τῦτο τὸ πρόσωπον εἰσήγαγεν, ἵνα μὴ εἰς μακρὸν ἡ ὀλοφυρσις ἡ Ἠλέκτρας γένηται.

Ib. Σὺν τάχει μολεῖν] λείπει ἡ ὑπέρ· ὑπὲρ τῦ σὺν τάχει μολεῖν.

878. Τὸ κόσμιον] ἦγεν, τὴν κοσμιότητα, τὸ κόσμιον Ἀττικῶς, ἀντὶ τῦ κόσμον, καὶ τὴν εὐταξίαν· ὡς τὸ ῥητορικὸν τῦ λόγυ, ἀντὶ τῦ, ὁ ῥητορικὸς λόγος.

879. Ἀνάπαυλαν] ἀνάπαυσις καὶ καὶ κατάπαυσις λέγεται· ἀνάπαυλα δὲ μόνον· ἐχὶ καὶ κατάπαυλα· Ἀνάπαυσιν τῶν κακῶν, ὧν εἶχες πρότερον καὶ ἔσενες.

881. Τῶν ἐμῶν σὺ πημάτων] τῶν τοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐξὶν ἄρηξις. Τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐξὶν ἴασις. κατ' ὐδένα ἂν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον.

882. Οἷς ἴασιν] εἰ μὲν ἴασιν γράψεις, πρὸς τὸ ἰδεῖν συντάξεις· εἰ δὲ ἴασις, πρὸς τὸ ἐξὶ.

883. Πάρες'] πάρεσιν ὁ Ὀρέσης ἡμῖν ἐναργῶς ἕτως ὥσπερ ὁρᾷς ἐμὲ παρῦσαν δηλονότι ἐναργῶς. Ἴσθι τῦτο, ἦγεν γίνωσκε, κλύυσα ἐμῦ.

885. Ἀλλ'] ὁ ἀλλὰ ἐνίοτε μέν ἐξι συμπλεκτικὸς, καὶ λέγεται ἐπὶ ἀναιρέσει ἑνὸς, καὶ συγάσει ἑτέρυ· οἷον, οὐκ ἔξι τόδε, ἀλλὰ τόδε. καὶ ἔτε ἐφ' ἑτέρῳ ἕτερον ἐπάγεται νοημένης ἑτέρας ἀναιρέσεως. Οἷον, ἔξι τόδε, ἀλλὰ καὶ τόδε. ἀντὶ τῦ, ὐ μόνον τόδε, ἀλλὰ καὶ τόδε. καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλως γινομένων. Ὡς ἔχει τὸ, ἀσπίδα, φρῦγον, ὄφιν· καὶ λαδικέας περίφυγε· καὶ κύνα λυσσητήν. Καὶ πάλιν, λαδικέας, ἀλλὰ τὰς πινακίδας ἀθάλιος ὁ λαδικεὺς ἔχει λαδών. Ἐνίοτε δὲ, ὁ ἀλλὰ ἐξὶ συλλογιστικὸς, καὶ λέγεται ἐπὶ βεβαιώσει πράγματος,

Σαυτῆς κακοῖσι, κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
ΧΡΥ. Μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
Λέγω ταδ', ἀλλ' ἐκεῖνον ὡς πατρόνλα νῷν.
ΗΛΕ. Οἴμοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
Τόνδ' εἰσακούσασ', ὧδε πιστεύεις ἄγαν;
ΧΡΥ. Ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου, σαφῆ
Σημεῖ' ἰδοῦσα, τῷδε πιστεύω λόγῳ.
ΗΛΕ. Τίν', ὦ τάλαιν', ἰδοῦσα πίστιν; ἐς τί μοι
Βλάψασα, θάλπῃ τῷδ' ἀνηκέστῳ πυρί;
ΧΡΥ. Πρὸς νῦν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου
Γολοιπὸν, ἢ φρονοῦσαν, ἢ μωρὰν λέγῃς.
ΗΛΕ. Σὺ δ' ἓν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
ΧΡΥ. Καὶ δὴ λέγω σοὶ πᾶν ὅσον καλειδόμην.
Ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
Ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
Πηγὰς γάλακτος, καὶ περισεφῆ κύκλῳ
Πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
Ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ
Μήπου τις ἡμῖν ἐγγὺς * ἐγχρίμπῃ βροτῶν·
Ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
Τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ' ὁρῶ
Πυρᾶς νεωρῆ βόστρυχον τελμημένον·

* Aldus, ἐγχρίπῃ.

σχήματος, ὡς ἐνταῦθα, ἀλλ' ἢ μέμηνας· καὶ ἀλλὰ μὴν τόδε ἐστίν.

887. Ὑφ' ἡδονῆς] ὑποσχοῦσα Χρυσοθέμιδος μετὰ τινὸς εὐφροσύνης.

894. Θάλπῃ ἀνηκέστῳ πυρὶ] ἤγουν, Θάλπῃ καὶ θερμαίνῃ ὕστως, ὥσπερ ὑπὸ ἀθεραπεύτου πυρός. Ὁ γὰρ πῦρ βλέπεται μακρόθεν, τοῦτο τοῖς ὁρῶσιν ἐστὶν ἀθεράπευτον. Ἤγουν, ὑδεμίαν θεραπείαν δύναται δῦναι τοῦτοις.

898. Καὶ δὴ λέγω] διήγησις, ὧν εἶδεν ἐν τάφῳ.

900. Κολώνης] ἤγουν, ὑψηλοῦ καὶ ἐπανεγκότος τόπου.

Ib. Νεορρύτους πηγὰς γάλακτος] ἤγουν, χύσεις γάλακτος, νεωστὶ ῥυείσας. ἤγουν, γάλα ὑπὸ πηγῆς ἀναδοθὲν νεόῤῥυτον.

901. Πηγὰς γάλακτος] πολὺ γάλα· ὡς τὸ δακρύων πηγὰς, ἀντὶ τοῦ πολλὰ δάκρυα.

902. Θήκην πατρὸς] τὸν σορὸν λέγει, ἔνθα τὸ λείψανον ἐτέθη.

907. Νεωρῆ] τὸν νεωστὶ ἠρτημένον· ἢ ἐκ νέας τινὸς καὶ ὥραν ἔχοντος νέαν.

Κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
Ψυχῇ σύνηθες ὄμμα, φιλτάτῳ βροτῶν
Πάντων Ὀρέσῃ τῷδ' ὁρᾶν τεκμήριον·
Καὶ χερσὶ βαςάσασα, δυσφημῶ μὲν ἐ,
Χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων·
Καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσαμαι,
Μή τι τόδ' ἀγλάϊσμα πλὴν κείνῃ μολεῖν.
Τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;
Κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσαμαι,
Οὐδ' αὖ σύ· πῶς γὰρ, ἤ γε μηδὲ πρὸς θεὺς
Ἔξες' ἀκλαύςῳ τῆσδ' ἀποςῆναι ςέγης;
Ἀλλ' ἡδὲ μὲν δὴ μητρὸς ὄθ' ὁ νοῦς φιλεῖ
Τοιαῦτα πράσσειν, ὅτε δρῶσ' ἐλάνθανεν·
Ἀλλ' ἐς' Ὀρέσῃ ταῦτα τἀπιτίμια·
Ἀλλ', ὦ φίλη, θάρσυνε· "τοῖς αὐτοῖσί τοι
"Οὐκ αὐτὸς αἰεὶ δαιμόνων παραςαλεῖ·"
Νῷν δ' ἦν τὰ πρόσθεν ςυγνός· ἡ δὲ νῦν ἴσως

908. Κεὐθὺς τάλαιν'] ἤγουν, καὶ εὐθὺς ἐγὼ ἡ τάλαινα ἐπεὶ εἶδον τὸν νεωςὶ βόςρυχον ἐκεῖνον τετμημένον, ἐπέχεται τῇ ψυχῇ μου σύνηθες τὸ ὄμμα τοῦ Ὀρέςου τοῦ φιλτάτου ἀπὸ τῶν βροτῶν, ὥστε νομίζειν ὁρᾶν τοῦτο, ἴν τι τεκμήριον ἐκείνου. Ἤ, καὶ εὐθὺς ἐγὼ ἡ τάλαινα, ἐπειδὴ εἶδον βόςρυχον τετμημένον νεωςὶ, παίει ἐν τῇ ψυχῇ μου ὁρᾶν τοῦτο σύνηθες τί θέαμα καὶ τεκμήριον, Ὀρέςου τοῦ φιλτάτου ἀπὸ πάντων τῶν βροτῶν.

909. Σύνηθες ὄμμα] ἕξαμα, ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν.

914. Μή τι τόδ' ἀγλάϊσμα] μὴ λάβῃς ἔξωθεν εἰς τὸ τι, ἀπὸ, ἀλλὰ πρὸς τὸ ἀγλάϊσμα νόει τὴν γενικήν. Μηδὲ τὸ πλὴν ἀντὶ τοῦ χωρὶς εἴπῃς, ἀλλ' ἀντὶ τοῦ εἰ μή. Ἔςι δὲ ἡ γενικὴ τὸ ἐκείνου πρὸς τὸ τι.

915. Τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;] τὸ ἀποκείρασθαι τὰς κόμας δηλονότι. Τὸ μὲν γὰρ ἀπὸ τῆς ὄψεως τοῦ βοςρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν, γελοῖον. Πιθανὰς δὲ ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει.

917. Ἤ, γε] ἤγουν, ἤ τινι σοὶ τῇ ἀκλαύςῳ, ἤγουν, πολυθρηνήτῳ ἔξειν ἀποςῆναι τῆσδε τῆς ςέγης, καὶ ἐλθεῖν πρὸς τοὺς θεοὺς, ἤγουν, εἰς τοὺς ναοὺς τῶν θεῶν.

920. Τοιαῦτα πράσσειν] τὰ ἐπὶ τῇ τιμῇ γιγνόμενα τοῦ πατρός.

921. Ταῦτα τἀπιτίμια] γράφεται τἀγλαίσματα.

923. Δαιμόνων] τῷ αὐτῷ καὶ ἑνὶ ἀνθρώπῳ οὐκ ἔςιν ἀεί ποτε ὁ αὐτὸς Θεός. Ἤγουν, ἡ αὐτὴ τύχη· Θεὸς, ἤγουν, τύχη.

925. Ὑπάρξει

Πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
ΗΛΕ. Φεῦ τῆς ἀνοίας· ὡς σ' ἐποικτείρω πάλαι.
ΧΡΥ. Τίδ' ἐστίν; ὠ πρὸς ἡδονὴν λέγω τάδε;
ΗΛΕ. Οὐκ οἶσθ' ὅποι γῆς ὠδ' ὅποι γνώμης φέρῃ.
ΧΡΥ. Πῶς δ' οὐκ ἐγὼ κάτοιδ', ἅγ' εἶδον ἐμφανῶς;
ΗΛΕ. Τέθνηκεν, ὦ τάλαινα· τὰ κείνου δέ σοι
Σωτῆρι' ἔρρει· μηδὲν ἐς κεῖνόν γ' ὅρα.
ΧΡΥ. Οἴ μοι τάλαινα· τῷ τάδ' ἦκουσας βροτῶν;
ΗΛΕ. Τῷ πλησίον πάροντος ἡνίκ' ὤλλυτο.
ΧΡΥ. Καὶ πῶ 'στιν ὅστις; θαῦμά τοι μ' ὑπέρχεται.
ΗΛΕ. Κατ' οἶκον, ἡδύς, ὠδὲ μητρὶ δυσχερής.
ΧΡΥ. Οἴμοι τάλαινα· τῷ γὰρ ἀνθρώπων πότ' ἦν
Τὰ πολλὰ πατρὸς πρὸς τάφον κλερίσματα;
ΗΛΕ. Οἶμαι μάλις' ἔγωγε τῷ τεθνηκότος
Μνημεῖ' Ὀρέστῃ ταῦτα προσθεῖναί τινα.
ΧΡΥ. Ὦ δυστυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγους
Τοιούσδ' ἔχουσ' ἔσπευδον, ὡς εἰδυῖ' ἄρα
Ἵν' ἦμεν ἄτης· ἀλλὰ νῦν ὅθ' ἱκόμην,
Τά τ' ὄντα πρόσθεν ἀλλά θ' εὑρίσκω κακά.
ΗΛΕ. Οὕτως ἔχει σοὶ ταῦτ'· ἐὰν δέ μοι πιθῇ,
Τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
ΧΡΥ. Ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ;

925. Ὑπάρξει κῦρος] ἐπιτυχίαν ἄρξει.
926. Φεῦ τῆς ἀνοίας] μέμψις Ἠλέκτρας ἐφ' οἷς διηγήσατο Χρυσόθεμις.
928. Οὐκ οἶσθ'] ἤγουν, ὠ γινώσκεις εἰς ποῖον μέρος τῆς γῆς φέρῃ, ὠδὲ εἰς ποῖον μέρος τῦ νῦ.
934. Θαῦμα τοί μ' ὑπέρχεται] ἀντὶ τῦ, θαυμάζω κατ' ἐμαυτήν.
935. Οὐδὲ μητρὶ δυσχερὴς] ἤ ἐστιν, ὠ κατὰ τοῦτο τῇ μητρὶ δυσχερὴς ὀφθείς, καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν. Γράφεται καὶ, μητρὶ δυσμενής.
937. Τὰ πολλὰ κλερίσματα] ἤγουν, ἐντάφια πρὸς τὸν τάφον τῦ πατρός.
939. Μνημεῖ' Ὀρέστῃ] ἤγουν, ἐνθυμήσεις. Θανόντος γὰρ ἐκείνου, τιμηθεὶς ὁ βόςρυχος τῆς κεφαλῆς ὑπὸ τινος τῶν αὐτῦ φίλων, ἐπετίθη τῷ τάφῳ τῦ Ἀγαμέμνονος, ἵνα τὶς ὁρῶν αὐτὸν κείμενον, εἰς μνήμην ἀφικνῆται Ὀρέςου.
943. Τά τ' ὄντα] καὶ τὰ ὄντα πρότερον κακὰ εὑρίσκω, καὶ ἄλλα κακὰ εὑρίσκω, καὶ τὰς πρόσθεν θλίψεις ἔχω, ἔρχονται δέ μοι καὶ ἕτεραι θλίψεις.

ΗΛΕ. Οὐκ ἔσθ' ὅγ' εἶπον· ἐ γὰρ ὧδ' ἄφρων ἔφυν.
ΧΡΥ. Τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;
ΗΛΕ. Τλῆναί σε δρῶσαν ἅ 'ν σ' ἐγὼ παραινέσω.
ΧΡΥ. Ἀλλ' εἴ τις ὠφέλειά γ', ἐκ ἀπώσομαι.
ΗΛΕ. Ὅρα· "πόνε τοι χωρὶς ὐδὲν εὐτυχεῖ."
ΧΡΥ. Ὁρῶ· ξυνοίσω πᾶν ὅσον περ ἂν σθένω.
ΗΛΕ. Ἄκουε δὴ νῦν βεβούλευμαι τελεῖν.
Παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων,
Ὡς ὄτις ἡμῖν ἐσιν, ἀλλ' ἄδης λαβὼν
Ἀπεζέρηκε, καὶ μόνα λελείμμεθον.
Ἐγὼ δ' ἕως μὲν τὸν κασίγνηθον βίῳ
Θάλλοντά τ' εἰσήκουον, εἶχον ἐλπίδας
Φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός·
Νῦν δ' ἡνίκ' ἐκέτ' ἐσὶν, εἰς σὲ δὴ βλέπω,
Ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
Ξὺν τῇδ' ἀδελφῇ μὴ καθοκνήσῃς κτανεῖν
Αἴγισθον· ὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι·
Ποῖ γὰρ μενεῖς ῥάθυμός; εἰς τίν' ἐλπίδων
Βλέψασ' ἔτ' ὀρθήν; ἢ πάρεσι μὲν ςένειν
Πλούτου πατρῴου κτῆσιν ἐσερημένῃ,
Πάρεσι δ' ἀλγεῖν, ἐς τοσόνδε τοῦ χρόνου
Ἀλεκλρα γηράσκουσαν ἀνυμέναιά τε.

948. Ὧν ἐγὼ φερέγγυος] ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλὴς εἰμι. Φερέγγυος λέγεται ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτίσαι· οἷον, ἀξιόχρεως, δυναμένη ἀναδέξασθαι.

950. Ἀλλ' εἴ τις ὠφέλειά γ'] τοῦτο τῷ προτέρῳ ὅμοιον, ἢ τὸς θανόντας ἐξανάςησω ποτέ;

951. Εὐτυχεῖ] ἀντὶ τοῦ ἐπιτυγχάνεται.

952. Συνοίσω] συμπονήσω· τοῦτο συνᾴδον τῷ, τί γὰρ κελεύεις, ὧν ἐγὼ φέρεγγυος.

953. Ποιεῖν] γράφεται τελεῖν.

Ib. Ἄκουε δὴ νῦν] Ἠλέκτρας συμβουλὴ, ὅπως ἀνέλωσιν Αἴγισθον.

958. Θάλλοντά τ' εἰσήκουον] μὴ εἴπῃς καὶ αὐτὸς τοῦτ' ἀρχὸν, (ὡς τινές φασιν) ἀλλ' ὅτε σύντασσε, ἕως μὲν εἰσήκουον τὸν κασίγνητον ἐν τῷ βίῳ καὶ ζῶῃ, καὶ θάλλοντα, ἤγουν, ζῶντα πάλιν. Ἔςι δὲ τὸ βίῳ καὶ τὸ θάλλοντα ἐκ παραλλήλου. Εἴρηται δὲ τὸ θάλλοντα ἐκ μεταφορᾶς τῶν φυτῶν· ζωὴ γὰρ φυτῷ τὸ θάλλειν, ὥσπερ αὖ τἐναντίον ἡ μάρανσις.

963. Οὐδὲν γάρ σε δεῖ] οἱ ἀγνοοῦντες τὸ τῷ Εὐριπίδου, τὸ, Κρυπτειν Θ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεὼν, καὶ ἐναλλαγὰς καὶ προθέσεις ἔξωθεν καινοτομοῦντες, ἵνα συντάξωσιν, ἐντεῦθεν

Καὶ τῶνδε μέντοι μηκέτ' ἐλπίσῃς ὅπως
Τεύξῃ ποτ'· ὁ γὰρ ὦδ' ἄβουλός ἐς' ἀνὴρ
Αἴγισθος, ὥςε σόν ποτ' ἢ κἀμὸν γένος
Βλαςεῖν ἐᾶσαι, πημονὴν αὑτῷ σαφῆ.
Ἀλλ' ἦν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασι,
Πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
Θανόντος οἴσῃ, τῷ κασιγνήτῳ θ' ἅμα·
Ἔπειτα δ', ὥσπερ ἐξέφυς, ἐλευθέρα
Καλῇ τολοιπὸν, καὶ γάμων ἐπαξίων
Τεύξῃ· "Φιλεῖ γὰρ πρὸς τὰ χρηςὰ πᾶς ὁρᾶν."
Λόγῳ γε μὴν εὔκλειαν ἐχ ὁρᾶς ὅσην
Σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ' ἐμοί;
Τίς γάρ ποτ' ἀςῶν ἢ ξένων ἡμᾶς ἰδὼν,
Τοιοῖσδ' ἐπαίνοις ἐχὶ δεξιώσεται;
Ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,

ἐντεῦθεν διδαχθήτωσαν μὴ τοιαῦτα πρεσβεύειν, ἀλλ' ὡρᾶς συντάσσειν, ὡς ἔχει τῦτο.

970. Ἄβουλος] κακόβουλος, ἀνόητος ἦν ὁ Αἴγισθος, εἰ τῶν ἐμῶν καὶ σῶν παίδων βλαςεῖν ἐᾶσεν.

972. Πημονὴν αὑτῷ] τῦτο κομματικὸν ὂν, πρὸς τὸ ὄπισθεν συνάπτεται τὸ βλαςεῖν, τῇ ἐπεία· τὸ γὰρ ἀναβλαςῆσαι τὸ γένος αὐτῶν, ἐχ ἕτερόν ἐςιν ἢ πημονὴ τῷ Αἰγίσθ. Μὴ λαβῇς δὲ εἰς τὸ πημονὴν ἔξωθεν τὸ λέγω, ἀλλ' ὅτι συντασσε, ἐᾶσαι ἀναῦναι τὸ ἐμόν τε καὶ σὸν γένος πημονὴν αὐτῷ σαφῆ, τῆς τοιαύτης αἰτιατικῆς πρὸς τὸ βλαςεῖν ἐχώσης τὴν φύσιν καὶ φερομένης. Ἔςι δὲ ὅμοιον, ὡς πρόσθεν ἔφημεν, τῷ, μήνιμα Τροίας.

Ib. Αὐτῷ σαφῆ] τῷ Αἰγίσθῳ πρόδηλον, ὁμολογυμένην, ἀναμφίβολον, φανερὰν, ἀληθῆ.

973. Ἐπίσπῃ] Ἕφεσμαι, ἐφέψομαι, ὁ δεύτερος ἀόριςος ἐπεσπόμην, καὶ τὸ ὑποτακτικὸν παθητικὸν, ἐὰν ἐπίσπωμαι, ἐὰν ἐπίσπῃ.

974. Πρῶτον μὲν εὐσέβειαν] ἀντὶ τῦ δόξαν εὐτεβείας ἀποίσῃ κάτω, ἤγυν, ἐν τῷ ᾅδῃ, ἐκ πατρὸς ἀποθανόντος. Τὸ εὐσεβὲς, λέγεται ἐπὶ τῶν Θεῶν, τὸ ὅσιον, ἐπὶ τῶν θανόντων, τὸ δὲ δίκαιον, ἐπὶ τῶν ζώντων.

975. Θανόντος οἴσῃ] ἤγυν, λάβῃς· σύναπτε δὲ πρὸς τὸ κάτω. Ὁ δὲ λέγει τοιῦτόν ἐςιν· εὐσεβὴς δόξεις τοῖς ἐν ᾅδῃ Θεοῖς, ἐκ πατρὸς θανόντος καὶ κασιγνήτυ. τῦτ' ἔςιν, δι' ὧν ὑπὲρ τεθνηκότος πατρὸς καὶ ἀδελφῦ σπυδάσεις.

978. Φιλεῖ] γνωμικόν.

981. Τίς γάρ ποτ' ἀςῶν] ὅρα ἐν τύτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς Ἠλέκτρας, ὅτι πάντα τέθεικε τὰ ἀγαθὰ, ἅπερ αὐταῖς παρέσαι ἀνελύσαις τὸν Αἴγισθον· τὰ δὲ ἕτερα ὑπιζήνηκεν, ὁποῖα πείσονται ἀλῦσαι. Καί τοι ἦν κατὰ τὸ πάθος τῆς Ἠλέκτρας κἀκεῖνα προσθεῖναι. Ὅτι καλόν μοι ἀποθανεῖν ὕτω δυστυχύσῃ· ὁποῖα καὶ πρόσθεν ἔλεγεν, ὡς χάρις μὲν, ἂν θάνω· λύπη δὲ, ἂν ζῶ. Ἀλλ' ἤδει τὸ πειθηνιῶδες τῆς Χρυσοθέμιδος, ὥςε ἐκῦσα τὰς δειλοτέρας τῶν λόγων ὑπεξεῖλεν, ὥςε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταςῆσαι.

982. Δεξιώσεται] ἤγυν, φιλοφρονήσεται. ἀπὸ μεταφορᾶς τῶν τὰς δεξιὰς ἐμβαλλόντων ἀλλήλοις, μετὰ φιλοφροσύνης.

983. Ἴδεσθε τώδε] ἀντὶ τῦ τάσδε. Ἐπὶ τῶν Δελυκῶν τοῖς ἀρσενικοῖς ἄρθροις κέχρηται, ὅπερ σύνηθες Ἀττικοῖς· τὼ χεῖρε γὰρ φασι. καὶ Ὅμηρος·

"Τὼ

" Ὦ τὸν πᾶλρῷον οἶκον ἐξεσωσάτην·
" Ὦ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ,
" Ψυχῆς ἀφειδήσαν|τε, πρὸς ἡτην φόνῳ.
" Τάτω φιλεῖν χρὴ, τώδε χρὴ πάντας σέβειν·
" Τώδ' ἔν θ' ἑορταῖς, ἔν τε πανδήμῳ πόλει
" Τιμᾶν ἄπαν|τας, ἕνεκ' ἀνδρίας χρεών."
Τοιαῦτά τοι νῷ πᾶς τις ἐξερεῖ βροτῶν,
Ζώσαιν θανέσαιν θ', ὥσε μὴ 'κλιπεῖν κλέος.
Ἀλλ', ὦ φίλη, πείσθη|ι, συμπόνει πατρί·
Σύγκαιμ' ἀδελφῷ· πᾶυσον ἐκ κακῶν ἐμέ·
Παῦσον δὲ σαυτὴν, τῦτο γινώσκυσ', ὅτι
" Ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν."
ΧΟΡ. Ἐν τοῖς τοιύτοις ἐσὶν ἡ προμηθία
Καὶ τῷ λέγον|τι, καὶ κλύον|τι σύμμαχος.
ΚΡΥ. Καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
Ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσώζετ' ἂν
Τὴν εὐλάβειαν, ὥσπερ ὐχὶ σώζεται·
Ποῖ γάρ ποτ' ἐμβλέψασα, τοιῦτον θράσος

" Τὼ δὲ βάτην τρῆρωσι πελειάσιν ἴθμαθ'
" ὁμοίαι."

Ib. Ἴδεσθε τώδε τὼ κασιγνήτω] εἰώθασιν οἱ Ἀττικοὶ τὰ τῦ Θηλυκῦ γένες δυϊκὰ ἀρσενικῶς ἐκφέρειν· ἴθεν καὶ παρὰ λογοποιοῖς τὸ χεῖρε μόνον ἐπεκράτησεν. Εὕρηται δὲ παρ' Ἰσοκράτει καὶ ἄλλοις τῶ πόλεε καὶ τοῖν πολέοιν. εὕρηται δὲ ὐ μόνον ἐν τοῖς δυϊκοῖς ἡ αὐτὴ καινοτομία, ἀλλὰ καὶ ἐν τῇ γενικῇ τῶν ἐνικῶν, ὥσπερ τὸ παρ' Εὐριπίδῃ,

" Οὔτ' ἐλπίδος τυ ὔτε δόξης ὁρῶ θάρσος."

φησὶ δήπυ καὶ ὗτος·

" Οὔτε τυ κλύων σάλπιγγος."

καὶ Συνέσιος·

" Ἡ πάντως ἀπὸ μιᾶς γέ τυ συμφορᾶς
" ἀναπεισθέντας."

985, 986. Ὦ—πρὸς ἡτην] ἀντὶ τῦ, αἵτινες πρός ησαν περὶ τῦ φόνυ τῶν ἐχθρῶν.

998. Καὶ πρίν γε φωνεῖν] ἐπειδὴ φορτικὸν ἦν τὴν Χρυσόθεμιν μέμφεσθαι τῇ Ἠλέκτρᾳ ὡς ἀφρόνως βυλευομένῃ (ἔδει γὰρ αἰδῶ καὶ ὑποσολὴν πρὸς αὐτὴν ἔχειν ὡς προγενεσέραν ὖσαν) διὰ τῦτό φησιν, ὦ γυναῖκες, καὶ πρὶν φωνεῖν καὶ λέγειν ἐμὲ αὐτῇ, ὅτι κακῶς καὶ ἀσυνέτως βύλευεται, εἰ ἐτύγχανεν αὕτη φρενῶν ὐ κακῶν, ἀλλὰ καλῶν, ἐσώζετο ἂν τὴν εὐλάβειαν, καὶ τὴν ὀφειλομένην ἐξ ἐμῦ αὐτῇ αἰδῶ καὶ ὑποσολήν· καὶ ἦν ἂν αἰδέσιμος ὕτως· ὥσπερ ὐχὶ σώζεται νῦν ταύτην, ἀφρόνως τοιαῦτα βυλευομένη. Τῦτ' ἔσιν, ὐκ ἔδει ἐμὲ αὐτῇ νυθετεῖν τὰ πρόσηκοντα, ἀλλ' αὐτὴν οἴκοθεν εἰδέναι.

999. Ἐσάζετ' ἂν τὴν εὐλάβειαν] ὐ σάζει (φησὶ) τὴν εὐλάβειαν, ἀλλ' ἔτι θρασεῖα καὶ ῥιψοκίνδυνος.

1001. Τοιῦτον θράσος αὐτή θ' ὁπλίζη] λίαν ἐμφανίλικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι, ὡς

Αὐτή θ' ὁπλίζῃ, κἀμὲ ὑπηρετεῖν καλεῖς;
Οὐκ εἰσορᾷς; γυνὴ μέν, ὠδ' ἀνὴρ ἔφυς·
Σθένεις δ' ἔλαττον τῶν ἐναντίων χεροῖν *.
Δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,
Ἡμῖν δ' ἀπορρεῖ, κἀπὶ μηδὲν ἔρχεται.
Τίς ἂν τοιοῦτον ἄνδρα βουλεύων ἐλεῖν,
Ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
Ὅρα, κακῶς πράσσοντε, μὴ μείζω κακὰ
Κτησώμεθ', εἴτις τόσδ' ἀκούσεται λόγος,
Λύει γὰρ ἡμᾶς ὠδὲν, ὠδ' ἐπωφελεῖ,
Βάξιν καλὴν λαβόντε, δυσκλεῶς θανεῖν.
" Οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
" Χρήζων τις, εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν."
Ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τοπᾶν
Ἡμᾶς τ' ὀλέσθαι, καξερημῶσαι γένος,
Κατάσχες ὀργήν· καὶ τὰ μὲν λελεγμένα
Ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι·
Αὐτὴ δὲ νῦν σχὲς, ἀλλὰ τῷ χρόνῳ ποτὲ,
Σθένουσα μηδὲν, τοῖς κρατοῦσιν εἰκάθειν.
ΧΟΡ. Πείθου· " προνοίας ὠδὲν ἀνθρώποις ἔφυ

* Aldus, χερὶ.

ὡς μηδὲν ἀμυντήριον αὐτὴν ὁπλίζεσθαι, ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν, εἰ μὴ μόνον θράσος.

1004. Σθένεις δ' ἔλαττον] τοῦτο δεύτερον κεφάλαιον.

1005. Δαίμων δὲ] τὸ τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς ὠδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν εἰκὸς, τῆς τύχης μὴ συλλαμβανομένης.

1011. Λύει γὰρ] ὠδὲν, ὧν λέγεις, ἀπαλλάττει καὶ ἐλευθεροῖ ἡμᾶς τοῦ πρότερον πολλαῖς καὶ ποικίλαις περιπεσούσας κολάσεσι καὶ ἀδοξίᾳ μεγίστῃ, εἶτα θανεῖν.

1012. Δυσκλεῶς θανεῖν] ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. Καὶ Ὅμηρος·
" Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν
" ἑλοίμην."

1014. Εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν] ὁ τοῦ θανάτου δεινὸν, ἀλλ' ὅταν ἐπιθυμῶν τις ἀποθανεῖν, ὥστε τὰς παρούσας κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τοῦτο τύχῃ. Τοιαῦτα οὖν πεισόμεθα, ὧν ὁ θάνατος αἱρετώτερος.

1019. Αὐτὴ δὲ νῦν] ἔγωγε, ὠδὲ αὐτὴ μηδὲν σθένουσα λάζε τινὰ γνώσιν κἀν διὰ χρόνου, ὥστε ὑποτάσσεσθαι τοῖς κρατοῦσιν.

1021. Οὐδὲν ἀνθρώποις] ὠδὲν ἄλλο δηλονότι

" Κέρδος λαβεῖν ἄμεινον, ἢ δὲ νῦ σοφῦ."
ΗΛΕ. Ἀπροσδόκητον ἦλθεν εἰρηκας· καλῶς
Δ' ἥδειν σ' ἀπορρίψασαν, ἃ πηγγελλόμην.
Ἀλλ' αὐτοχειρί μοι μόνῃ τε δραστέον
Τὔργον τόδ'· ἐ γὰρ δὴ κένον γ' ἀφήσομεν·
ΧΡΥ. Φεῦ, εἴθ' ὤφελες τοιάδε τὴν γνώμην, πατρὸς
Θνήσκοντος, εἶναι· πᾶν γὰρ ἂν κατειργάσω.
ΗΛΕ. Ἀλλ' ἦν φύσιν γε, τὸν δὲ νῦν ἧσσον τότε.
ΧΡΥ. Ἄσκει τοιαύτη νῦν δι' αἰῶνος μένειν.
ΗΛΕ. Ὡς ἐχὶ συνδράσασα νυθετεῖς τάδε;
ΧΡΥ. " Εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράττειν κακῶς."
ΗΛΕ. Ζηλῶ σε τῦ νῦ, τῆς δὲ δειλίας ςυγῶ.
ΧΡΥ. Ἀνέξομαι κλύουσα, χ' ὥταν εὖ λέγῃς.
ΗΛΕ. Ἀλλ' ἔποτ' ἐξ ἐμοῦ γε μὴ μάθῃς τόδε.
ΧΡΥ. Μακρὸς τὸ κρῖναι ταῦτά χ' ὡ λοιπὸς χρόνος.
ΗΛΕ. Ἄπελθε· σοὶ γὰρ ὠφέλησις ἐκ ἔνι.
ΧΡΥ. Ἔνεςιν, ἀλλὰ σοὶ μάθησις ἐ πάρα.
ΗΛΕ. Ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.

νότι κέρδος κρεῖττον τῆς προμηθείας ὑπῆρξε τοῖς ἀνθρώποις λαβεῖν, ὐδὲ τῦ νῦ τῦ φρονίμου.

1024. Ἃ πηγγελλόμην] ἀντὶ τοῦ ἃ ἐξῆν. Τὸ δὲ παρακαλεῖν, ἀπαγγέλλειν φησίν.

1025. Ἀλλ' αὐτοχειρὶ] ἤγουν, αὐτοχείρως ποιήσω, καὶ μόνη, μὴ παραλαβοῦσα μηδένα σύμμαχον. Ἀγνοοῦντες δέ τινες οὕτω φάσκειν, ἀργὸν τό τε λέγουσιν.

1027. Εἴθ'] εἴθε ὤφελες εἶναι τοιαύτη κατὰ τὴν γνώμην τότε, ὅτε θνήσκοντος τοῦ πατρὸς τοῦ Ἀγαμέμνονος. Πάντα γὰρ ἂν κατειργάσω.

1029. Ἀλλ' ἦν] ἐκ ἔςιν ὡς, ἐκ ἦν, ἀλλ' ἦν μὲν κατὰ τὴν Φύσιν τοιαύτη τότε, κατὰ δὲ τὸν νῦν, ἧττον, τὴν φρόνησιν ἐλάττων.

1030. Ἄσκει] ἄσκει καὶ ἐπιτήδευε μένειν καὶ ὑπάρχειν τοιαύτη κατὰ τὸν νῦν, μέχρι τοῦ σοῦ αἰῶνος. διότι μὴ θέλουσα ποιῆσαι ταῦτα, νυθετεῖς ἐμὲ δηλονότι.

1b. Αἰῶνος] αἰὼν, σημαίνεται τρία· χρόνος ἕτη, τὸ ὅλον διάςημα τοῦ κόσμου, καὶ ἑκάςου τὴν ζωήν.

1032. Εἰκὸς γὰρ ἐγχειροῦντα] εἰκὸς γὰρ τὸν κακῶς ποιεῖν ἐπιχειρέντα, καὶ πάσχειν κακῶς. Τοῦτο δὲ Πινδαρικόν,

" Ἐπηρεάζοντά τι καὶ παθεῖν ἔοικεν."

1034. Χ' ὅταν εὖ λέγῃς] οἷον, ἔςαι καιρὸς ὅτε με εὐφημήσεις· ἤτοι, πειθήσομαι, καὶ ἐπαινέσω σε, ὅταν εὖ λέγῃς.

1036. Λοιπὸς χρόνος] μακρός ἐςιν ὁ ἐπίλοιπος χρόνος, ὅσις ἔνι, εἰς τὸ κρίναι ταῦτα. Ἤγουν, ἡ εὐφημήσεις τὴν βουλὴν, ἣν σοι λέγω ἡ ὄχί.

1037. Ὠφέλησις] ἤγουν, ὐκ ἔκ σοῦ τις ὠφεληθήσεται· ἐ γὰρ δύνασαι ὠφελεῖν τινά. Οὐ γὰρ ἐςί σοι ὠφέλειά τις, ἣν ὠφελήσεις ἄλλο πρὸς ὅπερ ἡ Χρυσόθεμις, ἐμοὶ, φησὶν, ἔςιν ὠφέλεια,

ΧΡΥ. Οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
ΗΛΕ. Ἀλλ' ἔν γ' ἐπίσω, οἵ μ' ἀτιμίας ἄγεις.
ΧΡΥ. Ἀτιμίας μὲν οὔ, προμηθείας δέ σε.
ΗΛΕ. Τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;
ΧΡΥ. Ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσῃ σὺ νῷν.
ΗΛΕ. "Ἡ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν."
ΧΡΥ. Εἴρηκας ὀρθῶς, ᾧ σὺ προσκείσαι κακῷ.
ΗΛΕ. Τί δ'; ἃ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
ΧΡΥ. Ἀλλ' ἔστιν ἔνθα χ' ἡ δίκη βλάβην φέρει.
ΗΛΕ. Τοιοῦτος ἐγὼ ζῆν τοῖς νόμοις ἃ βούλομαι.
ΧΡΥ. Ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ΗΛΕ. Καὶ μὴν ποιήσω γ', ἀδὲν ἐκπλαγεῖσά σε.
ΧΡΥ. Καὶ τοῦτ' ἀληθές, ἀδὲ βουλεύσῃ πάλιν;
ΗΛΕ. "Βουλῆς γὰρ ἀδὲν ἔστιν ἔχθιον κακῆς."

ἀφέλεια, ἀντὶ τῦ γνώσις ὠφελείας· σοὶ δὲ μάθησις ὠφέλεια ἔσται.

1040. Οὐδ' αὖ] Ἤγουν, οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σε ἐγὼ, ἵνα ἐλθοῦσα ἐξείπω ταῦτα τῇ ἐμῇ μητρί.

1b. Ἐχθαίρω] Κυρίως ἔχθρα, τὸ μῖσος. Ἐχθρὸς δὲ παράγεται ἀπὸ τῦ ἔχειν θρῆν, ἤγουν, θύρσον. Ἔχει γὰρ ὅταν ἡ ψυχὴ δι' ὄρεξιν ἀντιλυπήσεως ἔχῃ ταραχὴν καὶ θόρυβον ἐνδον ἐν καρδίᾳ καὶ δακνηρὰν κίνησιν.

1042. Προμηθείας δέ σε] τὸ γὰρ ἀποστρέψαι σὲ ταύτης τῆς γνώμης, φροντισμένη σῦ σοῦ, ἵνα μὴ, Κλυταιμνήστρας μαθοῦσης, κακόν τι πάθῃς.

1043. Τῷ σῷ] Εἰρωνικῶς φησι τῦτο ἡ Ἠλέκτρα πρὸς τὴν Χρυσόθεμιν, ὅτι τὰ ἄδικα συμβουλεύει· ἄλλοι δὲ ἀναγινώσκουσι τῦτο ἐρωτηματικῶς.

1044. Ὅταν γὰρ] Ἡ μὲν Ἠλέκτρα φησὶ τῦτο περὶ αὐτῆς, ὅτι συμβουλεύει τὴν Χρυσόθεμιν τὰ κρείττονα, καὶ ἡ Χρυσόθεμις ἀ πείθεται, ἀλλὰ λέγει ὅτι σφάλλεται ἡ Ἠλέκτρα. Ὅπερ ὁ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς εἴχω, καί φησι, ναὶ, ὀρθῶς εἴρηκας. Διότι ἐγὼ συμβουλεύω σε τὰ κρείττονα, ἵνα ὑπείκῃς τοῖς βασιλεῦσι, καὶ σὺ λέγεις ὅτι σφάλλομαι συμβουλεύειν σε ταῦτα, ἐν τῷ ὅπειν τῦτο κακῷ, σὺ προσκεισαι.

1045. Ἡ δεινὸν] κρεῖττον ἂν ἦν, εἰ ἦν, εὖ λέγοντα. Ἐοίκει γὰρ ἀν καθολικὸν γνωμικὸν· νῦν δ' ἐπειδὴ καὶ ἡ λέγουσα γυνή ἐστι, διὰ τῦτο, καὶ τῦτο θηλυκῶς ἐξηνέχθη. καί ἐστιν ὅπως γνωμικὸν καὶ ἀ γνωμικόν. Διότι μὲν γὰρ ἀκ ἔστι κατὰ παντὸς ἀνθρώπου, ἐκπίπτει τῇ ὀνόματος. Διότι δὲ κατὰ πασῶν ἐστι γυναικῶν, τῦνομα δέχεται.

1050. Ἀλλ' εἰ ποιήσεις ταῦτα] τὸ ταῦτα διπλῶς νοητέον, ἢ ταῦτα, ἃ ἐγὼ λέγω, ὅτω, ἵν τὴν ἐμὴν συμβουλὴν δέξῃ, καὶ ἀποσῇς ταύτης τῆς γνώμης, ἔχω κινδύνω ἐξήξῃ, καὶ ἐμὲ τὴν ταυτά σοι συμβουλεύσαν ἐπαινέσεις τῆς προμηθείας· ἢ ταῦτα, ἃ αὐτὴ βούλει, ὅτω, ἀλλ' εἰ τὸ σὸν θέλημα ποιήσεις, ἐπαινέσεις ἐμέ· τῦτ' ἔστιν, ὅτε δυήσῃ ἐργάσασθαί τι, καὶ περιπεσῦσα κινδυνεύσεις, καὶ τότε μετ' εὐφημίας ἐμοῦ μνημονεύσεις, ὡς ὑποτιθεμένης σοὶ τὰ λυσιτελῆ· εἰ μὲν ὃν εἶπης τὸ δεύτερον, πρὸς τὸ ποιήσω στίζεις.

1052. Καὶ τῦτ'] διπλᾶς· ἢ ὅτι ποιήσεις ἃ ἐγὼ λέγω, ἢ ὅτι ποιήσεις ἃ αὐτὴ βούλει· ἀλλ' οὐδὲ εἰς συμβουλὴν μετὰ ταῦτα καλέσεις με πάλιν ἡ ἀμεταβουλεύτῳ πάλιν.

1053. Βουλῆς] Οὐδαμῶς· καὶ γὰρ βουλῆς κακῆς οὐδὲν ἐστιν ἔχθιον, ἤγουν, μᾶλλον μεμισημένον

ΧΡΥ. Φρονεῖν ἔοικας ὠδὲν, ὧν ἐγὼ λέγω.
ΗΛΕ. Πάλαι δέδοκ]αι ταῦτα, κὐ νεωσί, μοι.
ΧΡΥ. Ἄπειμι τοίνυν· ὅτε γὰρ σὺ τἄμ᾽ ἔπη
Τολμᾷς ἐπαινεῖν, ὅτ᾽ ἐγὼ τὰς σὰς τρόπους.
ΗΛΕ. Ἀλλ᾽ εἶσιθ᾽· ἤ σοι μὴ μεθέψομαί ποτε,
Οὐδ᾽ εἰ σφόδρ᾽ ἱμείρουσα τυγχάνεις· ἐπεὶ
" Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά."
ΧΡΥ. Ἀλλ᾽ εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
Φρονεῖν, φρόνει τοιαῦθ᾽· ὅταν γὰρ ἐν κακοῖς
Ἥδῃ βεβήκῃς, τἄμ᾽ ἐπαινέσεις ἔπη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Τί τὰς ἄνωθεν φρονιμωτάτας
Οἰωνὰς ἐσορώμενοι
Τροφᾶς κηδομένας, ἀφ᾽ ὧν τε
Βλαστῶσιν, ἀφ ὧν τ᾽ ὄνησιν εὔρω-
σι, τάδ᾽ ὐκ * ἐπίσης τελῶμεν;
Ἀλλ᾽ ὑ, τὰν Διὸς ἀρραπὰν

* Aldus, ἐπίσας. recte.

σημένον· ὥστε δηλονότι καλῶς βουλευομένη, ὑ βουλεύσομαι ἑτέρᾳ κακὴν βουλήν.

1055. Πάλαι] Ἀντὶ τοῦ πάλαι ποιῶ, ἤγων, ἐκ μακροῦ, ἐκ πολλοῦ. Καὶ πάλαι ἐποίησα, ἤγων, πρὸ μακροῦ.

1058. Οὔ σει μὴ] τὸ ὑ καὶ μὴ, ἐκ παρελλήλου. Τὸ δὲ μεθέψομαι ἀντὶ τοῦ μεταδιώξω, καὶ πρὸς συμβουλὴν παραλήψομαι.

1062. Ὅταν γὰρ ἐν κακοῖς] παρὰ τὸ Ὁμηρικὸν,

" Ῥηχθὲν δὲ τε νήπιος ἔγνω."

1064. Τί τὰς ἄνωθεν φρονιμωτάτας] τὸ ἄνωθεν ἢ τόπῳ ἢ χρόνῳ ἐςίν. Ἄνωθεν ἐκ φύσεως· ἢ τὰς ἐν τῷ ἀέρι. Οἰκεῖον δὲ τῇ χορῇ ἀγαναιτοῦντι ἐπὶ τῇ Κλυταιμνήςρᾳ τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐςὶ φιλοστοργία. Ἡ δὲ Κλυταιμνήςρα ἄστοργος. Τὸ δὲ ἑξῆς, τί τὰς ἄνωθεν φρονιμωτάτας οἰωνὰς ὁρῶντες καλῶς κηδομένας τῆς τροφῆς ἀφ᾽ ὅτων τι ὐ βλαστῶσι, καὶ ἀφ᾽ ὧν ἂν ὄνησιν εὕρωσι. Ἐπὶ τῶν τέκνων τὰ δύο, ἀφ᾽ ὧν τ᾽ αὐτοὺς βλαστῶσι τὰ τέκνα, ἀφ᾽ ὧν τε καὶ ὄνησιν εὕρωσι. Λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαςάζειν τοῖς πτεροῖς, ἕως ὅτου πτεροφυήσωσι.

1065. Οἰωνὰς] ἤγων, τὰς πελαργούς. Οἵτινες γὰρ γηράσαντας τοὺς πατέρας τρέφουσιν, εἰς ἀμοιβὴν τῆς γεννήσεως καὶ ἀνατροφῆς· ὅθεν καὶ τὸ ἀντιπελάργωσις εἴρηται.

1067. Βλαστῶσιν] Τὸ βλαστῶσι καὶ τὸ εὕρωσιν, ἀντὶ τοῦ ἐβλάστησαν καὶ εὗρον.

1068. Τὰ δ᾽ ὐκ ἐπίσης] καλῶς ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις, καθ᾽ ὧν τὸν λόγον ποιεῖται.

1069. Ἀλλ᾽ ὑ τὰν Διὸς] ὑ χρὴ τὸ μὰ ἐντὸς τοῦ κώλου γράφειν· (περισσὸν γάρ ἐςι) διὸ καὶ ἐξεβλήθη παρ᾽ ἡμῶν· νοεῖν δὲ χρὴ τοῦτο ἔξωθεν

Καὶ τὰν ὑρανίαν Θέμιν,
Δαρὸν γὰρ ἐκ * ἀποίνηοι.
Ὦ χθονία βροτοῖσι φάμα,
Κατά μοι βόασον οἰκτρὰν
Ὅπα τοῖς ἔνερθ' Ἀτρείδας,
Ἀχόρευτα φέρουσ' ὀνείδη.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ὅτι σφίσ' ἤδη τὰ μὲν ἐκ δόμων
Νοσεῖ δή· † τὰ δὲ πρὸς τέκνων,
Διπλῆ φύλοπις ἀκέτ' ἐξι-
σῶται φιλοσίῳ δαίτᾳ.
Πρόδολος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ πατρὸς

* Ald. Turn. ἀπόνητοι. † Aldus, σφίσιν ἤδη.

θει Ἀττικῶς. Οὗτοι γὰρ ὁ μόνον τὸ μὰ λαμβάνουσιν ἔξωθεν, ὡς τὸ ὁ τὰν, ἀλλα καὶ τὸ μὰ τιθέντες, τὸ τῷ θεῷ παραλείπουσιν ὄνομα.

1071. Οὐκ ἀποίνητοι] ἤγουν, ἀτιμώρητοι ἔσονται Κλυταιμνήστρα καὶ Αἴγισθος· ἐσιώπησε δὲ τοῦτο, φοβουμένη διὰ τὸ δεσπότας εἶναι.

1072. Ὦ χθονία βροτοῖσιν] ὁ τὴν ἐπίγειον φησιν, ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην.

1b. Ὦ χθονία] Ὦ φήμη τῶν βροτῶν, καταβόησον ἐν τοῖς καταχθονίοις τοῖς Ἀτρείδαις οἰκτρὰν φωνὴν, τοῖς ὕσιν ἔνερθεν, ἤγουν, κάτω ἐν ᾅδῃ. φέρουσα αὐτοῖς δῆλονότι ὀνείδεα ἀχόρευτα. Τυτέσιν, προξενοῦσα αὐτοῖς τοῖς Ἀτρείδαις διὰ τῆς οἰκτρᾶς φωνῆς, ὀνείδεα λυπηρά, ὅτι τοῖς Ἀτρείδαις αὐτοῖς νοσοῦσι· τὰ μὲν ἐκ δόμων, τὰ δὲ παρὰ τῶν τέκνων. Ἔχει δὲ διπλῆ μάχη· ἤγουν, μητρὸς καὶ θυγατέρων, καὶ θυγατέρων ἐν ἀλλήλαις. Καὶ ἥκετι ἐξισοῦται καὶ ὁμογνωμονεῖ αὖτη ἡ διπλῆ μάχη, φιλοτησίῳ δαίτῃ. Ἡ καὶ ἕτως. Καὶ ἀκέτι ἐξισοῦται καὶ ὁμογνωμονεῖ τὰ τῶν τέκνων ἐν φιλοτησίῳ δαίτῃ.

1073. Κατά μοι βόασον] εἰκότως εἶπε τὸ καλαζόησον, ἐπειδὴ ἐπὶ κατηγορίᾳ Αἰγίσθου καὶ Κλυταιμνήστρας ὁ παρὰ τῆς φήμης πρὸς Ἀγαμέμνονα λόγος γενήσεσθαι ἔμελλεν.

1074. Τοῖς ἔνερθ' Ἀτρείδαις] ἢ Ἀγαμέμνονα, ἢ Ὀρέστην· δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι.

1075. Ἀχόρευτα φέρουσ' ὀνείδη] ἐφ' οἷς οὐκ ἂν τις χορεύσειεν. Ὀνείδη δὲ τὰ αἰνίγματα ὀνείδη, ἐπειδὴ ὄνειδος ἦν τῇ Κλυταιμνήστρᾳ ἐπιχαίρειν Ὀρέστῃ.

1076. Ὅτι σφίσιν ἤδη] ἡ ἀπόστασις πρὸς τὴν Κλυταιμνήστραν. Ἄγγελον ἂν (φησὶν) ὅτι τὰ κατ' οἶκον νενόσηκε, καὶ οὐκ ἔστιν ὑγιῆ.

1078. Οὐκέτ' ἐξισοῦται] ἀκέτι ἴσα φρονοῦσιν, ἀς ἐν φιλίᾳ διαιτώμεναι, ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας.

1080. Πρόδοτος δὲ μόνα σαλεύει] κινδυνεύει. Ἐκ μεταφορᾶς τῶν νηῶν. Μόνη δὲ αὕτη ἐφ' ἑαυτῆς, χωρὶς ἀγκύρας.

1b. Μόνα σαλεύει] τὸ σαλεύειν κυρίως ἐπὶ νεῶς λέγεται, ὅτ' ἐπ' ἀγκύρας κινεῖται καὶ ἀσατεῖ.

1081. Τὸν ἀεὶ πατρὸς] λείπει ἡ περὶ, περὶ τοῦ πατρὸς στενάχουσα. Ὡς τὸ Ὁμηρικὸν,

" Τῶν πάντων ὁ τίσσον ὀδύρομαι, ἀχνύμενός
" περ.
" Ὡς ἐνός."

Δειλαία ϛενάχϖσ', ὅπως
Ἀ ϖανόδυρτος ἀηδὼν,
Οὔτέ τι τῦ θανεῖν ϖρομηθὴς,
Τό, τε μὴ βλέπειν ἑτοίμα
Διδύμαν ἑλῦσ' ἐριννύν.
Τίς ἂν * εὔπαλρις ὧδε βλαϛοῖ;

ΣΤΡΟΦΗ Β.

Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς,
" Εὔκλειαν αἰσχύναι θέλει
" Νώνυμος, ὦ ϖαῖ, ϖαῖ" ὥϛ-
τε καὶ σὺ ϖάγκλαυϛον αἰ-
ῶνα κοινὸν εἵλϖ,
Τὸ μὴ καλὸν καθοπλίσασα
Λύο φέρειν ἑνί γε λόγῳ,
Σοφά τ' ἀρίϛα τε ϖαῖϛ κεκλῆσθαι.

* Aldus, Τίς ἂν ἕν.

Τὸ δὲ ἐξῆς. Ἀεὶ τὸν τῶ ϖατρὸς μόρον ϛενάχϖσα, ἢ τὸν ἀεὶ, εἰς τὸν ἀεὶ χρόνον.

Ib. Τὸν ἀεὶ ϖατρὸς] Θρῆνον δηλαδὴ, ἢ φόνον. Τὸ δὲ ἀεὶ ϖρὸς τὸ ϛενάχϖσα συναπτέον.

1083. Ἀ ϖανόδυρτος] ἦγεν, ἡ ϖάντοτε ὀδυρομένη Ἀηδὼν, τὸν υἱὸν Ἴτυν. Ὠρηνεῖ δὲ αὐτὸν διὰ ϖάσης ἡμέρας καὶ νυκτός.

1084. Οὔτέ τι τῦ θανεῖν ϖρομηθὴς] ϖρόνοιαν ὐκ ἔχϖσα τῦ μὴ ἀποθανεῖν. Ὅ ἐϛιν, ἀφειδῶσα τῆς ἰδίας τύχης, καὶ ῥιψοκινδυνῶσα.

Ib. Τῦ θανεῖν ϖρομηθὴς] ἀντὶ τῦ ϖρεμήθειαν καὶ φροντίδα ἔχϖσα, ἦγεν, ὡ φροντίζουσα εἰ τεθνήξεται. Οἱ δὲ τῦ μὴ θανεῖν γράφοντες, ἀμαθεῖς.

1085. Τό, τε μὴ βλέπειν ἑτοίμα] ἑτοίμη καὶ τῆς ὄψεως ϛέρεσθαι· τυτίζειν, ἀποϛερηθῆναι τῶν ὀμμάτων. Ἀντὶ τῦ, καὶ ἀποθανεῖν ἑτοίμη, καὶ ζῶσα κολάζεσθαι. Καὶ τῦτο λέγει διδύμην ἐριννύν. Ἡ ἐπὶ τῦ θανάτϖ τὰ δύο. Ἑτοίμη μὴ βλέπειν αὐτὰς, ἀλλ' ἐν σκότει γενέσθαι τῦ θανάτϖ. Ἐν τῇ αὐτῇ ἐριννύϊ γενομένη τῷ Ἀγαμέμνονϛ· ὃ ἴϛι διπλῆ ἐριπύς.

1086. Διδύμαν] Αἴγισθον καὶ Κλυταιμνήϛραν.

1087. Τίς ἂν εὔπατρις] οἱ γράφοντες τίς ἂν ἕν, ὐκ ἴσασι τὰ ϖερὶ τῶν μέτρων· διὸ ϖερισσὸν κείμενον ἐξελήλυθε ϖαρ' ἐμῦ τὸ ἕν. Ἔχει δὲ καὶ ϖρὸς τὴν σύνταξιν μᾶλλον ὀρθῶς ὐτωσὶ κείμενον.

1088. Ζῶν κακῶς] τῦτο αἰτία ἐϛὶ τῦ αἰσχύναι τὴν εὔκλειαν.

1089. Αἰσχύναι] Αἰσχύνω ϛε ϖροσφέρουϛα τὰ ἐγκλήματα. Καὶ αἰσχύνω τινὰ, ὅτε αἰσχρὰ ϖοιῶ ἐγώ. Ὁ δὲ συμμετέχει τῆς αἰσχύνης αὐτῶν ὡς ϖατὴρ, ἢ υἱὸς, ἢ συγγενής. Καὶ ἁπλῶς τοιῦτό τι, καθὸ λέγεται ἐνταῦθα, τὸ, εὔκλειαν αἰσχῦναι θέλει. ἦγεν, ὡ θέλω ἀνοίκεια τῆς εὐγενείας ϖοιεῖν, ὡς ἄτιμον γενέσθαι τὴν εὐγένειαν αὐτῦ καὶ ἐλαττῦσθαι.

1090. Ὥϛτε καὶ σὺ] ὥϛε χρὴ γράφειν, ἀντὶ τῦ ὥϛϖερ, ἵν' ἔχῃ τὰ κῶλα ὀρθῶς. Ἀλλὰ καὶ ϖάγκλαυτον. Οὕτω γὰρ οἱ Ἀττικοὶ τὸ τοιαῦτα γράφϖσιν, ἐκβάλλοντες τὸ σ, ὥϛϖερ καὶ τὸ, εὐκτίμενϛ ϖαρ' Ὁμήρῳ.

1092. Εἵλϖ]

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ζώης μοι καθύπερθεν χερὶ,
Πλήτῳ τε, τῶν * ἐχθρῶν, ὅσον
Νῦν ὑπὸ χεῖρα ναίεις.
Ἐπεί σ' ἐφεύρηκα μοί-
ρᾳ μὲν οὐκ ἐπ' ἐσθλᾷ † 1100
Βεβῶσαν· ἃ δὲ μέγις' ἔβλαστε
Νόμιμα, τῶνδε φερομέναν
Ἄρισα τᾷ Ζηνὸς εὐσεβείᾳ.

ΙΑΜΒΟΙ.

ΟΡΕ. Ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν,
Ὀρθῶς δ' ὁδοιπορῦμεν ἔνθα χρῄζομεν; 1105
ΧΟΡ. Τίδ' ἐξερευνᾷς, καὶ τί βεληθεὶς πάρει;
ΟΡΕ. Αἴγισθον ἔνθ' ὤκηκεν ἱστορῶ πάλαι.
ΧΟΡ. Ἀλλ' εὖ γ' ἱκάνεις, χὠ φράσας ἀζήμιος.

* Ald. πέρθε καὶ πλήτῳ τῶν. † Ald. ἐν ἐσθλᾷ.

1092. Εἶλε] ὅταν δὲ ποιῆσῃς μεθ' ὑπαλλαγὴν, τὸ μὲν εἶλε ῥῆμα λαμβάνων ἀντὶ μετοχῆς, ἦγεν, ἑλομένη· τὸ δὲ καθοπλίσασα μετοχὴν, ἀντὶ ῥήματος, ἦγεν καθώπλισας, ποιήσεις ἂν ἀρίζηλον σύνταξιν ἔτως. Ὥσπερ καὶ σὺ, ὦ Σύγατερ, ἑλομένη κοινὸν αἰῶνα πάγκλαυτον, καθώπλισας καὶ ἐνίκησας τὸ μὴ καλόν· ὥςε καὶ φέρειν ἐν ἑνὶ λόγῳ δύο ὀνόματα, καὶ κεκλῆσθαι παῖς ἀρίζηλος καὶ σοφή.

1096. Ζώης μοι] εἴθε ζώης μοι χειρὶ, ἦγεν, ἰσχύϊ καὶ δυνάμει χειρῶν καὶ πλήτῳ, καθύπειθεν καὶ ὑπεράνω τῶν ἐχθρῶν, καθόσον νῦν ναίεις καὶ οἰκεῖς, ὑπὸ χεῖρα καὶ ὑπὸ κάτω εἰς δυλοσύνην τῶν ἐχθρῶν· ἐπεὶ ἐφεύρηκά σε βεβῶσαν καὶ ζῶσαν οὐκ ἐν ἐσθλῇ μοίρᾳ, ἄλλως δὲ φερομένην καὶ ἔχουσαν τῇ εὐσεβείᾳ τῇ Διὸς, ἦγεν, μετὰ τῆς εὐσεβείας τῆ Διὸς, τὰ νόμιμα. Καὶ μᾶλλον, ἅτινα ἀπὸ τῶνδε τῶν νομίμων, ἐβλάστησαν καὶ ὑπάρχουσι μίγιστα καὶ ἄριστα.

1101. Ἃ δὲ μέγις' ἔβλαστε νόμιμα] ἃ δὲ φυσικὰ καὶ μίγιστα νόμιμα ἔβλαστε, τούτων ἀποφερομένην τὰ ἄριστα. Ἡ ἐρις, ἀμφηρίζων τῇ εὐσεβείᾳ τῇ τῦ Διός. Ἡ ἐρις τῇ εὐσεβείᾳ, ᾗ ἄν τις ἐρίσειεν, ἀντὶ τῦ περισπωδάζων φερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα· ἀντὶ τῦ μετὰ εὐσεβείας πράτλεσαν.

1104. Ἆρ', ὦ γυναῖκες] Ὀρέςης πάρεισι σὺν τῷ Πυλάδῃ κομίζων τὰ λείψανα τῶν λογοποιημένων ὀςῶν ἑαυτῦ. Θαυμαςὴ δὲ ἡ οἰκονομία τῦ ποιητῦ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τῦ θανάτυ κομίσαι τὰ λείψανα· ἵνα εὔλογος πρόφασις γένηται τῆς παρόδυ τῷ Ὀρέςῃ, καὶ παρ' αὐτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τῦ πάθυς.

1107. Αἴγισθον ἔνθ'] τινὲς ἀμαθεῖς Αἴγισθος γράφυσι πρὸς τὸ ὤκηκεν, οὐκ εἰδότες ὅτι τοιῦτόν ἐςιν ὥσπερ τὸ, Σὺ δ' ἀνακύση τῦτον ὃς τεθάφται. Καὶ τὸ, Ψύλλαν ὁπόσης ἄλοιτο τὰς αὐτῆς ᾠδας. Καὶ,—οἳ τὸν ὠρανὸν Λέγοντες ἀναπείθυσιν ὡς ἐςιν πνιγεύς. Καὶ, Τὐπίτιπτον κίνδος ἐξέρυ μ' ὅπυ.

1108. Ἀζήμιος] τὸ ἀζήμιος, καὶ ἐπὶ ἐνεργείας καὶ πάθυς, ἦγεν, ὁ μὴ ζημιωθεὶς, καὶ ὁ μὴ

ΟΡΕ. Τίς ἔν ἀν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
Ἡμῶν πυθεινὴν κοινόπτευν παρυσίαν;
ΧΟΡ. Ἥ δ' εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
ΟΡΕ. Ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκεῖς ματεύυσ' ἄνδρες Αἴγισθον τινές.
ΗΛΕ. Οἴμοι τάλαιν' ὡ δή ποθ', ἧς ἠκύσαμεν
Φήμης φερουῖες ἐμφανῆ τεκμήρια;
ΟΡΕ. Οὐκ οἶδα τὴν σὴν κληδόν' ἀλλά μοι γέρων
Ἐφεῖτ' Ὀρέυ Στρόφιος ἀγγεῖλαι πέρι.
ΗΛΕ. Τίδ' ἔσιν, ὦ ξέν'; ὡς μ' ὑπέρχεῖαι φόβος.
ΟΡΕ. Φέρουῖες αὐτοῦ σμικρὰ λείψαν' ἐν βραχεῖ
Τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.
ΗΛΕ. Οἰ ἐγὼ τάλαινα· τοῦτ' ἐκεῖν' ἤδη σαφές·
Πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.
ΟΡΕ. Εἴπερ τι κλαίεις τῶν Ὀρεσίων κακῶν,
Τόδ' ἄγγος ἴσθι σῶμα τἀκείνυ ςέγον.
ΠΛΕ. Ὦ ξεῖνε, δὸς νῦν, πρὸς θεῶν, εἴπερ τόδε
Κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν·
Ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
Ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.

ὃ μὴ ζημιώσας τινά. Ἐνταῦθα γοῦν ἐπὶ ἐνεργείας.

1110. Ποθεινὴν] ἐπόθει γὰρ Κλυταιμνήςρα καὶ τὸν Ὀρέςυ νεκρὸν ἰδεῖν, μὴ μόνον ἀκοῦσαι.

1111. Εἰ τὸν ἄγχιςον] Συγγενῆ καὶ ἀδελφὸν δηλονότι. Τυτέςιν, εἰ τὸν θάνατον τῷ συγγόνυ αὐτῆς, ἵνα χρεὼν κηρύσσειν καὶ μηνύειν.

1113. Ματεύυσ'] μαςεύω, τὸ ζητῶ καὶ σκοπῶ. Καὶ ματεύω ἐνταῦθα χωρὶς τοῦ σ διὰ τὸ μέτρον, ἵνα ᾖ ὁ δεύτερος πὺς ἴαμβος.

1114. Οὐ δή ποθ' ἧς ἠκύσαμεν] ἐπειδὴ τὸ μὴ, ὃ μόνον ἀντὶ τοῦ ὃ, ἀλλὰ καὶ ἐρωτηματικὸν ἀντὶ τοῦ ἆρα εὕρηται, διὰ τοῦτο καὶ τὸ ὃ, ὃ μόνον ἀρνητικόν ἐςιν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἆρα. Καὶ τοῦτο μὲν πάντες. σὺ δὲ τὸ ὃ ἀρνητικὸν λέγων, ἐπειδὴ κατ' ἐρώτησιν πράγμα, τὸ αὐτὸ ποιήσεις ὥσπερ ἂν εἰ ἆρα ἦν. τοῦτο γὰρ κἀντεῦθεν συνάγεται ὅπερ ἐκ τοῦ ἆρα.

1119. Φέροντες κομίζομεν] τὸ φέρειν ἐνταῦθα, τὸ ἁπλῶς βαςάζειν δηλοῖ. Τὸ δὲ κομίζειν, τὸ ἀπεςαλμένον διασώζειν.

1123. Κακῶν] τῶν αυμβεβηκότων τῷ Ὀρέςῃ. Ἀπὸ τῶν τοῦ Ὀρέςυ κακῶν, ἤγυν, ἀφ' ὧν κακῶν ἔπαθεν ὁ Ὀρέςης.

1125. Εἴπερ] ἤγυν, εἴπερ τόδε τὸ ἀγγεῖον κρύπλει αὐτὸν, δός μοι νῦν πρὸς θεῶν, ὥςε τὸ λαβεῖν εἰς χεῖρας.

1129. Δύ-

ΟΡΕ. Δόθ', ἥτις ἐσὶ, προσφέρουσες· ἐ γὰρ ὡς
Ἐν δυσμενείᾳ γ' ἔσ' ἐπαιλεῖται τόδε *· 1130
Ἀλλ' ἢ φίλων τὶς, ἢ πρὸς αἵματος φύσιν.
ΗΛΕ. Ὦ φιλτάτε μνημεῖον ἀνθρώπων ἐμοὶ,
Ψυχῆς Ὀρέσε λοιπόν· ὡς ἀπ' ἐλπίδων,
Οὐχ ὥνπερ ἐξέπεμπον, εἰσεδεξάμην.
Νῦν μὲν γὰρ ἐδὲν ὄντα βασάζω χεροῖν· 1135
Δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
Ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
Πρὶν ἐς ξένην σὲ γαῖαν ἐκπέμψαι χεροῖν
Κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνε·
Ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ, 1140
Τύμβε παλρῴε κοινὸν εἰληχὼς μέρος.
Νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγὰς,

* Aldus, τάδε. rectè.

1129. Δόθ' ἥτις ἐσὶ] εἰκὸς αὐτοῖς ἕπεσθαί τινας. Περιπαθῶς δὲ λίαν τὸ, ἥτις ἐσί.

1131. Ἀλλ' ἢ φίλων] ἤγουν, ἢ ἀπὸ τῶν φίλων ὅσά τις αἰτεῖται ταῦτ', ἢ κατὰ γενιὰν πρὸς γένος.

1132. Ὦ φιλτάτε] Ἐρῶνος Ἠλέκτρας ἐπὶ τῷ ἀδελφῷ.

Ib. Ὦ φιλτάτε] ἐνταῦθα λαβοῦσα τὸ ἀγγεῖον ἡ Ἠλέκτρα, καὶ ὀδυρομένη λέγει ταῦτα· Ὦ μνημεῖον καὶ ὑπόμνημα ὑπόλοιπον τῆς ψυχῆς τῷ Ὀρέσῃ, τῷ φιλτάτῳ ἐμοὶ ἀπὸ πάντων τῶν ἀνθρώπων, ἐγὼ εἰσεδεξάμην σὲ δηλονότι, λίαν ἀπο καὶ μακρὰν τῶν ἐλπίδων, ἃς ἤλπιζον δηλονότι, καὶ οὐχ ὥσπερ ἐξέπεμπον.

1133. Ὡς ἀπ' ἐλπίδων] ὄντως ἀπ' ἐλπίδων εἰσεδεξάμην σὲ, δηλονότι ὐκ ἐκείνων ὥνπερ ἐξέπεμπον, ἀλλὰ κακῶν· ἐκεῖναι μὲν γὰρ καλαὶ ἦσαν καὶ σωτηρίαν ἐμοὶ ἔχουσαι· αὗται δὲ (λέγω γὰρ ἃς ὁ ἄγγελος ὑπέσχετο. ὡς μετ' ὀλίγον ἂν σε νεκρὸν δεξαίμην) καθάπαξ ἀπώλεσάν με. Δίον δ' εἰπεῖν, αἴσπερ ἐξέπεμπον, πρὸς τὸ ἐλπίδων ἔτρεψεν.

1134. Εἰσεδεξάμην] δέχομαι ἁπλῶς τὸν ἐρχόμενον εἰς ἐμέ. εἰσδέχομαι δ' ἐπὶ οἰκίας, καὶ λιμένος, ἢ τοιούτω τινὸς, ὃ δὴ καὶ λαμβάνω λέγεται. Λέγεται δὲ τὸ λαμβάνειν, ποτὲ μὲν, ὅταν ἀπὸ σῦ ἄκοντος τὶ λάβω ποτὲ δ' ὅταν ἑκόντος σῦ λάβω.

1135. Νῦν μὲν γὰρ ἐδὲν ὄντα] ἤγουν, νεκρὸν καὶ ἄψυχον, καὶ σκιὰν, σὲ βασάζω χεροῖν. Ὦ παῖ, ἐγὼ κλέψασά σε χεροῖν ταῖνδε, καὶ ἀνασώσασα ἀπὸ τῦ φόνυ, ἐξέπεμψα λαμπρὸν ἐκ τῶν δόμων. Ἀλλ' εἰθ' ὤφελες ἐκλιπεῖν πάροιθεν τὴν ζωὴν, πρὸ τῦ ἐκπέμψαί σε ἐς ξένην γαῖαν· ὅπως θανὼν ἔκεισο τῇ τότε ἡμέρᾳ, κλήρυχος μέρος τῦ πατρικῦ τύμβυ.

1138. Πρὶν ἐς ξένην σὲ] πρὸ τῦ ἐκπέμψαί σε εἰς ξένην γῆν, ἤγουν, ἀλλοτρίαν, καὶ σῶσαι, ἤγουν, φυλάξαι, καὶ ῥύξασθαί σε ἀπὸ τῦ φόνυ, ὤφελον θανεῖν. Τινὲς δὲ, ἀπὸ τῦ ὅπως θανὼν ἔκεισο, ἀπατώμενοι, ὤφελες γράφυσι, καὶ κλέψασαν, τὸ ἐκλιπεῖν βίον πρὸς τὸν Ὀρέσην νοῦντες. Τὸ δ' ὐ τοιῦτον, ἀλλὰ λέγει ἡ Ἠλέκτρα, εἰθ' ὤφελον πρόσθεν θανεῖν, ἢ εἰς ἀλλοτρίαν ἐκπέμψαι σὲ γῆν. Εἰ γὰρ ἐγὼ πρότερον ἐτεθνήκειν, ὐδεὶς ἂν σε τῶν Κλυταιμνήσης ἐξεῖλε χειρῶν· ὥςε ἀπόλωλας ἂν ἐξ ἐκείνε τότε ὥσπερ ὁ πατὴρ, καὶ συντάφης αὐτῷ.

1143. Σῆς κασιγνήτης δίχα] οἷον, τῆς μόνης σε καδομένης. Ὅλα δὲ ἐπιτείνεται τῷ πάθει

h 2

Κακῶς ἀπώλε, σῆς κασιγνήτης δίχα.
Κἄτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
Λυτροῖς ἐκόσμησ', ὅτε πλαμφλέκ]ε πυρὸς
Ἀνειλόμην, ὡς εἰκὸς, ἄθλιον βάρος.
Ἀλλ' ἐν ξένῃσι χερσὶ κηδευθεὶς τάλας,
Σμικρὸς πρυσηκεις ὄγκος ἐν σμικρῷ κύτει.
Οἴμοι τάλαινα, τῆς ἐμῆς πάλαι τροφῆς
Ἀνωφελήτε, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
Πόνῳ γλυκεῖ παρέσχον· ἄτε γάρ πο]ε
Μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμὲ φίλος,
Οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·
Ἐγὼ δ' ἀδελφὴ σὴ προσηυδώμην ἀεί.
Νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
Θανόν]α σὺν σοί· πάντα γὰρ συναρπάσας,
Θύελλ' ὅπως, βέβηκας· οἴχ]αι πατήρ·
Τέθνηκ' ἐγώ σοι· φρὲδος αὐτὸς εἶ θανών.
Γελῶσι δ' ἐχθροί· μαίν]αι δ' ὑφ' ἡδονῆς
Μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
Φήμας λάθρα πρὲπεμπες ὡς φανέμενος

διὰ τὸ παρεῖναι τὸν Ὀρέσην. Ὡς καὶ Πηνελόπη παρόντα Ὀδυσσέα θρηνεῖ πας' Ὁμήρῳ. Ἐν οἷς φησι,

" Σὸν ἄνδρα παρήμενον."

Ἐνθάδε δὲ δίκαιον δηλῶσθαι, ὅτι ἀδελφὴ αὐτῆ ἐστιν, ἡ ἐν τῷ λόγῳ. Ἀγνοῶν γὰρ αὐτὴν Ὀρέσης, ἀπολοφυρομένην γνώσεται.

1148. Σμικρὸς προσήκεις] ἐνταῦθα ἀντὶ τοῦ προσέχει, ἐπεὶ καὶ τὸ προσήκει ἀντὶ τοῦ πρέπει, τοῦτο λέγει ὡς πρὸς τῷ πράγματι τῷδ' ἥκει καὶ ἔρχεται, τοῦτ' ἔστι, συμβαίνει καὶ ὁμοῦ γίνεται, ὥστε τὸ συμβαῖνόν τινι, πρέπει καὶ ἁρμόζει ἐκείνῳ, καὶ διὰ τοῦτο συμβαίνει.

1149. Τροφῆς] ἤ, ἕνεκα τῆς ἐμῆς τροφῆς, ἣν, ἧς ἔτρεφον σὲ ἐγὼ πάλαι· τυτέσι, πρὸ μακρῦ.

1150. Ἀνωφελήτε] ματαίας· ἐπ' ὠδεμιᾷ γὰρ ὠφελείᾳ ταύτην ἐποίησα· ἦγον, ὠδεμιᾶς ὠφελείας ἀπηλαυσα πας' αὐτῆς.

1151. Οὔτε γάρ ποτε] ὁ γὰρ (φησὶ) τῆς μητρὸς ποτὲ, ἢ καὶ ἐμοῦ μᾶλλον· ἵνα ἐπὶ τοῦ ἦσθα διαστείλωμεν· οὐκ ἦσθα τῆς μητρὸς, ἀλλὰ μᾶλλον καὶ ἐμοῦ. Οἷον, ἐγώ σοι μᾶλλον ἦμην μήτηρ, ἤπερ ἡ Κλυταιμνήστρα. Τὸ δὲ φίλος, ἀντὶ τοῦ ὄφελος. Ἄλλως· οὐκ ἦς τῆς μητρὸς φίλος μᾶλλον ἢ ἐμοῦ· ἀντὶ τοῦ, ὁ τῇ μητρὶ προσέκεισο μᾶλλον. Ἄμεινον δὲ τὸ ἕτερον, διὰ τὴν ἡλικίαν τοῦ Ὀρέσου, ἐφ' ᾗ τὸ φίλον εἶναι αὐτὸν, καὶ διακρίνειν τινὰ τύτε, οὐκ ἐνεχώρει· μικρὸς γὰρ ἦν.

1152. Φίλος] φίλος λέγεται τὶς τινὸς, ἢ ὅτι φιλεῖ αὐτὸν, καθὸ λέγεται ἐνταῦθα· ἢ ὅτι φιλεῖται ὑπ' αὐτοῦ. Καὶ ἀμφότερα δηλοῖ ὁ λέξις.

Τιμωρὸς αὐτὸς· ἀλλὰ τῆθ' ὁ δυστυχὴς
Δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
Ὅς σ' ὧδέ μοι πρὸπεμψεν ἀντὶ φιλτάτης
Μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
Οἴμοι, οἴμοι.
Ὦ δέμας οἰκτρόν· φεῦ, φεῦ.
Ὦ δεινοπάτας, οἴμοι, οἴμοι,
Πεμφθεὶς κελεύθους, φίλταθ', ὡς μ' ἀπώλεσας!
Ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα·
Τοιγὰρ, σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε ςέγος,
Τὴν μηδὲν εἰς τὸ μηδὲν, ὡς σὺν σοὶ κάτω
Ναίω τολοιπόν· καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω
Ξὺν τοὶ μετεῖχον τῶν ἴσων· καὶ νῦν πρόθῳ
Τὲ σὲ θανοῦσα μὴ 'πολείπεσθαι τάφε.
" Τὲς γὰρ θανόντας ὀχ ὁρῶ λυπεμένες."
ΧΟΡ. Θνητὲ πέφυκας πατρὸς, Ἠλέκτρα, φρόνει·
Θνητὸς δ' Ὀρέςης· ὥςε μὴ λίαν ςένε.
" Πᾶσιν γὰρ ἡμῖν τῦτ' ὀφείλεται παθεῖν."
ΟΡΕ. Φεῦ, φεῦ· τί λέξω; ποῖ λόγων ἀμηχάνων
Ἔλθω; κρατεῖν γὰρ ὐκέτι γλώσσης σθένω.
ΗΛΕ. Τίδ' ἔσχες ἄλγος; πρὸς τί τῦτ' εἰπὼν κυρεῖς;
ΟΡΕ. Ἡ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ΗΛΕ. Τόδ' ἔς' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.

ξις. Ὡς ἐν τύτοις· μὴ πταίων, φίλος εἶ θνητῆς. Φίλος εἶ μακάρεσσιν· ἂν πταίσῃς, ὐδεὶς ἔτι σοὶ φίλος. Ἥκων, ὐδεὶς ἔτι σοὶ φιλίως διάκειται πρὸς σε.

1168. Ὦ δεινοτάτας] τινὲς δὲ δυνάμενοι συντάξαι τὴν γενικὴν, δεινοτάτας κελεύθυς φασὶν, ὧς αὐτὸς ἔφασας, ἵνα νόει ἃς κεῖται, εἰ καὶ λεπτὸν ὂν ἐκφεύγει τὸν νῦν, ὦ φίλταλε, λίαν ἀπωλεσάς με πεμφθεὶς δεινοτάτης κελεύθυ, τῦτ' ἔςι τὸ πεμφθῆναί σε καλὴ κἀγαθὸς, καὶ λύπας καὶ ὀδυρμὺς ἐμοὶ διὰ τὸν σὸν προξενήσασα θάνατον. Νόει δὲ τὸ πεμφθεὶς διπλῶν, ἢ ἀπὸ τῆς Φωκίδος πρὸς τὴν οἰκίαν πεμφθεὶς ἥκεις, ἢ ἀπὸ τῆς οἰκίας πρὸς τὴν Φωκίδα ἀπ' Ἠλέκτρας πεμφθείς.

1183. Ἡ σὸν] ἆρα σῦ τῆς Ἠλέκτρας, ἐςὶ τόδε τὸ κλεινὸν, ἤγυν, τὸ ἔνδοξον εἶδος. περιφραςικῶς, ἀντὶ τῦ, ἆρα σὺ εἶ ὁ ἔνδοξος Ἠλέκτρα.

1184. Τὸ δ' ἐς' ἐκεῖνο] τῦτο δύναται μὲν καὶ

ΟΡΕ. Οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς!
ΗΛΕ. Τί δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ γένεις σάδε;
ΟΡΕ. Ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον!
ΗΛΕ. Οὗτοι πότ' ἄλλην ἢ 'μὲ δυσφημεῖς, ξένε.
ΟΡΕ. Φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς!
ΗΛΕ. Τί δή ποτ', ὦ ξεν', ὧδ' ἐπισκοπῶν γένεις;
ΟΡΕ. Ὡς οὐκ ἄρ' ἤδειν τῶν ἐμῶν οὐδὲν κακῶν.
ΗΛΕ. Ἐν τῷ δείγνως τοῦτο τῶν εἰρημένων;
ΟΡΕ. Ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσι.
ΗΛΕ. Καὶ μὴν ὁρᾷς γε πλεῖστα τῶν ἐμῶν κακῶν.
ΟΡΕ. Καὶ πῶς γένοιτ' ἂν τῶνδέ τ' ἐχθίω βλέπειν;
ΗΛΕ. Ὅθ' ἕνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ΟΡΕ. Τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
ΗΛΕ. Τοῖς πατρὸς, εἶτα τοῖσδε δουλεύω βίᾳ.
ΟΡΕ. Τίς γὰρ σ' * ἀνάγκη τῆδε προτρέπει βροτῶν;
ΗΛΕ. Μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ.
ΟΡΕ. Τί δρῶσα; πότερα χερσὶν, ἢ λύμῃ βίᾳ;
ΗΛΕ. Καὶ χερσὶ, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.
ΟΡΕ. Οὐδ' οὐπαρήξων, ἔνθ' ὁ κωλύσων πάρα;
ΗΛΕ. Οὐ δῆθ· ὃς ἦν γάρ μοι, σὺ πρόθηκας σποδόν.
ΟΡΕ. Ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι!
ΗΛΕ. Μόνος βροτῶν, νῦν ἴσθ', ἐποικτείρας ποτέ.

* Aldus, ἀνάγκη. rectè.

καὶ ἡ Ἠλέκτρα λέγειν· εὐπρεπέστερον δὲ τῷ χορῷ περίκειται, ἵνα μὴ περὶ τῆ ἑαυτῆς εἴδες εἴπῃ τι. Θαυμασῶς δὲ τὴν μὲν Κλυταιμνήστραν ἀπὸ τῆ λαμπρῆ σχήματος ὁ ἄγγελος ἐγνώρισεν· ὗτος δὲ ὐ γινώσκει τὴν Ἠλέκτραν, διὰ τὸ κεκακῶσθαι τὸ σῶμα.

1186. Στένεις τάδε] στενάζεις τούτους τοὺς στεναγμούς.

1188. Δυσφημεῖς] ἐλεεινολογῇ, σχεδιάζεις.

1191. Ὡς οὐκ ἄρ' ἤδειν] τινὲς φασι τὸ ὡς ἀντὶ τῆ ὅτι, ἵν' ᾖ πρὸς τὸν ἄνω τῆς Ἠλέκτρας λόγον. Ἄλλοι δέ φασι κομματικὸν τὸ ὡς ἀντὶ τῆ ὄντως νοοῦντες· ὃ καὶ κρεῖττον.

1193. Ἐμπρέπουσαν] διατρέπει ἀντὶ τῆ λάμπει. Ἐμπρέπει δὲ τίς τινὶ, ἀντὶ τῆ, περιφανὴς ἐστιν ἐν ἐκείνῳ.

1196. Ὅθ' ἕνεκ' εἰμὶ] τοῦτ' ἐστιν ἔχθιστ, ὅτι εἰμὶ τοῖς φονεῦσι σύντροφος, ἤγουν, συνδιαιτωμένη.

1206. Νῦν ἴσθ'] νῦν γίνωσκε, ὅτι σὺ μόνος ὑπάρχεις ἀπὸ τῶν βροτῶν, ὁ ἐποικτίραν ἐμέ.

1212. Μὴ

ΟΡΕ. Μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.
ΗΛΕ. Οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
ΟΡΕ. Ἐγὼ φράσαιμ' ἂν, εἰ τὸ τῶνδ' εὔνιν πάρα.
ΗΛΕ. Ἀλλ' ἔσιν εὔνιν· ὥσε πρὸς πιστὰς ἐρεῖς. 1210
ΟΡΕ. Μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ΗΛΕ. Μὴ δῆτα, πρὸς θεῶν, τοῦτό μ' ἐργάσῃ, ξένε.
ΟΡΕ. Πείθε λέγοντι, κὐχ ἁμαρτήσῃ ποτέ.
ΗΛΕ. Μὴ, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
ΟΡΕ. Οὔ φημ' ἐάσειν. 1215
ΗΛΕ. Ὦ τάλαιν' ἐγὼ σέθεν,
Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
ΟΡΕ. Εὔφημα φώνει· πρὸς δίκης γὰρ οὐ στένεις.
ΗΛΕ. Πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
ΟΡΕ. Οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν. 1220
ΗΛΕ. Οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ΟΡΕ. Ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν.
ΗΛΕ. Εἴπερ γ' Ὀρέστου σῶμα βασάζω τόδε.
ΟΡΕ. Ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
ΗΛΕ. Πῦ δ' ἔς' ἐκείνου τοῦ ταλαιπώρου τάφος; 1225

1212. Μὴ δῆτα] Ὦ ξένε, πρὸς θεῶν, μὴ δῆτα ἐργάσῃ τοῦτο πρὸς ἐμέ. Ἦγον, εἰς ἐμέ. Τουτέστιν, μὴ ἕλῃς ἐκ τῶν χειρῶν μοῦ τὸ ἄγγος.

1216. Ὦ τάλαιν' ἐγὼ σέθεν] τὸ σέθεν πρὸς τὸ, ὦ τάλαινα, ἔξωθεν λαμβανομένου τοῦ ἕνεκα. τὸ δὲ, τῆς σῆς εἰ στερήσομαι ταφῆς, ἅπερ ἐρμηνεία ἐστὶ τοῦ τάλαιν' ἐγὼ σέθεν.

1218. Πρὸς δίκης] ἀντὶ τοῦ, μετὰ δικαιοσύνης.

1220. Τήνδε φάτιν] ἀντὶ τοῦ, τὸν λόγον.

1221. Οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος] ὥστε μήτε ὀνομάζειν αὐτὸν, δηλονότι.

1222. Ἄτιμος] ἦγουν, οὐδενὸς ἀγαθοῦ σὺ ὑπάρχεις ἀναξία· τοῦτο δὲ τὸ ἀγχεῖον, οὐχὶ σόν ἐστιν, ἀλλ' ἐμὸν δηλονότι. Πῶς οὖν ἔστιν ἐμὸν, εἴπερ γε βασάζω τόδε τὸ σῶμα τοῦ Ὀρέστου. ἦγουν, εἴπερ γε τόδε, ὃ βασάζω, ἐστὶ τὸ σῶμα τοῦ Ὀρέστου.

1224. Πλὴν λόγῳ γ' ἠσκημένον] ὅτι τέθνηκεν ὁ Ὀρέστης οὐ μόνον ἔργῳ, ἀλλὰ καὶ λόγῳ. ἔργῳ μὲν, ὅτι τὸ ἄγγος τὴν αὐτοῦ φέρει κόνιν· λόγῳ δ', ὅτι ἐν Δελφοῖς ἀγωνιζόμενος τέθνηκε. Σύνταξον δ' οὕτως, ἀλλὰ οὐ τὸ Ὀρέστου σῶμα' ἐστὶ τόδ', ὡς σὺ φῄς. Πλὴν εἰ μὴ καὶ ἠσκημένον ἐν λόγῳ, οὐ μόνον ἔργῳ, δηλονότι.

1225. Τάφος] ἦγουν, τὸ ἀγγεῖον, ὁ περιέχει τὰ λείψανα τοῦ Ὀρέστου· τάφος γίνεται ἀπὸ τοῦ τητῶ, ὃ δηλοῖ τὸ στερίσκω, καὶ τοῦ φῶς. Ἦγουν ὁ τόπος ὁ ἐσκηνημένος φωτὸς, τουτέστιν, σκοτεινός. Ἢ ἔνθα οἱ στερηθέντες τοῦ φωτὸς κεῖνται. Ἢ ἀπὸ τοῦ τύφω, ὃ δηλοῖ τὸ καίω· ὅτι οἱ παλαιοὶ ἐν αὐτῷ, ὡς ἐν θυσιαστηρίῳ, κατέκαιον

ΟΡΕ. Οὐκ ἔστ· " τῦ γὰρ ζῶντος ὐκ ἔστ ταφος."
ΗΛΕ. Πῶς εἶπας, ὦ παῖ;
ΟΡΕ. Ψεῦδος ὐδὲν ὧν λέγω.
ΗΛΕ. Ἡ ζῇ γὰρ ἀνήρ;
ΟΡΕ. Εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛΕ. Ἡ γὰρ συ κεῖνος;
ΟΡΕ. Τήνδε προσβλέψασά μυ
Σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.
ΗΛΕ. Ὦ φίλταλον φῶς.
ΟΡΕ. Φίλταλον, συμμαρτυρῶ.
ΗΛΕ. Ὦ φθέγμ', ἀφίκυ;
ΟΡΕ. Μηκέτ' ἄλλοθεν πύθῃ.
ΗΛΕ. Ἔχω σὲ χερσίν;
ΟΡΕ. Ὡς τὰ λοιπ' ἔχοις ἀεί.
ΗΛΕ. Ὦ φίλ: αἱαι γυναῖκες, ὦ πολίτιδες,
Ὁρᾶτ' Ὀρέσην τονδε μηχαναῖσι μὲν
Θανόνλα, νῦν δὲ μηχαναῖς σεσωσμένον;
ΧΟΡ. Ὁρῶμεν, ὦ παῖ, καὶπὶ συμφοραῖσί μοι
Γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.

τίκαιον τὰ τῶν τεθνεώτων σώματα, καὶ τὸ παρειλειφθὲν κατεχώνυον.

1227. Πῶς εἶπας] τὰ δύο κῶλα ἀντὶ ἑνός.

1233. Σφραγῖδα πατρὸς] τὸν ἐξ ἐλέφαντος ἄμον, ὃν οἱ ἐκ Πέλοπος καταγόμενοι εἶχον· ἕτεροι δέ φασι τὸ σφαγῖδα ἀντὶ τῦ δακτύλιον.

1236. Ὦ φθέγμ', ἀφίκυ] λείπει φίλταλον.

1239. Ἔχεις] Ναὶ ἔχεις με, ὥσπερ ἔχεις καὶ τὰ λοιπὰ ἀγαθὰ ἀπ' ἐντεῦθεν εἰς τὸ ἑξῆς.

1242. Νῦν δὲ μηχαναῖς] ὑνομένον τῦτο φιλῦται σαφέστερον, οἷον, διὰ μηχανῆς καὶ ἀποθανεῖν δόξαντα καὶ ζῶντα. Διηρημένον δὲ, τὸ μὲν διὰ μηχανῶν δόξαντα ἀποθανεῖν, δοκεῖ λόγον ἔχειν, ὐ μὴ καὶ τὸ διὰ μηχανῶν σεσωσμένον.

1243. Καὶπὶ συμφοραῖσί μοι] συμφορὰ ὐ μόνον ἐπὶ δυστυχίας, ἀλλὰ καὶ ἐπὶ συμπλοκῆς ἁπλῶς λαμβάνεται, ὡς καὶνταῦθα. Ἰσέον δ', ὅτι ὅτε τις τὸν αὐτῦ πολὺν χρόνον ἀπολημμῦντα μόλις θάσαιτο, δακρύοις καὶ χαρᾷ κάτοχος γίνεται· τοῖς μὲν, διὰ τὴν πρόσθεν ἀπυσίαν· χαρᾷ δὲ, διὰ τὴν παροῦσαν ἀπόλαυσιν.

1244. Δάκρυον] ἀπὸ τῦ δάκνω καὶ τὸ βάκ· δακνομένης γὰρ τῆς ψυχῆς, ὄγκυ, λυπυμένης καὶ θλιβομένης, ῥέει τὸ δάκρυον.

1248. Εἰδὼ

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΗΛΕ. Ἰὼ γοναὶ, γοναὶ σω-
μάτω ἐμοὶ φιλτάτων,
Ἐμόλετ' ἀρτίως·
Ἐφεύρετ', ἤλθετ', εἴδεθ' ὃς ἐχρῄζετε.

ΣΥΣΤΗΜΑ Α.

ΟΡΕ. Πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε,
ΗΛΕ. Τίδ' ἐσίν;
ΟΡΕ. Σιγᾶν ἄμεινον, μήτις ἔνδοθεν κλύῃ.

ΣΤΡΟΦΗ Β.

ΗΛΕ. Ἀλλ' ἃ τὰν Ἄρτεμιν
Τὰν αἰὲν ἀδμήταν,
Τόδε μὲν ὄπoτ' ἀξιώσω τρέσαι,
Περισσὸν ἄχθος ἔνδον
Γυναικῶν ὂν ἀεί.

ΣΥΣΤΗΜΑ Β.

ΟΡΕ. Ὅρα γὲ μὲν δὴ, κἂν γυναιξὶν ὡς Ἄρης
Ἔνεσιν· εὖ δ' ἔξοιφθά πειραθεῖσά πω.

ΣΤΡΟΦΗ Γ.

ΗΛΕ. Ὀτοτοῖ·

1248. Εἴδεθ' ὃς ἐχρῄζετε] ἀντὶ τοῦ ἐμέ.

1249. Σῖγ' ἔχουσα πρόσμενε] ἀντὶ τοῦ σῖγα, ἕως ἂν κατὰ νῶν ἀποζῇ τὸ πᾶν.

1250. Τίδ' ἐσίν] παράκειται ἑκάστῳ τὸ οἰκεῖον. Ἡ μὲν γὰρ, γυνή τε οὖσα, καὶ παρὰ προσδοκίαν εὐτυχοῦσα, θρασυτέρα ἐσίν· ὁ δὲ, ἧττον ἀσφαλὴς, διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ.

1254. Τόδε μὲν] τὸ τόδε πρὸς τὸ περισσὸν ὂν ἄχθος, σύναπλε· ἢ πρὸς τὸ τρέσαι ὑποσίξας, λέγε ἕως, ὄπoτ' ἀξιώσω τρέσαι τόδε, τὸ μήτις ἔνδον κλύῃ, περισσῷ ἄχθει γυναικῶν ὄντες ἔνδον· εἰώθαμεν γὰρ τὰς ἀρχὰς καὶ μὴ ἐπί τι χρησίμως, ἄχθος καλεῖν γῆς.

1257. Ὅρα γὲ μὲν δὴ] ἐπὶ τὴν Κλυταιμνήσραν τείνων, φησὶν ὅτι τὸν Ἀγαμέμνονα ἀνεῖλεν.

1259. Ὀτοτοῖ] ἐπείπερ ὑπέμνησεν αὐτὴν τῆς τοῦ πατρὸς ἀναιρέσεως διὰ τῶν προειρημένων δύο σίχων, φησὶν ὅτι ἐνέζαλές μοι κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον, ἀσκίαρον. Ὡς εἰ ἔφη, διάδηλον κακὸν, ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον.

1260. Ἀνέφελον]

Ἀνέφελον ἐπέβαλες,
Οὔποθ' ὑπὸ νεφέλης καλυπτόμενον,
Οὐδέποθ' λησόμενον,
Ἀμέτερον οἷον ἔφυ κακόν.

ΣΥΣΤΗΜΑ Γ.

ΟΡΕ. Ἔξοιδα καὶ ταῦτ'· ἀλλ' ὅταν παρῇ σία
Φράζῃ, τότ' ἔργον τῶνδε μεμνῆσθαι χρεών.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΗΛΕ. Ὁ πᾶς ἐμοὶ, ὁ πᾶς ἂν
Πρέποι παρὼν ἐννέπειν
Τάδε δίκᾳ χρόνος·
Μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

ΑΝΤΙΣΥΣΤΗΜΑ Α.

ΟΡΕ. Ξύμφημι κἀγώ· τοιγαρῦν σώζε τόδε.
ΗΛΕ. Τί δρῶσα;
ΟΡΕ. Οὗ μή 'σι καιρὸς, μὴ μακρὰν βέλε λέγειν.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΗΛΕ. Τίς δῆτ' ἂν ἀξίαν
Σὲ μοι φανέντος νῦν

1260. Ἀνέφελον] ἦγον, διάδηλον καὶ μὴ ὑπὸ νεφέλης καλυπτόμενον· εἴρηται δ' ἐκ μεταφορᾶς τῆ ἡλίε μὴ δυναμένε ὑπὸ νεφῶν κεκαλύφθαι.

Ib. Ἐπέβαλες] ἐπιβάλλω τὸ ἐπιτυχῶς σοχάσομαι· ἐνταῦθα δ' ἐπέβαλες ἀντὶ τῦ εἰς γνῶσιν ἤγαγες, τῦτ' ἔσιν, ἀνέμνησας.

1261. Οὔποτε καταλύσιμον] ἀδέποτε λυθησόμενον, ἀ καταλυόμενον. Ὁ δὲ νῦς, λήθης τυχεῖν μὴ δυνάμενον.

1266. Ὁ πᾶς ἂν πρέποι] ὁ πᾶς χρόνος πρέποι τῇ δίκῃ λέγειν με ταῦτα.

1268. Τάδε δίκᾳ χρόνος] ἀ γράφε δίκαια χρόνος, ἀλλὰ δίκᾳ. Οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. Εὕρηται δ' ἐν τινὶ τῶν παλαιῶν βιβλίων ἕτω, ἔχ ὅταν ἡ παρεσία ἐπιτρέπῃ, τότε χρὴ τύτων μεμνῆσθαι, ὡς σὺ φῄς· ἀλλ' ἀ παρὼν χρόνος πᾶς ἁρμόζει ἂν ἐμοὶ ἐννέπειν καὶ λέγειν τάδε ἐν δίκῃ· τῦτ' ἔσι, δίκαιον ἐσιν, ἀ μόνον μεμνῆσθαι τῶνδε, ὅταν ἐπισῇ καιρὸς τύτων, ἀλλὰ καὶ λέγειν τάδε, ἃ λέγω, διὰ παντὸς τῦ παρόντος χρόνε. μόλις γὰρ νῦν ἔσχον ἐλευθερίαν. Ὥσε λέγειν ἃ βύλομαι, μή τινα φοβεμένη.

1270. Ξύμφημι κἀγὼ] τῦτο πρὸς τὸ τόδε συνάψεις· τὸ δὲ τοιγαρῦν σώζε, διὰ μέσε. Ἢ σίξεις μὲν πρὸς τὸ σύμφημι κἀγώ. Τὸ λοιπὸν δ' ὕτως εἰποις· τοιγαρῦν σάζε τόδε τὸ ἐλεύθερον στόμα, καὶ μὴ ταῖς βοαῖς ἀπελίπῃς, εἴτις ἔνδοθεν αἴσθοιτο.

1273. Τίς δῆτ' ἂν] δέον ὕτως εἰπεῖν, τίς δῆτ'

Μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων; 1275
Ἐπεί σε νῦν ἀφράσως
Ἀέλπτως τ' ἐσεῖδον.

ΑΝΤΙΣΤΣΤΗΜΑ Ε.

ΟΡΕ. Τότ' εἶδες, ὅτε θεοί γέ μ' ὤτρυναν μολεῖν.

ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΗΛΕ. Ὀτοτοῖ·
Ἔφρασας ὑπερτέραν 1280
Τᾶς πάρος ἔτι χάριτος·
Εἴ σε θεὸς ἐς μέλαθρα·
Δαιμόνιον αὐτὸ τίθημ' ἐγώ.

ΑΝΤΙΣΤΣΤΗΜΑ Γ.

ΟΡΕ. Τὰ μέν σ' ὀκνῶ χαίρουσαν εἰργάθειν· τὰ δὲ
Δέδοικά σε λίαν ἡδονῇ νικωμένην. 1285

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΗΛΕ. Ἰὼ χρόνῳ μακρῷ γε φιλτάταν ὁδὸν
Ἐπαξιώσας ὧδέ μοι φανῆναι,
Μή τί με πολύζονον ὧδ' ἰδών——
ΟΡΕ. Τί μὴ ποιήσω;
ΗΛΕ. Μή μ' ἀποστερήσῃς 1290

δῆτ' ἂν μεταβάλλοι τὰς ἐμὰς λόγους εἰς σιγὴν ἀξίνς, ἐπειδὴ ἡ μεταβολὴ τῶν λόγων σιγὴ ἦν, σιγὴν εἶπεν· πρὸς ὃ καὶ τὸ ἀξιαν ἐπήνεγκε. Χρὴ δὲ γράφειν ταῦτα τὰ κῶλα ὕτως, Τίς δῆτ' ἂν ἀξίαν, Καί σε φανέντος νῦν. Οὕτω γὰρ οἰκείως ἔχει πρὸς τὰ τῆς στροφῆς. Οἱ δ' ἄλλως γράφοντες, ὐ καλῶς γράφυσι· τὸ δὲ δῆτ' ἂν ἐκ παραλλήλυ.

1280. Ὑπερτέραν] λείπει χάριν.

1284. Τὰ μέν σ' ὀκνῶ] διότι μὲν μόλις τῶν πάλαι δακρύων ἀπήλλαξαι, καὶ εἰς χαρὰν ὥρμησας δι' ἐμὲ, ὐ θέλω παῦσαί σε τύτυ. Διότι δὲ ὑπόνοιαν δίδως προδώσειν ἡμᾶς τὸν ἔνδον, μὴ δυναμένη σαυτὴν ὑπὸ τῆς τοσαύτης χαρᾶς κατέχειν, φοβοῦμαί σε.

1285. Δέδοικά σε λίαν] ἤγυν, φοβοῦμαι ἀφιέναι σε λέγειν, τὴν νικωμένην λίαν ὑπὸ τῆς εὐφροσύνης. Ὅσα πᾶς γυνὴ χῶς συςέλλει τὴν ὑπερβολὴν τῆς χαρᾶς, ἵν χαίρεται ἡ Ἠλέκτρα, ἵνα μὴ λυμηνῆταί τι πρὸς τὸ μελετώμενον.

1288. Ὧδ' ἰδών] γράφεται, ὦ δ' ἰδών.

1290. Μή μ'] μὴ ἀποστερήσῃς με (φυσὶ) τῦ μαθέσθαι τῶν προσόντων, καὶ ἀπαλλαγῆναι μεθ' ἡδονῆς. Ὅπερ μὴ παρέσαι ἐπι πλέον μετεχόσῃ

Τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.
ΟΡΕ. Ἡ κάρτα κἀν ἄλλοισι θυμοίμην ἰδών.
ΗΛΕ. Ξυναινεῖς;
ΟΡΕ. Τί μὴ ἔ;
ΗΛΕ. Ὦ φίλαι, ἔκλυον ἂν
Ἐγὼ ὐδ' ἂν ἤλπισ' αὐδάν.
Ἔσχον ὀργὰν ἄναυδον,
Οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.
Νῦν δ' ἔχω σέ· προφάνης δὲ
Φιλτάταν ἔχων προσοψιν,
Ἃς ἐγὼ ὐδ' ἂν ἐν κακοῖς λαθοίμαν.

ΙΑΜΒΟΙ.

ΟΡΕ. Τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες·
Καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,
Μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
Ἀντλεῖ· τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην·
Χρόνῳ γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.

μετιχύσῃ σου καὶ ἀπολαυύσῃ. Οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς. Ἐὰν δὲ ἤδῃ ἀποσιρήσῃς σαυτῦ, μετὰ λύπης ἀπαλλαγήσομαι.

1291. Τῶν σῶν προσώπων] τοῦτο ἢ πρὸς τὸ ἀποσιρήσῃς συναπτέον, ἢ πρὸς τὸ ἡδονὴν, ὅτα. μὴ ἀποσιρήσῃς ἐμὲ μεθέσθαι ἡδονὴν τῶν σῶν προσώπων. Τοῦτ' ἔσι, μὴ ἀφαιρήσῃς ἐμὲ τὴν διὰ τῆς σῆς παρουσίας ἡδονήν.

1292. Ἡ κάρτα] ἀντὶ τοῦ, καὶ ὄντως λίαν ἂν ἀποσιρήσω σε τῶν ἐμῶν προσώπων. Καὶ ἂν, ἔγωγε, καὶ δυνατὸν ἐσὶν, ἰδὼν ἄλλοισι, τυτέσι, ὑπ' ἄλλων, ἐνεργούμενον τοῦτο τὸ ἀποσιρεῖν σὲ τῶν ἐμῶν προσώπων, θυμοίμην καὶ ὀργιζοίμην αὐτοῖς δηλονότι.

1295. Ὦ φίλαι] ὦ φίλαι, ἤκουσα αὐδὴν, ἔγωγε, ἀγγελίαν, ἣν ἐγὼ ὐδ' ἂν ἤλπισα ἀκοῦσαι. Τοῦτο λέγει διὰ τὸν πεπλασμένον θάνατον τοῦ Ὀρέσου, ὃν ὡς ἀληθῆ ἐνόμιζεν.

1297. Ἔσχον] ἔγνων, ἔλαβον ὀργὴν ἄναυδον καὶ ἄφωνον. Τυτέσιν, ἄφωνος ἐγενόμην, ὑπὸ κλύουσα καὶ ἀκύσασα τὴν αὐδὴν ἐκείνην, ἐδυνάμην βοῆσαι σὺν βοῇ ἐγὼ ἡ τάλαινα. Καὶ τοῦτο ἀληθές. Οἱ γὰρ ἐξαίφνης ἀκύσαντες λυπηρὰν ἀγγελίαν μηδαμῶς προσδοκωμένην, εὐθὺς ὑπὸ τῆς λύπης ἄφωνοι γίνονται, τὸ δὲ ὄργανον τῆς γλώττης αὐτῶν κατέφθαρται· καὶ ἀκύοντες ὐ δύνανται λαλῆσαι. Τὸ γὰρ κλύουσα ὐκ ἠδυνάμην σὺν βοῇ βοῆσαι, ἔφη, πρὸς ἀντιδιαςολὴν τῶν βαρβάρων, οἵ τινες μήτε ἀκύουσι, μήτε δύνανται λαλῆσαι.

1304. Μήθ' ὡς πατρῴαν] ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταυτολογίας. ἤκει γὰρ κἂν ἓν τῶν λελεγμένων.

1306. Χρόνῳ γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος] ἀφαιρεῖται γὰρ (φησὶ) τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι, τῶν λόγων ἡ ἀδολεσχία.

1309. Τῇ

Ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,
Σήμαιν', ὅπως φανέντες, ἢ κεκρυμμένοι,
Γελῶντας ἐχθρὺς παύσομεν τῇ νῦν ὁδῷ·
Οὕτως δ', ὅπως μήτηρ σε μὴ πιγνώσεται
Φαιδρῷ προσώπῳ, νῶν ἐπελθόνθοιν δόμους.
Ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ,
Στέναζ'. Ὅταν γὰρ εὐτυχήσωμεν, τότε
Χαίρειν παρέσται, καὶ γελᾶν ἐλευθέρως·
ΗΛΕ. Ἀλλ', ὦ κασίγνητ', ὦδ' ὅπως καί σοι φίλον,
Καὶ τὐμὸν ἔσαι τῇδ'· ἐπεὶ τὰς ἡδονὰς
Πρὸς σῦ λαβοῦσα, κὐκ ἐμὰς, ἐκλησάμην.
Κἀδ' ἄν σε λυπήσασα βουλόμην βραχύ,
Αὐτὴ μέγ' εὑρεῖν κέρδος. ἃ γὰρ ἂν καλῶς
Ὑπηρεσίμην τῷ παρόντι δαίμονι·
Ἀλλ' οἶσθα μὲν τὰ 'νθένδε· πῶς γὰρ ἔ; κλύων

1309. Τῇ νῦν ὁδῷ] τοῦτο ἡ πρὸς τὸ γελῶντας συνάψεις, ὅτω, γελῶντας τῇ νῦν ὁδῷ, ἦγον, ἐπεγγελῶντας τῷ συμβάντι δεῦρο ἐπὶ θανάτῳ· ἢ πρὸς τὸ παύσομεν, ὅτω, παύσομεν ἐν τῇ νῦν ὁδῷ, ἦγον, ἐν τῷ παρόντι ἀγῶνι, ᾧ ἡμεῖς κατ' αὐτῶν σπουδάζομεν.

1310. Οὕτως δ'] ἔρα δὲ ὅπως μὴ ἐπελθόντοιν ὅτως νῶϊν φαιδρῷ προσώπῳ εἰς τοὺς δόμους, καὶ ἐπιγνώσεταί σε ἡ μήτηρ. Ἀλλ' ὡς ἐπὶ τῇ μάτην λελεγμένῃ, στέναζε.

1311. Φαιδρῷ προσώπῳ] ἀντὶ τοῦ χαρᾷ. Οἱ χαρὰν ἔχοντες λέγονται φαιδροί. ἐπεὶ τῶν χαιρόντων αἱ ὄψεις, φαιδραὶ γίνονται. καὶ ἀντιστρόφως τὰ λαμπρὰ, γελᾶν λέγονται, ὡς παρ' Ὁμήρῳ.

" Γέλασε δὲ πᾶσα περὶ χθὼν χαλκῷ ὑπὸ
" στεροπῆς."

Καὶ γεγανωμένον ἀπὸ τοῦ γάνος ἡ χαρὰ, τοῦ λαμπροῦ καὶ φαιδροῦ.

1315. Καὶ σοι φίλον] τὸ σοὶ διπλᾶς λέγεται, ἢ ὅτως, ὥσπερ ὑπάρχει σοὶ φίλον, καὶ τὐμὸν τῇδε, ὦδε καὶ ὅτως ἔσαι· καὶ πάλιν ὧδε καὶ ὅτως ἔσαι, καὶ τὸ ἐμὸν τῇδε προσφιλές, ὥσπερ ὑπάρχει σοὶ φίλον. Ἐμὸν ὂν τῇδε, ἀντὶ τὺ ἐμοὶ αὐτῇ. ἀντὶ γὰρ τοῦ εἰπεῖν ἐμοὶ, ἐμὲ εἶπε πρὸς τὸ φίλον. Ἕτεροι δὲ παραγοῦντες, τῇδε ἀντὶ τοῦ ὅτως φασὶν, ὥσπερ καὶ τὸ ὧδε, ἅμφω ἐκ παραλλήλω λέγοντες.

1320. Ὑπηρεσίμην] ἦγον, ὑπουργοίην ἢ ὑπουργοῦσα φαείην. Ὑπηρετῶ καὶ ὑπηρετοῦμαι ἐπὶ τοῦ αὐτοῦ. Ὧν τὸ μὲν, λέγεται κοινῶς· τὸ δὲ ὑπηρετοῦμαι παρὰ τοῖς Ἀττικοῖς.

1321. Οἶσθα μὲν] ἦγον, γινώσκεις τὰ ἐνταῦθα. Πᾶς γὰρ ἀχλὺς ἀκόων ὅτι ὁ Αἴγισθος οὐκ ἔρι κατὰ τὰς εἴγας, ἡ μήτηρ δὲ ἐν τοῖς οἴκοις ἐρίν. Ἡντινα ἔρα ἵνα μὴ φοβηθῇς, ὅτι τάχα ὄψεται φαιδρὸν ὑπὸ τοῦ γέλωτος τὸ ἐμὸν πρόσωπον. Τοῦτο μὲν οὐκ ἔσαι δηλονότι· καὶ ἡ αἰτία, ὅτι λύπη πολυχρόνιος ἐντετυπώθη μοι. Καὶ ἐπεί σε εἶδον, ὅποτε παύσω ἐξ αἰτίας τῆς χαρᾶς δακρύβουσα. Ἰσίον, ὅτι καὶ ὑπὸ τῆς χαρᾶς κινοῦνται πολλάκις δάκρυα· πῶς γὰρ ἂν λήξαιμι καὶ παυσαίμην τῶν δακρύων, ὅτις ἐγὼ ἐν μιᾷ τῇδε τῇ ὁδῷ εἶδόν σε καὶ θανόντα καὶ ζῶντα;

Ὅθ' ἕνεκ' Αἴγισθος μὲν ἐ κατὰ ϛέγας,
Μήτηρ δ' ἐν οἴκοις· ἦν σὺ μὴ δείσῃς πόθ', ὡς
Γέλωτι φαιδρὸν τἠμὸν ὄψεται κάρα.
Μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι·
Κἀπεί σ' ἐσεῖδον, ὕστ' ἐκλήξω χαρᾶς
Δακρυῤῥοοῦσα. Πῶς γὰρ ἂν λήξαιμ' ἐγὼ,
Ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόνθ' τε
Καὶ ζῶντ' ἐσεῖδον; εἰργασαι δέ μ' ἄσκοπα.
Ὡς εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
Τέρας νομίζειν αὐτὸ, πεϛεύειν δ' ὁρᾶν.
Ὅτ' ἦν τοιαύτην ἡμῖν ἐξήκεις ὁδὸν,
Ἀρχ' αὐτὸς, ὡς σοι θυμός. Ὡς ἐγὼ μόνη
Οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
Ἔσωσ' ἐμαυτὴν, ἢ καλῶς ἀπωλόμην.

ΟΡΕ. Σιγᾶν ἐπῄνεσ'· ὡς ἐπ' ἐξόδῳ κλύω
Τῶν ἔνδοθεν χωρούντος.

ΗΛΕ. Εἶσιτ', ὦ ξένοι,
Ἄλλως τε καὶ φέρονθες οἷ ἂν ὕτέ τις
Δόμων ἀπώσαιτ', ὕτ' ἂν ἠσθείη λαβών.

ΠΑΙ. Ὦ πλεῖϛα μῶροι, καὶ φρενῶν τηλώμενοι,
Πότερα παρ' ὐδὲν τὸ βίῳ κήδεσθ' ἔτι,
Ἢ νὺξ ἔνεσιν ὅτις ὑμῖν ἐγγενὴς,
Ὅτ' ὀ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
Τοῖσιν μεγίϛοις ὄντες ὐ γινώσκεϛε;
Ἀλλ' εἰ ϛαθμοῖσι τοῖσδε μὴ κύρσεν ἐγὼ

1325. Μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι] ὡς τὸν μητέρα δηλονότι.

1330. Ὡς' εἰ] ἦγεν, ὥϛε εἰ ἤκουσα, ὅτι ὁ πατήρ μου Ἀγαμέμνων ἀνέϛη καὶ ἔρχεται, μηκέτι ἂν ἤθελον νομίζειν αὐτὸ τέρας. Ἦγεν αὐτὸ τὸ ἄγγελμα, μαλιϛα δὲ ἤθελον πιϛεύειν καὶ ἐλπίζειν ὁρᾶν αὐτὸ τὸ ἄγγελμα ἀληθῶς, ἦγεν, τὸν ἄφιξιν αὐτοῦ τοῦ ἰδίου πατρὸς Ἀγαμέμνονος.

1336. Σιγᾶν ἐπῄνεσ'] καλῶς τὸ ἐπῄνεσα, καὶ ὐκ ἐπαινῶ· νικᾷ γὰρ ἐζυλόθη τοῦτο, τότ' ἐπῄνεσιν, εἶτ' ἐξεῖπεν. Ἢ τὸ ἐπῄνεσα διὰ τοῦτο εἶπε παρεγχημένως, ἐπειδὴ καὶ πρώτην αὐτὴ εἶπε, σιγᾶν ἄμεινον.

1353. Ἐν

Πάλαι φυλάσσων, ἦν ἂν ὑμῖν ἐν δόμοις
Τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
Νῦν δ' εὐλάβειαν τῶνδε πρεσθέμην ἐγώ.
Καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων
Καὶ τῆς ἀπλήστε τῆσδε σὺν χαρᾷ βοῆς,
Εἴσω παρέλθεθ'. Ὡς τὸ μὲν μέλλειν, κακὸν
Ἐν τοῖς τοιούτοις ἔς', ἀπηλλάχθαι δ' ἀκμή.
ΟΡΕ. Πῶς ἦν ἔχει ταὐντεῦθεν εἰσιόνλί μοι;
ΠΑΙ. Καλῶς· ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.
ΟΡΕ. Ἠγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα.
ΠΑΙ. Εἷς τῶν ἐν ᾅδε μάνθαν' ἔνθαδ' ὢν ἀνήρ.
ΟΡΕ. Χαίρουσιν ἦν τούτοισιν; ἢ τίνες λόγοι;
ΠΑΙ. Τελευμένων, εἴποιμ' ἄν· ὡς δὲ νῦν ἔχει,
Καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς,
ΗΛΕ. Τίς ὅτος ἔς'; ἀδελφέ! πρὸς θεῶν, φράσον.
ΟΡΕ. Οὐχὶ ξυνίης;
ΗΛΕ. Οὐδέ γ' ἐς θυμὸν φέρω.
ΟΡΕ. Οὐκ οἶσθ', ὅτῳ μ' ἔδωκας εἰς χεῖρας ποτέ;
ΗΛΕ. Ποίῳ; τί φωνεῖς;
ΟΡΕ. Οὗ τὸ Φωκέων πέδον

1353. Ἐν τοῖς τοιούτοις] καιροῖς δηλονότι.

1357. Μάνθαν'] ἀντὶ τοῦ γίνωσκε ἐνθάδε ὤν, ἀντὶ τοῦ νομιζόμενος εἶναι ἀνὴρ εἷς ἀπὸ τῶν ἐν ᾅδῃ. Νομιζόμενος εἶναι παρὰ τοῖς ἐνταῦθα ἀνθρώποις.

1359. Τελευμένων εἴποιμ' ἂν] Θαυμαστῶς, ὑπὲρ τοῦ μὴ ἁπλοῦν διατρίβειν. Ὡς καὶ Ὀρέστης ἐν τοῖς ἔμπροσθεν, τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες. Ὁ δὲ νοῦς, καὶ τὰ μὴ καλῶς, ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα, καὶ αὐτὰ νῦν καλῶς ἔχει, ἕως ὐδέπω τιμωρίας τυγχάνουσιν. Ἅπερ λεγόμενα πρὸς ἄκρον, ἐστὶ παροξυντικά.

1b. Ὡς δὲ νῦν ἔχει] ὁ παρίχυσιν, εἴτε χαίρουσιν, εἴτε λυποῦντα, ἦγεν, καθὰ νῦν διάκειται τὰ ἐκείνων πάντα, καλῶς ἔχει, καὶ τὰ μὴ καλῶς, ἦγεν, καὶ ἃ σκευωροῦνται κατ' αὐτῶν, ἔτι καλῶς ἔχει αὐτοῖς, μήπω πεῖρας εἰληφότα. Καὶ ἄλλως, καὶ κατὰ τἄλλα εὐτυχοῦσι, καὶ ὅτι μήπω δίκην δεδώκασιν. Εἰ γὰρ καὶ μέλλουσι δώσειν. Τοῦτο γάρ ἐστι τὸ τὰ μὴ καλῶς· ἀλλ' ὅτι μὴ ταχέως τοῦτο γίνεται εὐτυχοῦσι. Τοῦτο δέ φησιν ὁ γέρων παροξύνων αὐτοὺς πρὸς τὸ ἔργον.

1361. Τίς ὅτος ἔς', ἀδελφὲ] οὐκ ἠρώτησε τοῦτο Ὀρέστην πρότερον ἡ Ἠλέκτρα ὑπὸ τῆς χαρᾶς· ἀλλ' ἐφύλαξε νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν.

1366. Οὗ τὸ Φωκέων πέδον] ὃ χερσὶν εἰς

Ὑπεξεπέμφθην, σῇ προμηθείᾳ, χεροῖν.
ΗΛΕ. Ἡ κεῖνος ὅτος, ὃν ποτ' ἐκ πολλῶν ἐγὼ
Μόνον προσεῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ΟΡΕ. Ὅδ' ἐσί· μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ΗΛΕ. Ὦ φίλταλον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος· πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
Ὃς τόνδε κἀμὲ ἔσωσας ἐκ πολλῶν πόνων;
Ὦ φίλταται μὲν χεῖρες, ἥδιον δ' ἔχων
Ποδῶν ὑπηρέτημα· πῶς ἅτω πάλαι
Ξυνών μ' ἔληθες, οὐδ' ἔφαινες; ἀλλά με
Λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἡδὺς ἐμοί.
Χαῖρ', ὦ πάτερ· (πατέρα γὰρ εἰσορᾶν δοκῶ)
Χαῖρ', ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
Ἦχθηρα, κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
ΠΑΙ. Ἀρκεῖν δοκεῖ μοι. Τὰς γὰρ ἐν μέσῳ λόγους
Πολλαὶ κυκλοῦνται νύκτες ἡμέραι τ' ἴσαι,
Αἳ ταῦτά σοι δείξουσιν, Ἠλέκτρα, σαφῆ.
Σφῷν δ' ἐννέπω γε τοῖν παρεσώτοιν, ὅτι

τὸ Φωκέων πεδὸν ὑπεξεπέμφθην σῇ προμηθείᾳ.

1369. Ἐν πατρὸς φόνῳ] Ἐν τῇ ὥρᾳ, ᾗ ἐφονεύσατο ὁ πατὴρ μου Ἀγαμέμνων.

1375. Πῶς ἅτω πάλαι] Κατὰ τίνα τρόπον ξυνὼν πάλαι, ἤγνω, ἐκ μακροῦ, ἔληθες ἐμὲ, ἤγνω, ἐλάνθανες ὤτος;

1b. Ποδῶν ὑπηρέτημα] διὰ γὰρ τούτων τὰ πρὸς σωτηρίαν ἡμῖν ὑπηρέτησας, πάλαι μὲν ἐκ μέσου θανάτου λαοῦν Ὀρέσην, καὶ ἀγαγὼν ἑτέρωσε, νῦν δὲ μετ' αὐτοῦ ἀφιγμένος εἰς τιμωρίαν τῶν ἐχθρῶν.

1380. Ἦχθηρα] Ἤγνω, ἐμίσησε μὲν ἡ Ἠλέκτρα τὸν παιδαγωγὸν, διότι ἐκήρυξε τὸν Θάνατον τοῦ Ὀρέσου. Ἐφίλησε δὲ ὅτι ἐπιτηδευμένως τοῦτο ἐποίησεν.

1b. Ἦχθηρα] ἐπὶ τοῦ ἤχθηρα κἀφίλησα, λέγεται τὸ μάλις· ἀνθρώπων, ἤγνω, μάλις· ἀνθρώπων ἤχθηρά σε, καὶ μάλις· ἀνθρώπων ἐφίλησά σ' ἐν μιᾷ ἡμέρᾳ.

1381. Τὰς ἐν μέσῳ λόγους] Ἴσον ἔν τινὶ λέγεται. Παρὰ δὲ πολλοῖς οὐκ ἴσα λέγεται, ἀλλ' ἰσάριθμα, εἰ πρὸς τὴν ποσότητα τοῦ ἀριθμοῦ ὁ λόγος τείνει. Εἰ δὲ ἕκαστον ἑκάστῳ, ἴσον ἐςὶ κατὰ τὸ μέγεθος, καὶ πρὸς τοῦτο ὁ λόγος ἀφορᾷ· λέγοιτο ἂν καὶ πολλὰ πολλοῖς ἴσα. Τὰς ἐν μέσῳ λόγους εἰπὼν, ὤφειλεν ἀποδοῦναι, αἱ τύτες σοὶ δείξυσιν. Ὁ δὲ, ποιεῖται τὴν σύνταξιν πραγματικήν, καὶ ἀποδίδωσιν, αἱ ταῦτα σοι δείξυσιν· ἤγνω, καὶ τὰς λόγους καὶ εἴ τι τοιοῦτον. Σύνηθες δὲ τοῦτο τὸ σχῆμα, τὸ ἄρχεσθαι ἄλλως, εἶτα ὥσπερ ἐκ μεταμελείας ἀποδιδόναι τὸν λόγον ἄλλως, ὡς παρὰ Φιλοςράτῳ. Φαρίτραι μὲν ἦν χρυσόπασοι καὶ χρυσαῖ, καὶ τὰ ἐν αὐτοῖς βέλη, γυμνὴ τύτων, ἡ ἀγέλη πᾶσα.

1382. Πολλαὶ κυκλοῦνται] εἰκότως εἶπε τὸ κυκλοῦνται, ἐπεὶ καὶ αἱ ἡμέραι καὶ αἱ νύκτες τῇ εἰς τὸ αὐτὸ περιεροφῇ τοῦ ἡλίου καθίστανται.

1383. Αἳ ταῦτά σοι] τὰ κατ' ἐμὲ, φησί.

Νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήστρα μόνη.
Νῦν ἄτις ἀνδρῶν ἔνδον· εἰ δ' ἐφέζεσθον,
Φροντίζεθ' ὡς τύτοις τε καὶ σοφωτέροις
Ἄλλοισι, τύτων πλείοσιν, μαχύμενοι.
ΟΡΕ. Οὐκ ἂν μακρῶν ἔθ' ἡμῖν ἡδὲν ἂν λόγων,
Πυλάδη, τόδ' εἴη τέργον· ἀλλ' ὅσον τάχος,
Χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἑδη
Θεῶν, ὅσοιπερ πρόπυλα ναίυσιν τάδε.
ΗΛΕ. Ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
Ἐμοῦ τε πρὸς τύτοισιν, ἥ σε πολλὰ δὴ
Ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ πρέσην χερί.
Νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω,
Αἰτῶ, προπίλνῶ, λίσσομαι· γένυ πρόφρων
Ἡμῖν ἀρωγὸς τῶνδε τῶν βελευμάτων·
Καὶ δεῖξον ἀνθρώποισι τὰ πιτίμια
Τῆς δυσσεβείας οἷα δωρῦνται θεοί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἴδεθ' ὅπυ προνέμεται

1385. Νῦν Κλυταιμνήστρα μόνη] ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας Αἰγίσθυ.

1386. Ἐφίζετον] μελλήσετε.

1395. Πρέσην χερί] εἰκότως εἶπε τὸ πρῶτον. Οἱ γὰρ θύοντες καὶ ἱκετεύοντες ἔμπροσθεν τῶν θεῶν, ἐφ' οἷς τῦτο ποιῦσιν, ἵζανται. Ἢ τὸ πρέσην, ἀντὶ τῦ πρόμαχον καὶ προστάτην ἐκάλεσα ἐν Θυσίαις.

1400. Οἷα δωρῦνται θεοί] Ἀντὶ τῦ, οἷας τιμωρίας διδόασιν οἱ θεοὶ, ἕνεκα τῆς δυσσεβείας· τυτέστιν, ὅπως κολάζυσιν οἱ θεοὶ ἕνεκα τῆς δυσσεβείας.

1401. Ἴδεθ' ὅπυ προνέμεται] ἀντὶ τῦ προδίδαζει. Τῦ Ὀρέσυ δὲ εἰσελθόντος ὁ χορὸς ταῦτά φησιν. Ἄλλως· εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ Ὀρέσην καὶ Πυλάδην. τῦτο δὲ ἤτοι ὁ χορός φησι, καὶ τῆς Ἠλέκτρας συνεισελθύσης αὐτοῖς, καὶ τὸ ἴδετε πρὸς ἀλλήλας φασὶν αἱ τῦ χοροῦ, ἢ ὅτι ἔξω ὖσα ἡ Ἠλέκτρα λέγει πρὸς τὸν χορὸν τὰς δύο σίχας, καὶ ὕτως εἰσέρχεται. Καὶ ἔχει διάλειμμα ὥςε ἐξελθῆσαν αὐτὴν ἄρχεσθαι τῦ, ὦ φίλταται γυναῖκες. παρατήρει δὲ ὅτι ἐπὶ μὲν τῇ τῦ ἀγγέλυ παρυσίᾳ προοικονομεῖ ὁ ποιητὴς ἔξω διατρίβειν τὴν Κλυταιμήστραν· ἃς προείπομεν αἰτίας. Ἐνθάδε δὲ τῶν λόγων γενομένων πρὸς τὴν Ἠλέκτραν ἐκ τῦ Ὀρέσυ, ὠδὶν λείπει εἰς τὸ ἀνελεῖν τὴν Κλυταιμήστραν, ὅπερ ἐν τῷ ἐμφαίνειν ὁ ποιητὴς ἐκ εἰσήγαγεν.

1402. Τὸ

Τὸ δυσέριςον αἷμα φυσῶν Ἄρης.
Βεβᾶσι δ' ἄρτι δωμάτων ὑπόςεγοι
Μετάδρομοι κακῶν πανεργημάτων,
Ἄφυκτοι κύνες. 1405
Ὡς ὲ μακράν γ' ἔτ' ἀμμένει
Τὲμὸν φρενῶν ὄνειρον αἰωρὲμενον.

ΑΝΤΙΣΤΡΟΦΗ.

Παράγε[αι γὰρ ἐνέρων
Δολιόπυς ἀρωγὸς εἴσω ςέγης *,
Ἀρχαιόπλυ[α πατρὸς εἰς ἑδράσμα[α, 1410
Νεακόνη[ον αἷμα χειρῶν † ἔχων ‡·
Ὁ Μαίας δὲ παῖς
Ἑρμῆς σφ' ἄγει § δόλον σκότῳ
Κρύψας, πρὸς αὐτὸ τέρμα, κὐκέτ' ἀμμένει.

* Ald. ςίγας. rectè. † Ald. χερσῖν. ‡ μάχαιραν. rectè.
§ Ald. Ἑρμῆς ἐπάγει.

1402. Τὸ δυσέριςον αἷμα φυσῶν] οἷον, ὁ Ἄρης συναγελάζεται αὐτοῖς φυσῶν αἷμα καὶ φόνον. Δυσέριςον, τὸ δι' ἔριν γιγνόμενον κακὸν, οὐχ ὡς κατηγορῦσα φησὶν (ἐναντίον γὰρ τῷ ἦθει τῦ χορῦ) ἀλλ' ὅτι τὰ τοιαῦτα ἔργα οὐχ' ὐδία τοῖς ἀνθρώποις.

1405. Ἄφυκτοι κύνες] ἤτοι εἰς τὸν Ὀρέςην ἀποτείνεται ἐν τῷ ἄφυκτοι κύνες, ἢ ἐπὶ τῶν ἐριννύων. Εἰσῆλθον εἰς τὸν οἶκον αἱ ἐριννύες, ἃς οὐκ ἔςι φυγεῖν.

1406. Ὡς' ὐ μακρὰν] ὐ περὶ τῦ ὀνείρυ τῆς Κλυταιμνήςρας φησί· (τῦτο γὰρ βίαιον) ἀλλὰ τῦτο φησὶν, ἃ κατ' ἐμαυτὸν ἀνειροπόλυν, ὐκ εἰς μακρὰν ἔςαι μετέωρα, ἀλλ' ἐυθέως τελεσθήσεται.

1408. Παράγεται γὰρ ἐνέρων δολιόπυς] ἡ ἐρινὺς ἀφόβως χορῦσα, ἢ δαίμων τὶς ἁπλῶς βοηθὸς νεκρῶν· ἢ ἐπὶ τῦ Ὀρέςυ. Παρέχεται (φησὶν) ἔσω ςέγης ὁ Ὀρέςης.

Ib. 1409. Ἐνέρων δ' ἀρωγὸς] ἤτοι τῦ Ἀγαμέμνονος. ἢ τῶν χθονίων Θεῶν βοηθὸς, ὅ ἐςι ὑπηρέτης.

1410. Ἀρχαιόπλυτα πατρὸς εἰς ἑδάσματα] ἑδράσματα ἀρχαῖα, παλαιὰ οἰκήματα.

1411. Νεακόνητον αἷμα] τὸ ξίφος τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον.

1412. Ὁ Μαίας δὲ παῖς] διὰ τῦτ' ἐνταῦθα τὸν Ἑρμῆν λέγει ἄγειν αὐτὸν εἰς τὸ ἔργον, ὃ διότι μετὰ δόλυ εἰσήρχετο· (λέγεται δὲ καὶ ὁ Ἑρμῆς δόλιος) ἢ διὰ τὰς ἀρὰς τῦ Μυρτίλυ, ἃς ἠράσατο εἰς τὸ τῦ Πέλοπος γένος. Ἦν δ' ὁ Μυρτίλος παῖς Ἑρμῆ. Λέγεται δ' ὕτως, ὁ υἱὸς τῆς Μαίας Ἑρμῆς ἄγει σφὲ καὶ αὐτὸν δόλον, τῦτ' ἔςι, δολίως πρὸς τὸ ἔργον κινεῖ, κρύψας αὐτὸν ἐν σκότῳ πρὸς τὸ τέρμα. Ἤγων, μέχρις ἂν ἐργάσεται ὃ σπεύδει, ὐδεὶς αὐτὸν ἐπιγνώσεται. Τὸ δὲ κὐκέτ' ἀμμένει, πρὸς τὸ ἄγει τὴν δύναμιν ἔχει, ὕτως, ἄγει, καὶ ὐκ ἔτι ἀναμίνει καὶ ἀναβάλλεται. Οἱ δὲ γράφοντες ἐπάγει, διὰ τὸ μὴ δύνασθαι τῦτο γρεῖν, γράφυσι.

1415. Ὦ

ΙΑΜΒΟΙ.

ΗΛΕ. Ὦ φίλταθ᾽αι γυναῖκες, ἄνδρες αὐτίκα
Τελεῖσι τἔργον· ἀλλὰ σῖγα πρόσμενε.
ΧΟΡ. Πῶς δή; τί νῦν πράσσουσιν;
ΗΛΕ. Ἡ μὲν ἐς τάφον
Λέβητα κοσμεῖ, τὼ δ᾽ ἐφέσθ᾽ον πέλας.
ΧΟΡ. Σὺ δ᾽ ἐκτὸς ἦξας πρὸς τί;
ΗΛΕ. Φρυρήσουσ᾽ ὅπως
Αἴγισθος αὐτὸς μὴ λάθῃ μολὼν ἔσω.
ΚΛΥ. Αἰ, αἰ, αἰ, αἰ· ἰὼ σέγαι
Φίλων ἔρημοι, τῶν δ᾽ ἀπολλύντων πλέαι.
ΗΛΕ. Βοᾷ τις ἔνδον· οὐκ ἀκούετ᾽; ὦ φίλαι!

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἤκουσ᾽ ἀνήκουσα
Δύστανος, ὥστε φρίξαι.

ΣΥΣΤΗΜΑ Α.

ΚΛΥ. Οἴμοι τάλαιν᾽· Αἴγισθε, ποῦ ποτ᾽ ὢν κυρεῖς;
ΗΛΕ. Ἰδοὺ μάλ᾽ αὖ θροεῖ τις.
ΚΛΥ. Ὦ τέκνον, τέκνον,
Οἴκτειρε τὴν τεκοῦσαν.

1415. Ὦ φίλταται γυναῖκες] ἐξερχομένη ταῦτά φησιν.

1418. Ἡ μὲν ἐς τάφον] εἰς τὸ περίδειπνον τὸ ἐπὶ τῷ Ὀρέσῃ δοκοῦντι ἀπολωλέναι.

1420. Σὺ δ᾽ ἐκτὸς ἦξας πρὸς τί] ἐν τούτοις δῆλον, ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν Ἠλέκτρα.

1422. Αἴγισθος αὐτὸς] οὕτως ὀφείλει ὁ παρὼν στίχος γράφεσθαι, ἵν᾽ ᾖ ἰαμβος τρίμετρος ἀκατάληκτος. Ἐλλιπὴς γὰρ ἦν. Διὸ καὶ τὸ αὐτὸς προσετέθη παρ᾽ ἐμοῦ. Καὶ οἶμαι ὡς καλῶς προσετέθη, ὡς καὶ ἐν ἄλλοις πολλοῖς ἕτερα.

1423. Αἰ, αἰ, ἰὼ σέγαι] ὁ λόγος ἀποτείνεται εἰς Αἴγισθον. Ἔθος δὲ ἔχουσι τὰ γεγονότα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι. Νῦν δὲ, διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι, οὐκ ἐποίησε τοῦτο. Προκείμενον γὰρ τὸ κατὰ τὴν Ἠλέκτραν ἐςὶ πάθος. Νῦν τοίνυν βοώσης ἐν τῇ ἀναιρέσει τῆς Κλυταιμνήςρας, ὁ Στατὸς ἀκούει, καὶ ἐναργέςερον τὸ πρᾶγμα γίγνεται, ἢ δι᾽ ἀγγέλου σημαινόμενον· καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἀπέςη, τὸ δὲ ἐναργὲς ὑδὲν ἧσσον, καὶ διὰ τῆς βοῆς ἐπραγματεύσαλο.

1426. Ἤκουσ᾽ ἀνήκουσα] ἤγουν, ἃ ὐ δύναταί τις ἀκούειν· πᾶσι γὰρ αἱ τῶν φονευομένων βοαὶ, κἂν ἐχθροὶ ὦσι, δέος καὶ ὑποςολὴν ἀκουόμεναι φέρουσι.

1435. Ὦ

ΗΛΕ. Ἀλλ' ἐκ γὰρ ἐκ σέθεν
Ὠκτείρεθ' ὅτος, ἔθ' ὁ γεννήσας πατήρ.

ΣΤΡΟΦΗ Β.

ΧΟΡ. Ὦ πόλις, ὦ γενεὰ
Τάλαινα· νῦν σε
Μοῖρα καθημερία
Φθίνει, φθίνει.

ΣΥΣΤΗΜΑ Β.

ΚΛΥ. Ὤ μοι, πέπληγμαι.
ΗΛΕ. Παῖσον, εἰ σθένεις, διπλῆν.
ΚΛΥ. Ὤ μοι μάλ' αὖθις.
ΗΛΕ. Εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.

ΣΤΡΟΦΗ Γ.

ΧΟΡ. Τελοῦσ' ἀραί· ζῶσιν οἱ
Γᾶς ὑποκείμενοι·
Πολύρρυτον γὰρ αἷμ' ὑπεξαιροῦσι τῶν
Κτανόντων οἱ πάλαι θανόντες.

ΣΥΣΤΗΜΑ Γ.

ΗΛΕ. Καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
Στάζει θυηλῆς Ἄρεος· εὖ δ' ἔχω λέγειν,
Ὀρέσα, πῶς κυρεῖ γε.
ΟΡΕ. Τάγεν δόμοισι μὲν
Καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισε.
Τέθνηκεν ἡ τάλαινα· μηκέτ' ἐκφοβοῦ

1435. Ὦ πόλις, ὦ γενεὰ] ὦ γενεὰ τοῦ οἴκου τούτου, κατὰ ταύτην σε τὴν ἡμέραν ἡ μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν ἄγει τοῦ γένους.

1442. Τελοῦσ' ἀραί] ἤγουν, Ἀγαμέμνων ἐκτείνων ἠράσατο, ὅσε τούτων ἐπεργασᾶν, δοκεῖ ζῇ ὁ ταύτας ποιήσας.

1444. Ὑπεξαιροῦσιν] ἐκχέουσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες.

1447. Στάζει θυηλῆς Ἄρεος] ἤγουν, θυσίας, ἤτοι αἵματος, ὃ θυσίᾳ δίκεται Ἄρης. φιλεῖ-ματος γὰρ καλεῖται.

1452. Αἷμ']

Μητρῷον ὥς σε λῆμ' ἀτιμάσῃ ποτέ.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Παύσασθε· λεύσσω γὰρ
Αἴγισθον ἐκ προδήλου.

ΑΝΤΙΣΥΣΤΗΜΑ Α.

ΗΛΕ. Ὦ παῖδες, ὐκ ἄψορρον; εἰσορᾶτέ πω
Τὸν ἄνδρ' ἐφ' ὑμῖν· ἕτος ἐκ προασίου
Χωρεῖ γεγηθώς.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΧΟΡ. Βᾶτε κατ' ἀντιθύρων
Ὅσον τάχιστα·
Νῦν τοὐπρὶν εὖ θέμενοι,
Τάδ' ὡς πάλιν.

ΑΝΤΙΣΥΣΤΗΜΑ Β.

ΟΡΕ. Θάρσει· τελοῦμεν ἢ νοεῖς·
ΗΛΕ. Ἔπειγέ νῦν.
ΟΡΕ. Καὶ δὴ βέβηκα.
ΗΛΕ. Ταὐνθάδ' ἂν μέλοι γ' ἐμοί.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Δι' ὠτὸς ἂν παῦρά γ' ὡς

1452. Αἶμ'] Τὸ φρόνημα τὸ μητρῷον περιφρονικῶς. Ἀντὶ τοῦ, ἡ μήτηρ ἀτιμάσει σε ποτέ.

1453, 1454. Λεύσσω, γὰρ--Αἴγισθον ἐκ προδήλου] οἷον, ὑποφρίξαντα. Μιλικίκλητο γὰρ ἴσως ὑπὸ Κλυταιμνήστρας.

1460. Νῦν τὰ πρὶν εὖ θέμενοι] τὰ μὲν πρὶν εὖ θέμενοι, τὰ κατὰ τὴν Κλυταιμνήστραν, ὡς καὶ ὑμῖν εὖ εἴη τὰ κατὰ Αἴγισθον.

Ib. Τὰ πρὶν εὖ θέμενοι] ἀκόλουθος πρὸς μὲν πρὶν, τὸ εὖ θέμενοι εἶπε, πρὸς δὲ τὸ τάδε, ὡς πάλιν, ἀπεσιώπησεν. Ἐκεῖ μὲν γὰρ ἦδει τὸ συμβὰν, ἐνταῦθα δὲ ἄδηλον ἦν τὸ μέλλον, ὥθ' Αἴγισθος, εἴθ' ὅτοι ὑπερισχύσουσι καὶ καταλαβοῦσιν ἐκεῖνον.

1466. Δι' ὠτὸς ἂν παῦρά γ'] μὴ ἀκαίρως μέντοι φθέγγεσθαι, ἀλλ' ἐλαφρῶς, ἐν τῷ λαλεῖν, δεῖ, μηδὲ μηκύνειν τὸν λόγον.

Ib. 1467. Ὡς ἠπίως ἐντέπειν] γράφεται καὶ ἠπίᾳ. Ὡς ἂν μικρῶν παίδων ῥήματα, ὕτως αὐτῷ ἀφελῶς

Ἥπιον * ἐννέπειν,
Πρὸς ἄνδρα τόνδε συμφέροι, λαθραῖον ὡς
Ὀρέστῃ πρὸς δίκας ἀγῶνα.

ΑΝΤΙΣΤΣΤΗΜΑ Γ.

ΑΙΓ. Τίς οἶδεν ὑμῶν, πῶ ποθ' οἱ Φωκεῖς ξένοι, 1470
Οὓς φασ' Ὀρέστην ἡμῖν ἀγγεῖλαι βίον
Λελοιπότ' ἱππικοῖσιν ἐν ναυαγίοις;
Σέ τοι, σὲ κρίνω, καὶ σὲ τὴν ἐν τῷ πάρος
Χρόνῳ θρασεῖαν· ὡς μάλιστά σοι μέλειν
Οἶμαι, μάλιστα δ' ἂν καλειδυῖαν φράσαι. 1475
ΗΛΕ. Ἔξοιδα· πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
Ἔξωθεν εἶην τῶν ἐμῶν τῆς φιλτάτης.

ΙΑΜΒΟΙ.

ΑΙΓ. Πῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.
ΗΛΕ. Ἔνδον· φίλης γὰρ προξένοι καλήνυσαν.
ΑΙΓ. Ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως; 1480
ΗΛΕ. Οὐκ· (ἀλλὰ κἀπέδειξαν) οὐ λόγῳ μόνον.
ΑΙΓ. Πάρεσ' ἄρ' ἡμῖν, ὥστε καὶ μαθεῖν;
ΗΛΕ. Πάρεσι δῆτα, καὶ μάλ' ἄζηλος θέα.
ΑΙΓ. Ἦ πολλὰ χαίρειν μ' εἶπας, οὐκ εἰωθότως.

* Aldus, ἠπίως, recte.

φελῶς διαλίγισθαι δῦ, μὴ ἀνακαλύπτοντας αὐθείως τὸ γεγονὸς κατὰ τὸν οἶκον.

1467. Ἥπιον ἐννέπειν] ἤπιον χρὴ γράφειν ἐνταῦθα ἀντὶ τοῦ ἡπίως καὶ πρᾴως, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς.

1468. Πρὸς ἄνδρα τόνδε συμφέροι] καθ' ὑστερβατὸν, συμφέροι ἂν πρὸς τοῦτον τὸν ἄνδρα ὀλίγα δι' ὧτὸς αὐτῷ ἐννέπειν, ὡς ἂν ἀνοήτῳ διαλεγόμενον. Λείπει δὲ τῷ λόγῳ, διαλεγόμενον τῷ νηπίῳ. Ἡ πρὸς αἰτιατικὴν μεταβατέον, πρὸς τὸν ἄνδρα συμφέρει τοῦτον, ὡς πρὸς γῆπιον, ἐννέπειν ὀλίγα διὰ τοῦ ὠτός· ὅπως ἂν ἀπατηθεὶς ἐμπέσῃ εἰς τὸν ἀγῶνα τῆς δίκης ὢν λάθρα κατ' αὐτὸ γιγνόμενον.

1473. Σέ τοι, σὲ κρίνω] ἤγουν, διακρίνω εἰδέναι, νομίζων τοῦτο ἀπὸ τοῦ ὄπισθεν τοῦ τίς οἶδεν.

1474. Ὡς μάλιστα] Καθὸ μάλιστά σοι εἶμαι δικαίως φροντίδος εἶναι, εἰδέναι περὶ ἐκείνου, δηλονότι περὶ αὐτῶν μάλιστα δὲ γινώσκουσα τρέσαι ἄν.

1479. Προξένοι κατήνυσαν] ἤτοι ἐπέτυχεν. ὁ γὰρ ἀνύων τι, ἐπιτυγχάνει τούτου αὐτῷ τὸ ἀνῦσαι. Ἔστιν δὲ ἡ τοιαύτη γενικὴ πρὸς τὸ τοῦ ἀνῦσαι σημαινόμενον. Ἦ κατ' ἐκείνης ἤνυσαν, ὃ ἐβούλοντο, ὅτε τῷ μὲν Αἰγίσθῳ νοῆσαι, ὅτι, ἐπὰν ἐκείνης, ἦγαν εἰς αὐτὴν, τὴν τοῦ Ὀρέστου ἀγγελίαν ἐπλήρωσαν· τὸ δ' ἀληθὲς, ὅτι κατ' ἐκείνης τὸν φόνον ἐξεγάσαντο.

1484. Ἦ πολλὰ] τοῦτο πρὸς τὸ χαίρειν συναπτέον,

ΗΛΕ. Χαίροις ἂν, εἴ σοι χάρτα τυγχάνει τάδε.
ΑΙΓ. Σιγᾶν ἄνωγα κἀναδεικνύναι πύλας
Πᾶσιν Μυκηναίοισιν Ἀργείοις γ' ὁρᾶν·
Ὡς, εἴτις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
Ἐξῆρετ', ἀνδρὸς τῆδε νῦν ὁρῶν νεκρὸν,
Στόμια δέχηται τἀμά, μηδὲ πρὸς βίαν
Ἐμοῦ κολαστοῦ προσλυχὼν, φύσιν φρένας.
ΗΛΕ. Καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ· τῷ γὰρ χρόνῳ
Νοῦν ἔσχον ὥστε συμφέρειν τοῖς πρείσσουσιν.
ΑΙΓ. Ὦ Ζεῦ, δέδορκα φάσμ', ἄνευ φθόνου μὲν ὦ
Πεπλωκός· εἰ δ' ἔπεστι Νέμεσις, ὦ λέγω.
Χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
Τὸ συγγενές γε κἀπ' ἐμοῦ θρήνων τύχῃ.
ΟΡΕ. Αὐτὸς σὺ βάσταζ'· οὐκ ἐμὸν τόδ', ἀλλὰ σὸν,
Τὸ ταῦθ' ὁρᾶν τε, καὶ προσηγορεῖν φίλως.
ΑΙΓ. Ἀλλ' εὖ παραινεῖς, κἀπιπείσομαι· σὺ δὲ
Εἴ που κατ' οἶκόν μοι Κλυταιμνήστρα, κάλει.
ΟΡΕ. Αὕτη πέλας σοῦ· μηκέτ' ἄλλοσε σκόπει.
ΑΙΓ. Οἴμοι· τί λεύσσω;
ΟΡΕ. Τίνα φοβῇ; τίν' ἀγνοεῖς;
ΑΙΓ. Τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
Πέπλωχ' ὁ τλήμων;

απτέον, καὶ ὦ πρὸς τὸ εἶπας, ὕστω, οὕτως εἶπας χαίριον ἐμὲ πολλά. Τοῦτ' ἐστὶν, ἐξ ὧν εἶπας, πολλῆς ἐπεπλήσμην χαρᾶς. Τὸ δὲ, οὐκ ἐμοῦθ', πρὸς τὸ εἶπας, οὐκ ἦν σοι δόξης λόγης ἐμοὶ προφέρειν. Ἢ τὸ πολλὰ πρὸς τὸ εἶπας, ἵν' ᾖ τὸ χαίριον διὰ μέσου.

1486. Σιγᾶν ἄνωγα] κελεύει ὁ Λίγισθος ἐμφανῶς δείκνυσθαι τὸ σῶμα τῷ Ὀρέστῃ εἰ δὲ ἐπιδείκνυσι τὸ τῆς Κλυταιμνήστρας.

Ib. Σιγᾶν ἄνωγα] Ἤγων, κελεύω ἀνακαλύπτειν τὰς τῶ τάφῳ πύλας πάσῃσι ὅσοι τῶν Μυκηναίων καὶ τῶν Ἀργείων, ὥστε ὁρᾶν τὸ λείψανον τῷ Ὀρέστῃ. Ἵνα δ' τις αὐτῶν ὑπερηφανεύοιτο πρότερόν ποτε κεναῖς ἐλπίσι, νῦν ὁρῶν τὸν νεκρὸν τοῦδε τοῦ ἀνδρὸς τῷ Ὀρέστῃ, δέχηται τὰ ἐμὰ στόμια. ἤγων, τὴν ἐμὴν ἐξουσίαν. Καὶ ἵνα μὴ τυχὼν ἐμοῦ τοιούτου δηλανότι κολαστοῦ ἐμοῦ, γεννήσῃ βιαίως φρένας.

1487. Μυκηναίοισιν Ἀργείοις δ'] Μυκήναι πόλις Ἄργους. λέγει δὲ οὐ μόνον τοὺς ἐν ταύταις συγκαλεῖν, ἀλλὰ καὶ τοὺς ἐκ παντὸς Ἄργους.

1490. Μηδὲ πρὸς βίαν] ἐὰν μὴ πείθηται, πρὸς βίαν, κολάσεως τυχὼν, τότε φύσει φρένας, καὶ ὥστε ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατοῦντι.

ΟΡΕ. Οὐ γὰρ αἰσθάνῃ πάλαι
Ζῶν τοῖς θανοῦσιν ὄνεκ' ἀνταυδᾶς ἴσα;
ΑΙΓ. Οἴμοι, ξυνῆκα τὔπος. Οὐ γὰρ ἐσθ' ὅπως
Ὅδ' ἐκ Ὀρέστης ἔσθ', ὁ προσφωνῶν ἐμέ.
ΟΡΕ. Καὶ μάντις ὢν ἄριστος, ἐσφάλλε πάλαι.
ΑΙΓ. Ὄλωλα δὴ δείλαιος· ἀλλά μοι πάρες
Κἂν σμικρὸν εἰπεῖν.
ΗΛΕ. Μὴ πέρα λέγειν ἔα,
Πρὸς θεῶν, ἀδελφὲ, μηδὲ μηκύνειν λόγους.
"Τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένον *
"Θνήσκειν ὁ μέλλων τὸ χρόνου κέρδος φέροι;"
Ἀλλ' ὡς τάχιστα κλεῖνε, καὶ κλανῶν πρόθες
Ταφεῦσιν, ὧν τόνδ' εἰκὸς ἐστιν τυγχάνειν,
Ἀποπλον ἡμῶν· ὡς ἐμοὶ τόδ' ἂν κακῶν
Μόνον γένοιτο τῶν πάλαι λυτήριον.
ΟΡΕ. Χωροῖς ἂν εἴσω σὺν τάχει· λόγων γὰρ ἐ
Νῦν ἐστιν ἀγών, ἀλλὰ σῆς ψυχῆς πέρι.
ΑΙΓ. Τίδ' ἐς δόμους ἄγεις με; πῶς τόδ' εἰ καλὸν
Τὄργον, σκότου δεῖ, κὔ προχείρος εἶ κλανεῖν;
ΟΡΕ. Μὴ τάσσε· χώρει δ' ἔνθά περ καλέκλανες
Πατέρα τὸν ἐμὸν, ὡς ἂν ἐν ταὐτῷ † θάνῃς.
ΑΙΓ. Ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν ἑστίαν ἰδεῖν

* Aldus, μεμιγμένων. † Ald. ὡς ἐν ταὐτῷ.

1508. Ζῶν τοῖς θανοῦσιν] τῷ Ὀρέστῃ.

1511. Καὶ μάντις ὢν ἄριστος] τινές φασιν, ὅτι διὰ τὸ εἶναι τὸν Αἴγισθον μάντιν, διὰ τοῦτο τὸν Ὀρέστην τοῦτο πρὸς αὐτὸν λέγει. Ἕτεροι δὲ τοῦτο μὲν οὐ λέγουσιν, εἰπεῖν δὲ τοῦτο διὰ τὸ πάλαι τὸν Αἴγισθον τὸν καθ' αὑτῷ ὑποπτεύειν θάνατον. Ἐγὼ δὲ καὶ τοῖς πρώτοις τίθεμαι, σθμμαρτυρῶν ἔχων τὸ πάλαι, ὃ πρὸς τὸ ὧν συνάπτεται.

1514. Μὴ πέρα λέγειν ἔα] περιστὴ γὰρ καὶ ὠπίθανος διατριβὴ, πρὸς τῷ τέλει διατείνειν λόγους.

1518, 1519. Πρόθες ταφεῦσιν, ὧν πόνδ' εἰκὸς ἴσχειν τυγχάνειν] ἴσχειν, οἰκνοῦς καὶ κυσὶ πρόθες αὐτόν.

1520. Ὡς ἐμοὶ τόδ' ἂν] τὸ ἄταφον αὐτὸν αἰκισθῆναι.

Ib. Τόδ' ἂν] Ἦγουν, τὸ φονευθῆναι αὐτὸν καὶ ῥιφῆναι, κακῶν τῶν πάλαι, ἤγουν, τῶν ἐκ μακρᾶς δυστυχιῶν γένοιτο λυτήριον.

1539. Χρὴ]

Τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά.

ΟΡΕ. Τὰ γᾶν σ'· ἐγώ σοι μάντις εἰμὶ τῶν δ' ἄκρος.

ΑΙΓ. Ἀλλ' ἐ παῖρώαν τὴν τέχνην ἐκόμπασας.

ΟΡΕ. Πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
Ἀλλ' ἔρφ'.

ΑΙΓ. Ὑφηγοῦ.

ΟΡΕ. Σοὶ βαδιστέον πάρος.

ΑΙΓ. Ἦ μὴ φύγω σέ;

ΟΡΕ. Μὴ μὲν ἓν καθ' ἡδονὴν
Θάνῃς, φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
" Χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
" Ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
" Κτείνειν· τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ."

ΧΟΡ. Ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
Δι' ἐλευθερίας μόλις ἐξῆλθες,
Τῇ νῦν ὁρμῇ τελειωθέν *.

* ALDUS, τελειωθέν.

1539. Χρῆν] χρεῖα ἦν, ἦγον, χρήσιμα ἦν τοῖσι χρήσιμον καὶ πρέπον ἦν εἶναι εὐθὺς πᾶσι τήνδε τὴν δίκην. Λέγω τὸ κτείνειν ἐκεῖνον, ἅτις θέλει πράττειν πέρα, ἀντὶ τοῦ, παραιτέρω τῶν νόμων.

1542. Ὦ σπέρμ' Ἀτρέως] πολλοῦ πάθον, μόλις διατέλες ἐλευθερώθης· κατὰ τὴν νῦν ἐπιχείρησιν. Ἦγον, ὦ γέννημα τοῦ Ἀτρέως, λίαν πολλὰ παθὸν, μόλις ἐξῆλθες καὶ ἀπηλλάγης δι' ἐλευθερίας, ἦγον, ἐλευθερώθης τελείως διὰ τῆς νῦν ἐπιχειρήσεως. Τὸ γὰρ τελειωθὲν, ἐπειδὴ μετοχὴ ὂν, λαμβάνεται ὡς ἐπίρρημα, ἀντὶ τοῦ διατέλες· τοιοῦτον, τελείως, ὥσπερ λέγομεν, ταχὺς ἦλθες; ἀντὶ τοῦ ταχέως ἦλθες.

ΣΟΦΟΚΛΕΟΥΣ

ΤΡΑΧΙΝΙΑΙ

ΤΡΑΧΙΝΙΩΝ

ΥΠΟΘΕΣΙΣ,

ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ.

Ἡρακλῆς, παραγενόμενος εἰς Καλυδῶνα, τὴν Οἰνέως θυγατέρα Δηϊάνειραν ἐμνηστεύσατο. Καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς τὸν Ἀχελῷον ἀπεικασθέντα ταύρῳ, περιέκλασε τὸ ἀριστερὸν τῶν κεράτων αὐτῷ. Καὶ τὴν μὲν Δηϊάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας Ἀμαλθεία δὲ ἦν Αἰμονίᾳ θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. Τοῦτο δὲ (ὡς Φερεκύδης φησὶ) δύναμιν εἶχε τοιαύτην, ὥστε βρωτὸν, ἢ ποτὸν, ὅπερ ἂν εὔξαιτό τις, παρέχειν ἄφθονόν τε καὶ ἄπονον. Στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτούς· καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύλας, Ἀσυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν, πατὴρ Τληπολέμου γίνεται. Γενομένων δὲ τούτων, ἐνοχλούμενος παρὰ Οἰνεῖ, κονδύλῳ παίσας ἀνεῖλεν Εὔνομον τὸν Ἀρχιτέλους παῖδα κατὰ χειρῶν διδονται· συγγενὴς δὲ ἦτος ἦν Οἰνέως. Ἀλλ' ὁ μὲν πατὴρ τοῦ παιδὸς, ἀκουσίου γενομένου τοῦ συμβεβηκότος, συνεγνωμόνει· Ἡρακλῆς δὲ κατὰ τὸν νόμον φυγὴν ὑπομένειν ἔθελε, καὶ διέγνω πρὸς Κήϋκα εἰς Τραχῖνα ἀπιέναι. Ἄγων δὲ Δηϊάνειραν, ἐπὶ πόλαμὸν Εὔηνον ἦλθεν. ἐν ᾧ καθιζόμενος Νέσσος ὁ κένταυρος, τὰς πορίδας διεπόρθμευε, μισθὸν λέγων παρὰ θεῶν ταύτην τὴν πορείαν εἰληφέναι διὰ τὸ δίκαιος εἶναι. Καὶ αὐτὸς μὲν ὁ Ἡρακλῆς τὸν ποταμὸν διέβη. Δηϊάνειραν δὲ, μισθὸν αἰτηθεὶς, ἐπέτρεψε Νέσσῳ διακομίζειν. Ὁ δὲ διαπορθμεύων αὐτὴν, ἐπεχείρει βιάζεσθαι· τῆς δὲ ἀνακραζούσης αἰσθόμενος Ἡρακλῆς, ἐξελθόντα Νέσσον ἐτόξευεν εἰς τὴν καρδίαν. Ὁ δὲ μέλλων τελευτᾶν, προσκαλεσαμενος Δηϊάνειραν, εἶπε τηρεῖν λαβοῦσαν ἐν κόχλῳ, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν· τὸν τε ἰὸν ἀφῆκε κατὰ τῆς κύχλης, καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας, δέδωκεν· ἡ δὲ λαβοῦσα, ἐφύλαττε παρ' ἑαυτῇ. Διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, ὑπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων σφάξας εὐωχήσατο. ὡς δὲ ἦκεν εἰς Τραχῖνα πρὸς Κήϋκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ, Δρύοπας καταπολέμησεν. Αὖθις ἐκεῖθεν ὁρμηθεὶς, Αἰγιμίῳ βασιλεῖ Δωριέων συνεμάχησε. Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν, Κορώνου στρατηγοῦντος· ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. Βοηθήσας δὲ ὁ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ καὶ ἄλλων,

καὶ

καὶ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν. Ἀπέκλεινε δὲ καὶ Ἀλλαγόραν μετὰ τῶν τέκνων αὐτῦ βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει δαινύμενον, ὑβρισὴν ὄνλα καὶ Λαπίθων σύμμαχον· παριόνλα δὲ Ἴτωνα, εἰς μονομαχίαν προκαλεῖται αὐτὸν Κύκνος ὁ Ἄρεος καὶ Πελοπίας. Συσὰς δὲ, καὶ τῦτον ἀπέκλεινεν. Ὡς δὲ εἰς Ὀρχομενὸν ἦκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς μεθ' ὅπλων οὐκ εἴασε διέρχεσθαι. Κωλυόμενος δὲ παρελθεῖν, καὶ τῦτον ἀπέκλεινεν. Ἀφικόμενος δὲ εἰς Τραχῖνα, στρατείαν ἐπ' Οἰχαλίαν συνήθροισεν, Εὔρυλον τιμωρήσασθαι θέλων. Συμμαχόνλων δ' Ἀρκάδων αὐτῷ, καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος, καὶ Λοκρῶν τῶν Ἐπικνημιδίων, κτείνας μετὰ τῶν παίδων Εὔρυλον, αἱρεῖ τὴν πόλιν. Καὶ θάψας τῶν σὺν αὐτῷ στρατευσαμένων τὰς ἀποθανόνλας, Ἴππασόν τε τὸν Κήϋκος, καὶ Ἀργεῖον καὶ Μίλανα τὰς Λυκυμνίε παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμάλωλον. Καὶ προσορμισθεὶς Κναίῳ τῆς Εὐβοίας ἀκρωτηρίῳ, Διὸς Κναίε ἱερὸν ἱδρύσαλο. Μέλλων δὲ ἱερουργεῖν εἰς Τραχῖνα, τὸν Λίχαν * ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσονλα. Παρὰ δὲ τύτε τὰ περὶ τὴν Ἰόλην Δηϊάνειρα πυθομένη, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα τῇ ἀληθείᾳ φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσε, τύτῳ τὸν χιτῶνα ἔχρισεν· ἐνδὺς δὲ Ἡρακλῆς ἔθυεν· Ὡς δὲ θερμανθέντος τῦ χιτῶνος ὁ τῆς Ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε, τὸν μὲν Λίχαν τῶν ποδῶν ἀράμενος, καθηκόντισεν ἀπὸ τῆς Βοιωτίας, τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι· συναπεσπᾶτο δὲ καὶ αἱ σάρκες αὐτῷ. Τοιαύτῃ δὲ συμφορᾷ καθασχεθεὶς, εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται. Δηϊάνειρα δὲ αἰσθομένη † τὸ γεγονὸς, ἑαυτὴν ἀνήρησεν. Ἡρακλῆς δὲ ἐνθυμούμενος Ὕλλῳ, ὃς αὐτῷ ἐκ Δηϊανείρας ἦν παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρώθεντα γῆμαι, παραγενόμενος εἰς Οἴτην, ὅ ἐστιν ὄρος Τραχῖνος, ἐκεῖ πύραν ποιήσας, ἐκέλευσεν ἐπιβὰς ὑφάπτειν. Μηδενὸς δὲ τῦτο πράτειν ἐθέλοντος, Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων, ὑφάψας ἔλαβε τὰ τόξα παρ' αὐτῦ δωρεάν· Καιομένης δὲ τῆς πυρᾶς, λέγεται νέφος ὑποσὰν μετὰ βροντῆς αὐτὸν εἰς ἀρανὸν ἀναπέμψαι· Ἔνθα τυχὼν ἀθανασίας καὶ διαλλαγεὶς Ἥρᾳ, τὴν ἐκείνης θυγατέρα Ἥβην ἔγημεν· ἐξ ἧς αὐτῷ παῖδες Ἀλεξιάρης καὶ Ἀνίκητος ἐγένοντο.

* Turn. in marg. Κήϋκα. † Turn. Δηϊάνειρα αἰσθομένη δέ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΗΙΑΝΕΙΡΑ.

ΘΕΡΑΠΑΙΝΑ.

ΥΛΛΟΣ.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ΤΡΑΧΙΝΙΩΝ.

ΑΓΓΕΛΟΣ.

ΛΙΧΑΣ.

ΤΡΟΦΟΣ.

ΠΡΕΣΒΥΣ.

ΗΡΑΚΛΗΣ.

Προλογίζει δὲ ΔΗΙΑΝΕΙΡΑ.

ΤΡΑΧΙΝΙΑΙ.

ΔΗΙΑΝΕΙΡΑ, ΘΕΡΑΠΑΙΝΑ, ΥΛΛΟΣ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ.

ΙΑΜΒΟΙ.

ΔΗΙ. Λόγος μέν ἐς' ἀρχαῖος ἀνθρώπων φανείς,
" Ὡς οὐκ ἂν αἰῶν ἐκμάθοι βροτῶν, πρὶν ἂν
" Θάνοι τις, ὅτ' εἰ χρηστὸς, ὅτ' εἰ τῷ κακός."
Ἐγὼ δὲ τὸν ἐμὸν, καὶ πρὶν εἰς ᾅδου μολεῖν,
Ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρύν·
Ἥτις πατρὸς μὲν ἐν δόμοισιν Οἰνέως
Ναίουσ' ἐνὶ Πλευρῶνι, νυμφείων ὄκνον *

* Turn. in marg. ὕπνον.

1. Λόγος μὲν ἐς'] ὁ τρόπος ἀναχρονισμός. μιταγενέστερος γὰρ τῦ Ἡρακλέους ὁ Σόλων. φασὶ δὲ Ἀθηναίους αἰτήσασθαι Σόλωνα νόμων γραφὴν, τὸν δὲ διδόντα τὸ ἀψίκορον αὐτῶν, ὅρκον αἰτῆσαι αὐτούς. ἐπίμενε δὲ σὺν αὐτοῖς δεκαετίαν. καὶ παρενεγκάμενος μήποτε μένοντα αὐτὸν ἀναγκάσωσι μεταθεῖναί τι τῶν νομίμων, ἀναχωρῆσαι πρὸς Αὐδοὺς καὶ Κροῖσον. ἐξάμινος δὲ Κροῖσος αὐτὸν, δείκνυσι πάντα τὸν πλοῦτον, καὶ σταλήτας ἐν ὕπλοις χρυσοῖς, βωμόν τε Ἀπόλλωνος πάγχρυσον. καὶ καυχώμενος ἐρώτα αὐτὸν, τίς αὐτῦ πάντων ἀνθρώπων εὐδαιμονέστερος. ὁ δὲ ἔφη Κλέοβίν καὶ Βίτωνα· λυπηθεὶς δὲ ὁ βασιλεὺς, ἠρώτα τὸν τὰ δεύτερα αὐτῶν φέρονλα. τότε δὲ πάλιν ἕτερον προβαλλομένω, ἠγανάκτησε Κροῖσος, ὅτι μὴ τὰ δεύτερα τῆς εὐδαιμονίας αὐτῦ δέδωκεν. ὁ δὲ Σόλων συνεὶς τὴν λύπην, ἀπεφήνατο, ὅτι τέλος δεῖ ὁρᾶν βίε. φασὶ δὲ αὐτὸν τοὺνικαῦτα πόλεμον αἱρήμενον πρὸς Πέρσας, χρησθῆναι αὐτῷ παρὰ τῦ Διὸς, Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει. ὁ δὲ, νομίσας περὶ τῆς Περσῶν ἀρχῆς αὐτὸν λέγειν, ἐπολέμησε, καὶ ἡττηθεὶς ἐν πυρὶ βέβληται ὑπὸ Κύρε. καιόμενος δὲ Σόλωνα ἐπεκαλεῖτο. Ἀπόλλων δὲ ὄμβρον ἐπιβαλὼν, ἔσβεσε τὸ πῦρ. Κύρε δὲ ἐρωτήσαντος, διηγήσατο αὐτῷ τὸ ἀπόφθεγμα τῦ φιλοσόφε· ὅθεν θαυμάσας Κύρος τὸ τῆς τύχης ἀδηλον, μετὰ τιμῆς ἀπέπεμψε τὸν Κροῖσον.

4. Ἐγὼ δὲ τὸν ἐμὸν] ἐγὼ (φησὶ) τὸν ἐμὸν πάτρωνα καὶ πρὸ θανάτε διέγνωκα βαρὺν ὄντα καὶ ἀπτυχῆ καὶ δυστυχῆ.

7. Ναίουσ' ἐν Πλευρῶνι] πόλει τῆς Αἰτωλίας.

Ib. Νυμφείων ὄκνον] νυμφείων, ἀντὶ τῶν νυμφευμάτων. ὄκνον δὲ, τὸν φόβον. Ὅμηρος. " Ὀκνείω δ' ἵππων ἐπιβήμεναι."

Ἄλγιστον ἔσχον, εἴτις Αἰτωλὶς γυνή.
Μνηστὴρ γὰρ ἦν μοι πολλαμὸς (Ἀχελῴου λέγω)
Ὅς μ' ἐν τρισὶν μορφαῖσιν ἐξήτει πατρὸς,
Φοιτῶν ἐναργὴς ταῦρος· ἄλλοτ' αἰόλος
Δράκων ἑλικτός· ἄλλοτ' ἀνδρείῳ τύπῳ
Βύκρανος· ἐκ δὲ δασκίου γενειάδος
Κρουνοὶ διερράινοντο κρηναίου ποτοῦ.
Τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη
Δύστηνος, αἰεὶ καθανεῖν ἐπευχόμην
Πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε.
Χρόνῳ δ' ἐν ὑστέρῳ μὲν, ἀσμένη δέ μοι,
Ὁ κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς·
Ὃς εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης,
Ἐκλύεταί με· καὶ τρόπον μὲν ἂν πόνων
Οὐκ ἂν διείποιμ', (ᾐ γὰρ οἶδ') ἀλλ' ὅσις ἦν
Θακὼν ἀταρβὴς τῆς θέας, ὅδ' ἂν λέγοι.
Ἐγὼ γὰρ ἤμην * ἐκπεπληγμένη φόβῳ,

* Ald. Turn. ἦμην.

εἰ δὲ γράφεται ἄτλον, τὴν ταλαιπωρίαν· ἢ (ὡς Ὁμηρος)

" τὸ μεμορημένον καὶ πεπρωμένον".

Καλλίμαχος,

" Κεῖθεν πόνον ὀτλήσαντες".

ἡδεῖα δὲ ἡ φράσις καὶ ἡ ἱστορία.

12. Δράκων ἑλικτὸς] διὰ τὸ σκολιὸν τῶν ῥευμάτων.

13. Βύκρανος] οἱ ποταμοὶ τσυρόκρανοι διετυποῦντο, ἢ ὅτι μυκηθμῷ εἰσὶ παραπλήσιοι παρὰ τὰς ἐκβολάς. Ὅμηρος.

" Τύσσε' ἐκβαλλε θύραζε, μεμυκὼς, ἠΰτε
" ταῦρος·"

ἢ ὅτι σχίζηται τὴν γῆν ὡς οἱ βόες, ἢ διὰ τὸ τὰς ὑγρὰς παρὰ τοῖς ποταμοῖς εἶναι.

Ib. Ἐκ δὲ δασκίου γενειάδος] ὁ νῶτ· ἐκ δὲ τῆς δασύτριχος γενειάδος αὐτοῦ κατέῤῥει πλῆθος ὑδάτων, ὡς ἀπὸ κρήνης. παροιμία ἐκ πολλοῦ ὕπως εἰρημένη.

19. Ὁ κλεινὸς ἦλθε Ζηνὸς] τοῦτο γὰρ ἦν παρὰ Οἰνέως ὡρισμένον, τῷ νικῶντι Ἀχελῷον αὐτὴν ἐάσειν.

21. Ἐκλύεταί με] ἀντὶ τοῦ, ἀπαλλάττει με καὶ ἐλευθεροῖ τοῦ φόβου, τὸ Ἀχελῴῳ περιγενόμενος.

Ib. Καὶ τρόπον μὲν ἂν] τὸν τρόπον τῆς πρὸς ἀλλήλους αὐτῶν μάχης.

22. Οὐκ ἂν διείποιμι] ἐδεδοίκει γάρ. ἐκεῖνος δ' εἶπει ἂν, ὃς ἀφοβος αὐτὴν τὴν μάχην θεωρῶν ἐκάθητο. Ὅμηρος,

" Ἐνθάκεν ὑκ ἔτι ἔργον ἀνὴρ ὀνόσαιτο μετ-
" ελθών,"
" Ὅσις γ' ἄθλητος."

24. Ἐγὼ γὰρ ἤμην] δασέως ἴσα συηλθη τῷ, Ἀλλ' ὅσις ἦν θακὼν ἀταρβὴς τῆς θέας. οἱ δὲ ψιλῶς, ἀντὶ τοῦ ὑπῆρχον.

[25. Μή

Μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ·
Τέλος δ' ἔθηκε Ζεὺς Ἀγώνιος καλῶς,
Εἰ δὴ καλῶς· λέχος γὰρ Ἡρακλεῖ κριτὸν
Ξυσᾶσ', ἀεί τιν' ἐκ φόβου φόβον τρέφω
Κείνου προκηραίνουσα. νὺξ γὰρ εἰσάγει
Καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.
Κἀφύσαμεν δὴ παῖδας, ὃς κείνος ποτε,
Γήτης ὅπως ἄρουραν ἔκτοπον λαβών,
Σπείρων μόνον προσεῖδε κἀξαμῶν ἅπαξ.
Τοιοῦτος αἰὼν εἰς δόμους τε κἀκ δόμων
Αἰεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύονθ' ᾧ.
Νῦν δ' ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
Ἐνταῦθα δὴ μάλιστα ταρβήσασ' ἔχω.
Ἐξ ἧς γὰρ ἔκτα κεῖνος Ἰφίτου βίαν,
Ἡμεῖς μὲν ἐν Τραχῖνι τῇδ' ἀνάσσομοι
Ξένῳ παρ' ἀνδρὶ ναίομεν· κεῖνος δ' ὅπου
Βέβηκεν, ὐδεὶς οἶδε· πλὴν ἐμοὶ πικρὰς

25. Μή μοι τὸ κάλλος] μὴ διὰ τὸ κάλλος ἀλγηδόνι περιπέσω, τῷ Ἀχελῴῳ γαμηθεῖσα.

26. Τέλος δ' ἔθηκε Ζεὺς Ἀγώνιος] ὁ πρύτανις τῶν ἀγώνος. τὸ δὲ ὅλον ὅτως ἔχει, ὁ Ἀγώνιος Ζεὺς εὐτυχὴς τῷ ἀγῶνι τέλος ἐπίθηκεν, ἐμοὶ δὲ οὐκ εὐτυχές. Εὐτυχῶς μὲν, ὅτι ἀπήλλαξέ με τῆς Ἀχελῴου. Οὐκ εὐτυχῶς δὲ, ὅτι καὶ νῦν οὐχ ἥτιον ἀγωνιῶ διὰ τὴν τοῦ Ἡρακλέους ἀπουσίαν.

27. Λέχος γὰρ Ἡρακλεῖ κριτὸν] ἀντὶ τοῦ ἐκκριτον· διὰ τὸ καὶ περὶ Ἡρακλέους ἀγωνιᾶν.

28. Ξυσᾶσ'] ἀντὶτοῦ, συνελθοῦσα.

Ib. Τρέφω] ἀντὶ τοῦ, ἔχω καὶ αὔξω.

29. Προκηραίνουσα] ἀγωνιῶσα, μεριμνῶσα κατα τὸ κίαρ. ὅ ἐστιν, ἐν βάθει βουλευομένη. Καὶ Εὐριπίδης,

" Τί ποτ', ὦ τέκνα, τάδε κηραίνετε;"

Ib. Νὺξ γὰρ εἰσάγει] ἀντὶ τοῦ, νυκτὸς ἔρχεται, καὶ νυκτὸς ἐξορμᾶται, ὥστε διαδοχὴν μοι τῶν πόνων γίγνεσθαι.

32. Γήτης] γεωργὸς, ὁ τὴν γῆν ἐργαζόμενος.

Ib. Ἔκτοπον] ἐξω καὶ πόρρω ὄσαν.

35. Λατρεύονθ' ᾧ] ὑπηρετοῦντα τῷ Εὐρυσθεῖ.

36. Ὑπερτελὴς] ἀντὶ τοῦ, ὑπὲρ τὸ τέλος γέγονεν. Οἷον, τοῦ τέλους τῶν ἄθλων κρείσσων ὤφθη καθορθώσας αὐτὸς, ἢ ὑπέρτερος αὐτῶν ἐστιν, ἐγκρατὴς καὶ ὑπεράνω.

39. Ἐν Τραχῖνι] πόλις Θετταλίας ἡ Τραχὶν, ἐν ᾗ Ἡρακλῆς κατῴκησε διὰ τὸν τοῦ Ἰφίτου φόνον, κατὰ τὸν νόμον.

40. Ξένῳ παρ' ἀνδρὶ] τῷ Κήυκι, ὃς ἦν παῖς Ἀμφιτρύωνος ἀδελφῷ. Καὶ Ἡσίοδος,

" Τραχῖνα δέ τε παριλαύνων
" Ἐς Κήυκα ἀνακτα."

43. Σχεδὸν

Ὠδῖνας αὐτῇ προσβαλὼν ἀποίχεται.
Σχεδὸν δ' ἐπίσταμαί τι πῆμ' ἔχουσά νιν.
Χρόνον γὰρ οὐχὶ βαιὸν, ἀλλ' ἤδη δέκα
Μῆνας, πρὸς ἄλλοις οὖσ', ἀκήρυκτος μένει.
Κἄστιν τι δεινὸν πῆμα· τοιαύτην ἐμοὶ
Δέλτον λιποῦσ' ἔσειχε, τὴν ἐγὼ θαμὰ
Θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.

ΘΕΡ. Δέσποινα Δηϊάνειρα, πολλὰ μέν σ' ἐγὼ
Κατεῖδον ἤδη πανδάκρυτ' ὀδύρμαθ'
Τὴν Ἡρακλειον ἔξοδον γοωμένην·
Νῦν δ', εἰ δίκαιον τοὺς ἐλευθέρους φρενῶν
Γνώμαισι δέλαις, κἀμὲ χρὴ φράσαι τόσον,
Πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
Ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινά·
Μάλιστα, δ', ὅπερ εἰκὸς, Ὕλλον, εἰ πατρὸς
Νέμοι τίν' ὥραν τῷ καλῶς πράσσειν δοκεῖν.
Ἐγγὺς δ' ὅδ' αὐτὸς ἀρτίπους θρώσκει δόμους.
Ὥστ' εἴ τι σοὶ πρὸς καιρὸν ἐννέπειν δοκῶ,
Πάρεστι χρῆσθαι τἀνδρὶ τοῖς τ' ἐμοῖς λόγοις.

43 Σχεδὸν δ' ἐπίσταμαι] ὑποπτεύω, ὑποχῶ, οἶδμαι.

45. Ἀκήρυκτος μένει] ἄσημος· οὐ μηνύμενος ὅπου ὢν ἐστίν. Ὃν οὐδεὶς ἐλθὼν κηρύττει καὶ ἀπαγγέλει ᾧ τότ' ἐστίν.

47. Δέλτον λιποῦσ' ἔσειχεν] ὡς τῷ Ἡρακλεῖ τύπον διαθέσεως γράψαντος εἰς δέλτον, καὶ καταλελοιπότος, ὡς, εἰ μὴ ἔλθοι διὰ τοσούτου χρόνου, γνῶναι αὐτὸν τετελευτηκέναι, μετὰ τὰς πεντεκαίδεκα μῆνας ἀναγιῶσαν ποιῆσαι αὐτὴν τὰ ἐντεταλμένα.

48. Θεοῖς ἀρῶμαι] εὔχομαι σοῖς θεοῖς, μηδὲν λυπηρὸν ἐγγεγραμμένον ἔχουσαν λαβεῖν τοῦτο γάρ ἐστι τὸ πημονῆς ἄτερ.

50. Πανδάκρυτ' ὀδύρμαθ'] διὰ πανδακρύτων ὀδυρμάτων· ὡς τὸ, διά τ' ἔντια καὶ μιλαν αἷμα.

52. Φρενῶν] νωθετεῖν, εἰς φρόνησιν ἄγειν.

53. Τὸ σὸν] τὸ σοὶ συμφέρον. ἢ τόσον, ἀντὶ τοῦ ὀλίγον.

54. Πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις] ἦσαν γὰρ αὐτῇ παῖδες ἐξ Ἡρακλέους, Ὕλλος, Κτήσιππος, Γλήνος, Ὀλίτης. Ἦν δὲ Ἡρακλεῖ καὶ ἕτερος Ὕλλος ἐκ Μελίτης.

56. Εἰ πατρὸς νέμοι τίν' ὥραν] ἴσον, φρονεῖδα. ὡς καὶ Ἡσίοδος,

"Ὥρη γάρ τ' ὀλίγη πίλεται."

ὁ δὲ νὸς, ἵνα μάθῃς εἰ φρονεῖζει τῷ πατρὸς, ὑπὲρ τοῦ δοκεῖν καλῶς πράττειν ἐκεῖνον.

58. Ἀρτίπους] ὅ ἐστιν, ἀρτίως καὶ ἡμφεσμένως τῷ καιρῷ πορεύεται.

61. Καὶ

ΔΗΙ. Ὦ τέκνον, ὦ παῖ, " καὶξ ἀγεννήτων ἄρα
" Μῦθοι καλῶς πίπ[τουσιν·" ἥδε γὰρ γυνὴ,
Δέλη μὲν, εἴρηκεν δ' ἐλεύθερον λόγον.
ΥΛΛ. Ποῖον; δίδαξον, μῆτερ, εἰ διδακτά μοι.
ΔΗΙ. Σὲ, πα[τρὸς ὄτω δαρὸν ἐξενωμένα, 65
Τὸ μὴ πυθέσθαι πᾶ 'στιν, αἰσχύνην φέρει.
ΥΛΛ. Ἀλλ' οἶδα, μύθοις εἴ τι πιστεύειν χρεών.
ΔΗΙ. Καὶ πᾶ κλύεις νιν, τέκνον, ἱδρύσθαι χθονός;
ΥΛΛ. Τὸν μὲν παρέλθοντ' ἄροτον ἐν μήκει χρόνα,
Λύδῃ γυναικὶ φασί νιν λάτριν πονεῖν. 70
ΔΗΙ. Πᾶν τοίνυν, εἰ καὶ τῦτ' ἔτλη, κλύοι τὶς ἄν.
ΥΛΛ. Ἀλλ' ἐξαφεῖται τῦδέ γ', ὡς ἐγὼ κλύω.
ΔΗΙ. Πᾶ δῆτα νῦν ζῶν ἢ θανὼν ἀγγέλλε[ται;
ΥΛΛ. Εὐβοῖδα χώραν φασὶν Εὐρύτα πόλιν
Ἐπιστρα[τεύειν αὐτὸν, ἢ μέλλειν ἔτι. 75
ΔΗΙ. Ἆρ' οἶσθα δῆτ', ὦ τέκνον, ὡς ἔλειπέ μοι
Μαν[τεῖα πιστὰ τῆσδε τῆς χώρας πέρι;
ΥΛΛ. Τὰ ποῖα, μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.
ΔΗΙ. Ὡς ἢ τελευτὴν τῦ βίυ μέλλει τελεῖν,
Ἢ τῦτον ἆρας ἆθλον, εἰς τὸν ὕστερον 80
Τὸν λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν·
Ἐν ἓν ῥοπῇ τοιᾶδε κειμένῳ, τέκνον,

61. Κἀξ ἀγεννήτων] δυσγενῶν.

63. Ἐλεύθερον λόγον] σπουδαῖον, ἐλευθέρου πρέποντα.

64. Εἰ διδακτά μοι] εἰ προσήκει μαθεῖν.

65. Ἐξενωμένα] ἐν ξένῃ διατρίβοντος.

69. Ἄροτον] τὸν ἐνιαυτόν. ὥπαξ γὰρ τῦ ἔτους ἀροτριᾶται ἡ γῆ.

71. Πᾶν τοίνυν] ἀκούσεται τοίνυν τὶς, ὅτι Ἡρακλῆς πᾶν αἰσχρὸν ὑπέμεινεν, ἵ ἀληθῆ ὑπὲρ τῦ δουλεύειν τῇ Ὀμφάλῃ.

72. Ἀλλ' ἐξαφεῖται] ἀφίεθη. ἀπηλλάγη τῦ δουλεύειν.

74. Εὐβοῖδα χώραν] Ἔνιοί φασι καὶ Θεσσαλίας εἶναι Οἰχαλίαν, ὧδέν δὲ ἄτοπον συγχυθῆναι.

77. Χώρας πιρὶ] τῆς Εὐβοίας.

79. Ὡς ἢ τελευτὴν] ἴλεγέ (φησιν) ὅτι ἐν Οἰχαλίᾳ τιθήξομαι, ἢ σωθεὶς εὐδαιμονήσω τὸν ἐπίλοιπον χρόνον. πῶ ἂν ἀγγέλλεται ἢ ζῶν εἶναι ἢ θανών;

82. Ἐν ἓν ῥοπῇ] ἐν κινδύνοις (φησὶ) τοιούτοις, καὶ ἐπὶ ξυρῷ ἀκμῆς ἑσταμένῳ, ὃ πορεύσῃ συλληψόμενος αὐτῷ καὶ συμπαγωνιῶμενος;

83. Ἦκε

Οὐκ εἶ ξυνέρξων, ἡνίκ' ἦ σεσώσμεθα,
Κείνῳ βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα,
Καὶ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος;
ΤΛΑ. Ἀλλ' εἶμι, μῆτερ· εἰ δὲ Θεσφάτων ἐγὼ
Βάξιν κατῄδειν τῶνδε, κἂν πάλαι παρῆν·
Νῦν δ' ὁ ξυνήθης πότμος οὐκ ἐᾷ πατρὸς
Ἡμᾶς προλαβεῖν, οὐδὲ δειμαίνειν ἄγαν.
Νῦν δ' ὡς ξυνίημ', οὐδὲν ἐλλείψω τὸ μὴ
Πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι.
ΑΗΙ. Χώρει νῦν, ὦ παί· "καὶ γὰρ ὑστέρῳ τόγ' εὖ
"Πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ."

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὃν αἰόλα νὺξ ἐναριζομένα
Τίκτει, καλυνάζει τε, φλογιζόμενον
Ἅλιον, ἅλιον αἰτῶ
Τοῦτο * καρύξαι τὸν Ἀλκμή-
νας, πόθι μοι, πόθι παῖς †
Ναίει πότ', ὦ λαμ-
πρᾶ σεροπᾷ φλεγέθων·
Ἢ ποντίᾳς αὐλῶνας, ἢ

* Aldus, τέτῳ. † Aldus, πόθι μοι παῖς.

83. Ἡνίκ' ἢ σεσώσμεθα] τῷ πατρί.

86. Εἰ δὲ Θεσφάτων ἐγὼ] εἰ δὲ καὶ ἐπιςάμην, ἢ προηκηκόειν (φησὶν) ὅτι ταῦτα πρεσβεῖται, πάλαι ἂν ἐγὼ συμπαρήμην αὐτῷ.

92. Χώρει νῦν, ὦ παῖ] καὶ νῦν (φησὶν) ὦ παῖ, ἄπιθι, εἰ καὶ μὴ πρότερον. Καὶ γὰρ τὸ βραδέως τὰ δέοντα ποιεῖν, ἐπειδὰν ἀκμὴν τὶς κέρδος ἀποφέρηται. Τετέχνιν, εἰ καὶ βραδέως ἦκασας, ὠφελήσεις αὐτὸν παραγιόμενος, καὶ κέρδος ποιήσαι.

94. Ὃν αἰόλα νὺξ] μέλαινα, ὡς οἱ νεώτεροι ἢ ποικίλη, διὰ τὰ ἄστρα· ἢ ταχεῖα, διὰ τὸ νυκτὶ δοῦ παρ' Ὁμήρῳ.

95. Τίκτει] ἀντὶ τοῦ ἀνατέλλειν ποιεῖ.

Ib. Φλογιζόμενον] λάμποντα.

96. Ἅλιον αἰτῶ] παρακαλῶ.

97. Τὸν Ἀλκμήνας,] παῖδα.

98. Πόθι μοι] λείπει οἶκει, διατρίβει.

101. Ἢ ποντίᾳς αὐλῶνας] τὰς παρὰ θαλάτταν τόπους τινὰς, αὐλῶνας καλεῖ· ἐκ δὲ τούτου τὰ πελάγη. φησὶν ἄρα ἢ ἐν θαλάττῃ [σιν] ἀντὶ τοῦ νήσους. Αὐλὼν γὰρ τὸ τινὸ μακρὸ

Δισσαῖς * ἀπείροις † κλιθεὶς,
Εἶπ', ὦ κραιπνεύων κατ' ὄμμα.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ποθεμένᾳ γὰρ φρενὶ πυνθάνομαι
Τὰν ἀμφινεικῆ Δηϊάνειραν ἀεὶ,
Οἷά τιν' ἄθλιον ‡ ὄρνιν,
Οὔ ποτ' εὐνάζειν ἀδακρύ-
των βλεφάρων πόθον, ἀλ-
λ' εὔμναστον ἀνδρὸς
Δεῖμα φέρουσαν ὀδὲ,
Ἐνθυμίοις εὐναῖς ἀναν-
δρώτοις τρύχεσθαι, κακὰν
Δύστανον ἐλπίζουσαν αἶσαν.

ΣΤΡΟΦΗ Β.

Πολλὰ γὰρ ὥστ' ἀκάμαντος

* ALD. Δισσαΐσιν. † ALD. ἀπείρυσι. ‡ TURN. in marg. ἄλιον.

μακρὸν πέλαγος. ἀπὸ δὲ τῶ πελάγους τὸ περιχεόμενον ὑπ' αὐτῆ δηλοῖ, ὅ ἐστι τὰς νήσους.

102. Ἢ δισσαῖσιν ἀπείροισι κλιθεὶς] ἀντὶ τῶν, καὶ πρὸς τὰ ἕῶα καὶ ἑῶα μέρη νεύων, ἤγουν, ἀνατέλλων, ἢ δύνων. Καὶ Ὅμηρος·

" Ἥλιος ὃς πάντ' ἐφορᾷ."

103. Ὦ κρατισεύων] ὦ νικῶν πάντας τοὺς θεοὺς κατὰ τὸ ὁπλικόν.

105. Τὰν ἀμφινεικῆ Δηϊάνειραν] λείπει ἡ διά. Τὴν περιμάχητον ἐπιξήμαλικῶς. Πενθάνομαι (φησὶ) τὴν ἀμφινεικῆ Δηϊάνειραν μηδέποτε τὰς ὀφθαλμὰς ἀδακρύτους ἔχειν, ἀλλ' ἀεὶ τῷ πάθῳ τῶν δακρύων νικωμένην ὀδύρεσθαι.

106. Οἷα τιν' ἄθλιον ὄρνιν] τὴν ἀηδόνα. γράφεται καὶ ἄλιον ὄρνιν, ἤγουν, τὴν ἀλκυόνα, ἡ τίκτει ἐν ταῖς ὑφάλοις πέτραις, εἶτα τῶν κλῶν ἀφανιζομένων, δακρύει.

107. Οὔποτ' εὐνάζειν] τὸν πόθον τῶν δακρύων κοιμίζειν, ἀλλ' ἐγρηγορέναι καὶ ἀεὶ δακρύειν.

Ib. Ἀδακρύτων] πολυδακρύτων.

108. Ἀλλ' εὔμναστον ἀνδρὸς] ἀλλὰ τὸ δεῖμα τὸ ὑπὲρ τῶ ἀνδρὸς ἀεὶ μνημονεύουσαν ἐν ταῖς ἀνάνδροις κοίταις, τρύχισθαι κατὰ ψυχήν.

111. Ἐνθυμίοις εὐναῖς] ταῖς μεριμνηλικαῖς, ταῖς πολυφροντίσοις.

Ib. Ἀνανδρώτοισι] ταῖν ἐρήμαις τῶ ἀνδρός.

114. Πολλὰ γὰρ] τὸ πολλὰ πρὸς τὸ κύματα.

Ib. Ὥστ' ἀκάμαντος ἢ νότου] ὥσπερ γὰρ (φησὶν) ἂν τις θεωρῇ κυματωμένην τὴν θάλατταν, ἢ νότου πνέοντος, ἢ βορέου. τῶν δὲ κυμάτων τὰ μὲν ἀπιόντα, τὰ δὲ εἰσιόντα ἐπιχέμενα. ὕστω καὶ Ἡρακλέα καθάπερ τι πέλαγος κακῶν τὸ μέν τι παρὸν λυπεῖ, τὸ δ' αὐξόμενον ἀπόκνιται.

Ἢ νότῳ ἢ βορέα τὶς
Κύμαλα εὐρεῖι πόντῳ
Βάντ' ἐπιόνλα τ' ἴδοι·
Οὕτω δὲ τὸν Καδμογενῆ
Τρέφει· τὸ δ' * αἴξει βιότῳ
Πολύπονον, ὥστε † πέλαγος
Κρήσιον· ἀλλά τις θεῶν
Αἰὲν ἀμπλάκη[ον αἶδα
Σφε δόμων ἐρύκει.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ὧν ἐπιμεμφομένα σ', ἀ-
δεῖα μὲν, ἀντία δ' οἴσω.
Φαμὶ γὰρ ἂν ἀποτρύειν
Ἐλπίδα τὰν ἀγαθὰν

* Turn. in marg. τὸν δ'. † Ald. ὥσπερ. reste.

118. Καδμογενῆ] τὸν Θηβαγενῆ Ἡρακλέα. Ἡσιόδος,—"ὑφ' Ἡρακλῆος Θηβαιγενέος κλέος εἴη.

119. Τρέφει, τὸ δ' αὔξει βιότῳ πολύπονον] τρέφει ἀντὶ τοῦ ἔχει. Αὔξει ἀντὶ τοῦ αὐξέσθαι. Ἀντὶ τροφῆς παθημερινῆς καὶ αὐξήσεως εἰσὶν αὐτῷ οἱ πόνοι. Οὕτω (φησὶ) τὸ μὲν τῶν κακῶν ἔχει αὐτὸν, τὸ δὲ αὔξεται κατ' αὐτό. Ἄλλως· Τρέφει, ἀντὶ τοῦ τρέφει, κατὰ ἀντίφρασιν· ἔχει γὰρ ὕστως· τὸ μὲν αὐτὸν καταπονεῖ παρὸν, τὸ δ' αὔξει καὶ κορυφοῦται. Ἢ ὅτι οἰκεῖον, τῷ ἥρωϊ τὸ τρέφειν καὶ αὔξειν, ὥστε τρέφεσθαι καὶ αὔξεσθαι αὐτῷ τὴν ἀρετὴν διὰ τῶν πόνων. Καὶ Ἰσοκράτης· "Οἷς ἡ "τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χα-"ρακτῆρα ἐτοῖς ἔργοις ἐπέθηκε". βίον δὲ πέλαγος, τὸν χειμαζόμενον βίον λέγει.

121. Κρήσιον] ὡς πόνων χειμαζομένης τῆς περὶ Κρήτην Θαλάσσης.

Ib. Ἀλλά τις θεῶν] Θάρρει (φησὶν) ὦ Δηϊάνειρα. Θεῶν γάρ τις αὐτὸν ἀναμάρτητον καὶ δίκαιον ὄντα κωλύει ἀπὸ τῆ ἕδρας ἀμπλάκητον, ἐπιλυχνῖ, παρὰ τὸ μὴ ἀναπλακεῖν. Οἷον, κωλύει αὐτὸν μὴ ἐπιτυχεῖν τῆ ἕδρας. ἀμπλάκιον, ἄπταιστον.

124. Ὧν ἐπιμεμφομένα σ'] περὶ δὲ ὧν μεμφομένη σοι, ὅτι ἀ προσηκόντως ἐδύρη· Θεοὶ γὰρ αὐτὸν σώζουσιν.

Ib. Ἀδεῖα μὲν, ἀντία δ' οἴσω] ἐναντία ὧν περὶ τῶ Ἡρακλέους φρονεῖς· παραιτεμένη δὲ τῷ ἀδεῖα, ὡς ἐναντία λέγουσα τῇ ἀνάσσῃ, ἐπάγει μὴ χρῆναι αὐτὴν ἀποβάλλειν τὴν ἀγαθὴν ἐλπίδα περὶ τῶ ἀνδρός· φησὶ γὰρ αὐτὸν ζῆν· ἀντία δὴ, ὅτι τὸ ἐναντίον νομίζει ἡ Δηϊάνειρα, ἀποθανεῖν αὐτόν.

126. Οὐκ ἀποτρύειν] οὐκ ἀποβάλλειν, οὐκ ἀπεδοκιμάζειν.

128. Ἀνάλγητα γὰρ] νέα γὰρ ἄλγεα τοῖς ἀνθρώποις ὁ Ζεὺς τὰ πράγματα πεποίηκε. Δοκεῖ γάρ τι πάθοι. Οἷον, συμμιγνύουσιν οἱ θεοὶ τὰ πράγματα τοῖς ἀνθρώποις πήματι καὶ χαρᾷ, καὶ χρῆσιν ἔξεως τὰ πράγματα ὥσπερ τὰς τῆς ἄρκτου γραφάς.

131. Ἀλλ'

Χρῆναι σ'· " ἀνάλγητα γὰρ ἀ-
" δ' ὁ πάντων κραίνων * βασιλεὺς
" Ἐπέβαλε † θνατοῖς Κρονίδας.
" Ἀλλ' ἐπὶ τῆμα καὶ χαρὰ
" Πᾶσι κυκλῶσ', οἷον ἄρκτ
" Στροφάδες κέλευθοι."

ΕΠΩΔΟΣ.

Μένει γὰρ ὅτ' αἰόλα νὺξ
Βροτοῖσιν, ὅτε κῆρες,
Οὔτε πλοῦτος, ἀλλ' ἄφαρ
Βέβηκε· τῷ δ' ἐπέρχεται,
Χαίρειν τε καὶ τέρπεσθαι.
Ἃ καί σε τὰν ἄνασσαν
Ἐλπίσιν λέγω
Ταὐδ' αἰὲν ἴσχειν· ἐπεὶ
Τίς ὧδε τέκνοισι
Ζῆν' ἄβουλον εἶδεν;

ΙΑΜΒΟΙ.

ΔΗΙ. Πεπυσμένη μὲν, ὡς ἀπεικάσαι, πάρει,

* ALDUS, ὁ πάντα κραίνων. τεῦτὸ. † ALDUS, ἐπέβαλλε.

131. Ἀλλ' ἐπὶ τῆμα καὶ χαρὰ] ἐπὶ χαρᾷ δὲ καὶ τήματι, πᾶσι κυκλοῦσιν οἱ Θεοί. Πῆμα δὲ ἀντὶ τοῦ τήματι κατὰ ἀποκοπήν.

132. Πᾶσι κυκλῶσιν] ἀντὶ τοῦ κυκλοῦνται τὰ τῶν ἀνθρώπων πράγματα. ἢ τὸ κυκλοῦσιν ἐπὶ τῶν Θεῶν.

Ib. Οἷον ἄρκτ στροφάδες] τὰς ἄρκτ στροφὰς παρέλαβεν, ἐπεὶ διαφανεῖς τί εἰσι καὶ ἱκανὰ εἰλίπορον ποιοῦσθαι τὴν κίνησιν. Καθόλυ γὰρ ἐξύτερον τὰ νότια κινοῦνται, διὰ τὸ μείζονα κύκλον διεύθυνειν. Ἄρατος,

" Αὐτῇ καὶ κριοῖο Θεώταλαί εἰσι κέλευθοι."

138. Στέρισθαι] ἀντὶ τοῦ λυπεῖσθαι καὶ στέρισθαι χαρᾶς. Τίνος δὲ στέρισθαι; δηλονότι τοῦ χαίρειν.

139. Ἃ καί σε τὰν ἄνασσαν] ἄπειρ καί σε λέγω χρῆναι φρονεῖν καὶ χρηστοῖς ἐλπίσι βόσκεσθαι, Ἠδῶτως, καί σε βούλομαι φρονεῖν, ὅτι τρέπονται καὶ ἐκ κακῶν ἐπὶ τὰ ἀγαθὰ καὶ ἀνθρώπινα.

143. Ζῆν ἄβουλον] δύσβουλον, καὶ κακόβουλον, μὴ βουλευόμενον τοῖς ἰδίοις παισὶ τὸ συμφέρον. Διὸ μηδὲν φαῦλον περὶ Ἡρακλέης ἐλπίζει. Οὐ γὰρ παροιχῶ τὸν ἑαυτοῦ παῖδα ὁ Ζεύς.

144. Πεπυσμένη] ἐξ ἀκοῆς ἐλήλυθας τῶν ἐμῶν αἰσθομένη κακῶν.

Πάθημα τὐμόν· ὡς δ' ἐγὼ θυμοφθορῶ,
Μήτ' ἐκμάθοις παθοῦσα· * νῦν δ' ἄπειρος εἶ·
Τὸ γὰρ νεάζον, ἐν τοιοῖσδε βόσκε]αι
Χώροισιν αὐτῆ· † καί νιν ὲ θάλπος θεῦ,
Οὐδ' ὄμβρος, ὐδὲ πνευμάτων ὐδὲν κλονεῖ,
Ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίαν
Ἐς τοῦθ', ἕως τὶς ἀντὶ παρθένε γυνὴ
Κληθῇ, λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος,
Ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη.
Τότ' ἄν τις εἰσίδοι]ο τὴν αὐτῆ σκοπῶν
Πρᾶξιν, κακοῖσιν οἷς ἐγὼ βαρύνομαι.
Πάθη μὲν ἕν δὲ πόλλ' ἔγωγ' ἐκλαυσάμην,
Ἐν δ' οἷον ὅπω πρόσθεν, αὐτίκ' ἐξερῶ.
Ὁδὸν γὰρ ἧμος τὴν τελευταίαν ἄναξ
Ὥρμᾶτ' ἀπ' οἴκων Ἡρακλῆς, τότ' ἐν δόμοις
Λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
Ξυνθήμαθ', ἅ 'μοι πρόσθεν οὐκ ἔτλη ποτὲ,
Πολλὰς ἀγῶνας ἐξιὼν, ὅπω φράσαι·

* Aldus, παρῆσα.

147. Τὸ γὰρ νεάζον] ἡ γὰρ νέα ἡλικία ἐν τοῖς τόποις τῆς ἀμεριμνίας βόσκεται.

148. Χώροισιν αὐτῆ] τὸ αὐτῆ τινὲς ψιλῶσι, καὶ νοῆσιν τὸ αὐτόθι. ἔνιοι δὲ ἐασύνωσιν, ἀντὶ τῶ ἑαυτῆ· ἤγουν, τοῖς ἰδίοις ἑαυτῆ τόποις ἀμεριμνως βόσκεται τὸ νεάζον. καὶ ὅτε καύματι φθείρεται, ὅτε ὑετῷ, ὅτε ἀνέμων σφοδρότητι.

Ib. Οὐ θάλπος Διῶ] ἀντὶ τοῦ, εὐδιμία μεταβολή.

150. Ἀλλ' ἡδοναῖς] ἀλλὰ ταῖς ἡδοναῖς εἰ, ἴδιός ἐυθυμίας ἔρχεται καὶ αἴρεται, ἕως τὶς γαμηθῇ, ὁὸν (φησὶ) παράττει τὴν νέαν ἡλικίαν, ἀλλ' ὡς πεῖχος ἀβρᾶγὲς ὲ φθείρεται ὑπὸ τινος, ὅπως οὐδὲ ἡ νεότης, ἐσπειγμένη ὑπὸ ἀμεριμνίας τῶν ἐν τῷ βίῳ κακῶν. νέα γὰρ φρονὶς, ὐκ ἀλγεῖν φιλεῖ.

151. Ἐς τοῦθ', ἕως τὶς ἀντὶ παρθένε γυνὴ κληθῇ] τηνικαῦτα γὰρ ἐκείδαν γαμηθείη τις, εἰς τὰ καθ' ἑαυτὴν ἀποβλέπει καὶ συνοικᾶ, καὶ ὑπὲρ τῶ ἀνδρὸς αὐτῆς καὶ τῶν τέκνων φροντίζει.

154. Τὴν αὐτῆ] τὸ αὐτῶ ὡς πρὸς τὸν νέον ἀποδίδωκε.

Ib. Ἄν τις εἰσίδοιτε] εἴ τις (φησὶν) ἔξω ἀμεριμνίας ὢσα, εἰς φροντίδας εἰσῆλθε γαμηθεῖσα, ἀπὸ τῆς πρίξεως αὐτῆς, ἤγουν τῶν ἑαυτῆς παθῶν, ἅπερ ὀηλονότι ἐπῆλθεν ἐν αὐτῆ, ἴδοι καὶ τὰ κακὰ, ἐν οἷς ἐγὼ λιπαῦμαι.

156. Πάθη μὲν ἕν δὴ] τὰ μὲν ἄλλα πάθη τῶ Ἡρακλέες πολλάκις ἀπωδυράμην, ἓν δ' εἰπεῖν νῦν βούλομαι, οἷον ὐκ εἰρηκώς πω.

158. Ὁδὸν γὰρ ἧμος] ὅτι πρὸ πολλῶ χρόνε χρησμὸς ἦν αὐτῶ ἐκδημίας.

164. Νῦν

Ἀλλ' ὥς τι δράσων εἶρπε, κἀθανούμενος.
Νῦν δ', ὡς ἔτ' ἐκ ὢν, εἶπε μὲν λέχους ὅτι
Χρεῖ' ἦ μ' ἑλέσθαι κτῆσιν· εἶπε δ' ἦν τέκνοις
Μοῖραν παλρώας γῆς διαιρετὸν νέμοι *,
Χρόνον προτάξας ὡς τρίμηνον, ἡνίκ' ἂν
Χώρας ἀπίῃ, καἰναύσιος βεβὼς,
Τότ' ἢ θανεῖν χρεῖ' ἦ σφε τῷδε τῷ χρόνῳ,
Ἢ τῦθ' ὑπεκδραμόνλα τὸ χρόνε τέλος,
Τολοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.
Τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα
Τῶν Ἡρακλείων ἐκλελυλᾶσθαι πόνων·
Ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί πολε
Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη.
Καὶ τῶνδέ ναμέρλεια συμβαίνει χρόνε
Τὸ νῦν παρόνλος, ὡς τελεσθῆναι χρεών.
Ὥσθ' ἡδέως εὔθυσαν ἐκπηδᾶν ἐμὲ

* Aldus, μίνειν.

164. Νῦν δ' ὡς ἔτ' ἐκ ὢν] ἀεὶ μὲν ἐξῄει ὡς ἐπὶ ὁμολογημένῳ κατορθώματι· νῦν δὲ, ὡς τιθηξόμενος ἐντεῦλατό μοι, ἵνα πρόνειαν ἄλλε ἀνδρὸς ἐμαυτῇ ποιήσωμαι. εἶπε δὲ καὶ περὶ τῆς ἐκάστε τῶν τέκνων μερίδος.

165. Χρεῖ' ἦ μ' ἑλέσθαι κτῆσιν] ἔλεγε προσήκειν ἐμὲ λαβεῖν τὴν προῖκα καὶ τὰ ὧρα, ἃ ὑπὲρ τῦ λέχους ἐκτησάμην. Ἄλλως· Χρεῖ' ἦ μ' ἑλέσθαι κτῆσιν, ἤγαν, προσοῖσθαι ἐτέρᾳ ἀνδρὸς, ἢ σώζειν τὸ λέχος.

170. Ὑπεκδραμόνλα] διαφυγόντα τὸν θάνατον.

172. Τοιαῦτ' ἔφραζε] ἡ ἐλπὶς τοιαῦτα ἔλεγε παρὰ θεῶν εἱμάρθαι, ὥςε τῶν πόνων θάτερον αὐτῷ τέλος ἔσεσθαι τῶν πόνων.

173. Τῶν Ἡρακλείων] τῶν ἑαυτῦ πόνων τὸ τέλος. πολὺ δὲ τὸ τοιῦτον εἶδος παρὰ ποιηταῖς.

175. Δωδῶνι] τὴν ἐν Δωδῶνι τῆς Θεσπρωτίας φηγὸν, ἐφ' ᾗ δύο περιστεραὶ καθίμεναι ἐμαντεύναλο ὡς ἀπ' εὐθείας τῆς ἡ Δωδώνη. Ὁ μητρὸς δὲ Δωδώνην εἶπεν. Εἰς τὸ αὐτό. Δωδῶνι δισσῶν ἐκ πελειάδων. Ὑπεράνω τῦ ἐν Δωδώνῃ μαντείε δύο ἦσαν πίλειαι, δι' ὧν ἐμαντεύετο ὁ Ζεὺς, ὡς Ἀπόλλων ἀπὸ τρίποδος. καὶ οἱ μὲν ὕτω λέγεσι θεσπίζειν· οἱ δὲ ὕτω· τὰς ἱερείας γραίας ὔσας καὶ πρόπολιωμένας μαντεύεσθαι· τὰς δὲ γέροντας οἱ Μολοσσοὶ πολιὰς ὀνομάζεσιν. Ἡρόδοτος δὲ ἐν δευτέρᾳ φησὶ, Πελειάδες δέ μοι δοκέεσι κεκλῆσθαι πρὸς Δωδωναίων αἱ γυναῖκες, διότι βάρβαροι ἦσαι ἐδόκεον ὁμοίως ὄρνισι φθέγγεσθαι. μετὰ δὲ χρόνον, δοκῶσιν ἀνθρωπίνῃ φωνῇ φθέγξασθαι, ἐπείπερ ἐκ Θηβέων Αἰγυπτίων ἦσαν. Εὐριπίδης δὲ τρεῖς γεγενῆναι φησὶν αὐτάς· οἱ δὲ δύο. καὶ τὴν μὲν ἐς Διβύην ἀφικέσθαι Θήβηθεν, εἰς τὸ τῦ Ἄμμωνος χρηστήριον· τὴν δὲ εἰς τὸ περὶ τὴν Δωδώνην. ὡς καὶ Πίνδαρος Παιᾶσιν.

176. Καὶ τῶνδε] καὶ τῶν εἱρημένων ὑπὸ Ἡρακλέος ἀληθεία νῦν ἀποβαίνει ἐν τῷ παρόντι χρόνῳ, ὥςε ὑπότερον πραχθῆναι.

Φόβῳ, φίλαι, ταρβοῦσαν, εἴ με χρὴ μένειν
Πάντων ἀρίστου φωτὸς ἐστερημένην.
ΧΟΡ. Εὐφημίαν νῦν ἴσχ'· ἐπεὶ καλασφῆ
Στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χαρὰν λόγων.
ΑΓΓ. Δέσποινα Δηϊάνειρα, πρῶτος ἀγγέλων
Ὅκνου σὲ λύσω· τὸν γὰρ Ἀλκμήνης τόκον
Καὶ ζῶντ' ἐπίσω, καὶ κρατοῦνθ', κἀκ μάχης
Ἄγοντ' ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.
ΔΗΙ. Τίν' εἶπας, ὦ γεραιὲ, τόνδέ μοι λόγον;
ΑΓΓ. Τάχ' ἐς δόμους σοὺς τὸν πολύζηλον πόσιν
Ἥξειν φανέντα σὺν κράτει νικηφόρῳ.
ΔΗΙ. Καὶ τοῦτό' φῶν, ἢ ξένων μαθὼν λέγεις;
ΑΓΓ. Ἐν βωθρείῃ λειμῶνι πρόσπολος θροεῖ
Λίχας ὁ κήρυξ ταῦτα· τοῦδ' ἐγὼ κλύων
Ἀπῆξα. ὅπως τοι πρῶτος ἀγγείλας τάδε,
Πρὸς σοῦ τι κερδάναιμι καὶ κτήμην χάριν.
ΔΗΙ. Αὐτὸς δὲ πῶς ἄπεστιν, εἴπερ εὐτυχεῖ;
ΑΓΓ. Οὐκ εὐμαρείᾳ χρώμενος πολλῇ, γύναι.
Κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς
Κρίνει παρασὰς, ὃδ' ἔχει βῆναι πρόσω·

197. Εἰ με χρὴ μένειν] ἀντὶ τοῦ ζῆν.

182. Πρὸς χαρὰν λόγων] πρὸς ἡδονὴν, πρὸς χάριν ἀπαγγελλόντα λόγον ἡδονὴν διδύντα. ἐκ τοῦ στιφάνου δὲ ἐοικάζεται ὅτι μέλλει χαρὰ ἀπαγγέλλειν.

188. Τάχ' ἐς δόμους] ἀντὶ τοῦ, ταχέως, εὐθέως.

191. Ἐν βωθρείῃ λειμῶνι] μέγα θέρος ἔχοιλό δὲ ἐστι λῆϊον. τὸ γὰρ βω, ἐπιβατικόν. ἢ τὸ σφόδρα βαλλομένῳ, καὶ καταθερομένῳ, ἤγουν, θερμαινομένῳ ὑπὸ τοῦ ἡλίου. Ἄλλως· Βωθρεῖ, ἢ ὄνομα τοῦ λειμῶνος, ἢ πολυθρεῖ. τὸ γὰρ βω, ἐπιβατικόν ἐστιν· ὃ ἐστι πολλάκις θεριζομένῳ. ἢν' εἴπῃ πολυφόρῳ· ἢ ὑπὸ βοῶν θεριζομένῳ τοῖς ἐδῶσι, βοῦς τρέφουσι.

195. Αὐτὸς δὲ πῶς ἄπεστιν] εἰ εὐτυχεῖ ὁ Ἡρακλῆς, πῶς ἄπεστιν ὁ Λίχας καὶ οὐκ ἦλθε ταχέως ἀπαγγέλλων, πρὸς ὃ ἀποδίδωσιν, Οὐκ εὐμαρείᾳ, ἤγουν, οὐ ῥᾳδίᾳ, ἀλλὰ κρινόμενος ὑπὸ τῶν πολιτῶν. τὸ δὲ ὦ πολλῇ, ἀντὶ τοῦ μιᾷ ὀλίγῃ. οἱ δ' ὅτως, Οὐκ εὐμαρείᾳ, οὐκ εὐχερείᾳ, ἀντὶ τοῦ οὐκ ἔξεστιν αὐτῷ εὐχερῶς παραγενέσθαι.

197. Μηλιεὺς ἅπας λεὼς] Μηλιεὶς, ἔθνος Θετταλικὸν πλησίον Τραχῖνος. Μηλία δὲ ἡ πόλις καλεῖται.

199. τὸ

Τὸ γὰρ ποθῶν ἕκαστος ἐκμαθεῖν θέλων,
Οὐκ ἂν μεθεῖτο πρὶν καθ' ἡδονὴν κλύειν.
Οὕτως ἐκεῖνος οὐχ ἑκών, ἑκοῦσι δὲ
Ξύνεσιν· ὄψει δ' αὐτὸν αὐτίκ' ἐμφανῆ.

ΔΗΙ. Ὦ Ζεύ, τὸν Οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις,
Ἔδωκας ἡμῖν (ἀλλὰ σὺν χρόνῳ) χαράν.
Φωνήσατ', ὦ γυναῖκες, αἵ τ' ἔσω στέγης
Αἵ τ' ἐκτὸς αὐλῆς. ὡς ἄελπτον ὄμμ' ἐμοὶ
Φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Ἀνολόλυξα]ε * δόμοις
Ἐφεσίοις ἀλαλαγαῖς †.
Ὁ μελλόνυμφος, ἐν δὲ
Κοινὸς ἀρσένων ἴτω
Κλαγγά· τὸν εὐφαρέτραν
Ἀπόλλωνα προσάταν,
Ὁμῶ δὲ καὶ Παιᾶνα, Παιᾶνα.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἀνάγετ', ὦ παρθένοι,

* ALD. Ἀνολολύξετε. † ALD. ἀλαλαῖς.

199. Τὸ γὰρ ποθῶν] τὸ ποθούμενον.

201. Οὐχ ἑκών, ἑκοῦσι δὲ] τοῖς Μηλιεῦσιν αὐτὸς ὁ Λίχας σύνεσιν οὐχ ἑκών· βάλλεται γὰρ αὐτῶν ἀποστὰς, ἰλθεῖν πρός σε.

203. Ὦ Ζεύ, τὸν Οἴτης ἄτομον] τὸν ἀπέρητον, ὃν οἱ δυσμενεῖς συμβαλόντες οὐ δηῶσιν. ἄμεινον δὲ, τὸν ἀφιερωμένον Διὸς καὶ ἀγεώργητον· ὃν οὐδὲ βοτὰ καταδόσκεται καὶ τέμνει. τὰ δὲ τοιαῦτα χωρία ὀργάδας ἰκάλων.

205. Φωνήσατ' ὦ γυναῖκες] ἀντὶ τοῦ, ὀλολύξατε καὶ βοήσατε, χάριν ὁμολογοῦσαι τοῖς θεοῖς.

206. Ὄμμ' ἐμοὶ φήμης] ὄμμα φήμης φησὶν αὐτὸν τὸν φανερῶς ἀπαγγέλλοντα, ἢ τὸ ἀπὸ τῆς φήμης φῶς.

207. Ἀνασχὸν] ἀναφανὲν, ἀνατεῖλαν. Ἐκ μεταφορᾶς τοῦ ἡλίου.

209. Ἐφεσίοις ἀλαλαγαῖς] ταῖς ἐπὶ τῶν Θυσιῶν εὐχαῖς. ἀντὶ τοῦ, ὁ πᾶς οἶκος τῷ Ἡρακλεῖ θυσίας καὶ εὐχὰς ποιείτω.

210. Ὁ μελλόνυμφος] εἴ τις μελλόνυμφός ἐστιν, εἴτε γεγαμηκὼς, ἡκέτω· κοινὴ γὰρ πάντων ἐστὶν εὐχή. ἡκέτω δὲ πᾶσα κλαγγὴ ἀρσένων τε καὶ θηλειῶν, καὶ κοινὴν εὐχὴν ποιησάτω.

Ib. Ἐν δὲ κοινὸς] τὸ κοινὸς δὲ Ἀττικὸν, ὡς—κλυτὸς ἱπποδάμεια.

215. Ἀνάγετ', ὦ παρθένοι] ἀνυμνεῖτε πάντες καὶ πᾶσαι, τὸν Σωτῆρα καὶ Παιᾶνα Ἀπόλλωνα,

216. Βοᾶτε

Βοᾶτε τὰν ὁμόσπορον
Ἄρτεμιν Ὀρτυγίαν,
Ἐλαφηβόλον, ἀμφίπυ-
ρον, γειτονάς τε νύμφας·
Ἀείρομ', ὠδ' ἀπώσομαι
Τὸν αὐλὸν, ὦ τύραννε ἐμᾶς φρενός *

ΕΠΩΔΟΣ.

Ἰδέ μ' ἀναλαράσσει
Εὐοῖ μ' ὁ κισσὸς, ἄρτι βακχίαν
Ὑποσρέφων ἄμιλλαν.
Ἰὼ, ἰὼ, Παιάν.
Ἴδε, ἴδ', ὦ φίλα γύναι·
Τάδ' ἀντίπρωρα δή σοι
Βλέπειν πάρες † ἐναργῆ.

ΙΑΜΒΟΙ.

ΔΗΙ. Ὁρῶ, φίλαι γυναῖκες, ὠδέ μ' ὄμμαλος
Φρενὰ παρῆλθ' ἐς τόνδε μὴ λεύσσειν σόλον.
Χαίρειν δὲ τὸν κήρυκα πρεπέπω χρόνῳ
Πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.

* ALD. ὦ τύραννε τὰς ἐμᾶς φρενός. recte. † TURN. δή σοι πάρες.

216. Βοᾶτε τὰν ὁμόσπορον] ἀντιμνεῖτε καὶ τιμᾶτε τὴν ἅμα τῷ Ἀπόλλωνι σπαρεῖσαν Ἄρτεμιν τὴν ἐν Ὀρτυγίᾳ τιμωμένην.

218. Ἀμφίπυρον] παρ' ὅσον ἀμφοτέραις ταῖς χερσὶ δαδουχεῖ, ἡ αὐτὴ ὅσα τῇ Ἑκάτῃ νύμφας δὲ φησι τὰς Ὀρεσιάδας, παρ' ὅσον ἐν τοῖς ὄρεσι διατρίβει ἡ Ἄρτεμις.

220. Ἀείρομ', ὠδ' ἀπώσομαι] τυτίζει, μεταφορίζομαι ἐν τῷ χορεύειν εἰς τὸν ἀέρα, καὶ ἄνω αἴρομαι· τὸ γὰρ μιλύδριον ἐκ ἔζει σάσιμον, ἀλλ' ὑπὸ τῆς ἡδονῆς ὀρχοῦνται.

221. Τὸν αὐλὸν, ὦ τύραννε] ὦ αὐλέ· ὦ Ἡράκλεις, ἢ ὦ Διόνυσε. Ἄλλως. ὦ αὐλὲ, τῆς ἐμῆς φρενὸς τύραννε. ἐριθίζει γὰρ ὁ αὐλὸς τὰς παρθένους πρὸς τὴν χορείαν· ἀντὶ τοῦ, ὦ κρείττων τῆς ἐμῆς φρενός. ἐν δὲ τῷ ταῦτα λέγειν ὀρχοῦνται ὑπὸ χαρᾶς.

222, 223. Ἀναλαράσσει Εὐοῖ μ' ὁ κισσὸς] εἰς βακχικὴν ἄμιλλαν (παιδιὰν, χορείαν) παρορμᾷ μέ ὁ κισσός. τὸ δὲ ὑποσρέφων, ἀντὶ τοῦ ἀπὸ λύπης εἰς ἡδονὴν μετάγων, ἢ ὑποβάλλων.

227. Ἀντίπρωρα] ἐναντία, ἀνθικείμενα τοῖς προτέροις κακοῖς ἀγαθά. ἢ ἀντιπρόσωπα, ὑπ' ὄψιν ἀρώμενα· ὑποδεικνύουσι δὲ τὸν Λίχαν ἐρχόμενον.

232. Χαρτὸν] ἄξιον χαρᾶς.

234. Κατ'

ΛΙΧ. Ἀλλ' εὖ μὲν ἴσμεθ', εὖ δὲ προσφωνέμεθα,
Γύναι, κατ' ἔργα κτῆσιν· "ἄνδρα γὰρ καλῶς
"Πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη."
ΔΗΙ. Ὦ φίλτατ' ἀνδρῶν, πρῶθ', ἃ πρῶτα βέλομαι,
Δίδαξον, εἰ ζῶνθ' Ἡρακλέα προσδέξομαι.
ΛΙΧ. Ἐγωγέ τοι σφ' ἔλειπον ἰσχύοντά τε,
Καὶ ζῶντα καὶ θάλλονθ', κοὐ νόσῳ βαρύν.
ΔΗΙ. Πᾶ γῆς; πατρῴας, εἴτε βαρβάρᾳ; λέγε.
ΛΙΧ. Ἀκτή τις ἔστ' Εὐβοΐς, ἔνθ' ὁρίζεται
Βωμοὺς τέλη τ' * ἔγκαρπα Κηναίῳ Διΐ.
ΔΗΙ. Εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός;
ΛΙΧ. Εὐκταῖ', ὅθ' ἥρει τῶνδ' ἀνάσσων δορὶ
Χώραν γυναικῶν, ὧν ὁρᾷς ἐν ὄμμασιν.
ΔΗΙ. Λῦται δὲ, πρὸς θεῶν, τοῦ πατ' εἰσί; καὶ τίνες;
Οἰκῆραι γάρ, εἰ μὴ ξυμφοραὶ κλέπτουσί με.
ΛΙΧ. Ταύτας ἐκεῖνος, Εὐρύτου πέρσας πόλιν,
Ἐξείλεθ' αὑτῷ κτῆμα καὶ θεοῖς κριτόν.
ΔΗΙ. Ἦ κἀπὶ ταύτῃ τῇ πόλει τὸν ἄσκοπον

* Alb. Turn. in marg. τελεῖ τ'. recte.

234. Κατ' ἔργα κτῆσιν] κατὰ τὴν ἀπαγγελίαν, κατὰ τὴν τοῦ ἔργου πρᾶξιν. τοιοῦτον, ἀξίας τῆς τοῦ Ἡρακλέους ἀρετῆς προσφωνήματα. ἀντὶ τῶν, οἷον ἴδοι τις χειρὶ προσφωνήματα τοὺς τὰ τοιαῦτα κατεργασμένους, ἐτύγομεν.

240. Πατρῴας] ἀντὶ τοῦ τῆς Ἑλλάδος. Ἀργεῖος γὰρ ὁ Ἡρακλῆς.

241. Ἔνθ' ὁρίζεται] ἵστησι, καθασκευάζει.

242. Τέλη τ' ἔγκαρπα] τέλη, ἤτοι θυσίας. ἔγκαρπα δὲ, τὰ θυμιάματα τὰ ἀπὸ ἀνθῶν ἢ καρπῶν.

Ib. Κηναίῳ Διΐ] Κήναιον Εὐβοίας ἀκρωτήριον, ἀπὸ Κηναίου τοῦ Εὐφορίωνος, ἢ τοῦ Ἐλεφήνορος.

243. Εὐκταῖα φαίνων ἢ 'πὸ μαντείας τινός] πότερον (φησὶν) αὐτὸς εὐξάμενος καὶ ὑποσχόμενος ἐπὶ τῇ νίκῃ τοῦτο ποιεῖν ἢ ἀπὸ μαντείας θεῶν τινὸς κελεύσαντος.

244. Εὐκταῖ', ὅθ' ἥρει] κατ' εὐχὴν φησιν αὐτῷ τελεῖσθαι τὰς θυσίας. ὅτε γὰρ ἐκράτησεν Οἰχαλίας εὐχαριστήριος τὰς θυσίας προσήγαγε.

246. Τοῦ πατ' εἰσὶν] ἀντὶ τοῦ, τίνος ἐσπότου.

247. Οἰκῆραι γὰρ] εὐγενεῖς γὰρ ἐκείνους εἶναι, εἰ μὴ ἄρα με σφάλλουσιν αἱ κατ' αὐτὰς συμφοραὶ, τοιαύτας, εἰ μὴ ἄρα διὰ τὴν τύχην ὑπεδύσαντο τὸν οἶκτον.

248. Ταύτας ἐκεῖνος] ἵνα τὰς μὲν αὐτὸς ἴσχῃ, τὰς δ' ἀνταμείψῃ τοῖς θεοῖς.

250. Ἦ κἀπὶ ταύτῃ] ἆρ' ἐν τῇ πόλει τοῦτον καὶ ἀναρίθμον χρόνον τῶν ἡμερῶν ἐν τῇ Οἰχαλίᾳ διέτριψεν;

Χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον;
ΛΙΧ. Οὔκ· ἀλλὰ τὸν μὲν πλεῖσον ἐν Λυδοῖς χρόνον
Κατείχεθ', ὥς φησ' αὐτὸς, οὐκ ἐλεύθερος,
Ἀλλ' ἐμποληθείς· "τῷ λόγῳ δ' οὐ χρὴ φθόνον,
"Γύναι, προσεῖναι, Ζεὺς ὅτῳ πράκτωρ φανῇ." 255
Κεῖνος δὲ πραθεὶς Ὀμφάλῃ τῇ βαρβάρῳ
Ἐνιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει.
Χ' ὕτως ἐδήχθη τοῦτο τοὔνειδος λαβὼν,
Ὥσθ' ὅρκον αὑτῷ προσβαλὼν διώμοσεν,
Ἢ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους 260
Ξὺν παισὶ καὶ γυναικὶ δηλώσειν ἔτι.
Κοὐχ ἡλίωσε τοὔπος· ἀλλ', ὅθ' ἁγνὸς ἦν,
Στρατὸν λαβὼν ἐπακτὸν, ἔρχεται πόλιν
Τὴν Εὐρυτείαν· τόνδε γὰρ μεταίτιον
Μόνον βροτῶν ἔφασκε τοῦδ' εἶναι πάθους. 265
Ὃς αὐτὸν ἐλθόντ' ἐς δόμους ἐφέστιον,
Ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
Ἐπερρόθησε, πολλὰ δ' ἀτηρᾷ φρενὶ,
Λέγων, χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη,

Ιδ. Δυσκοστον] πολύν· ὃν οὐκ ἂν τις ἐπιλογίσαιτο καὶ καίπερ ἀθροα διὰ τὸν χρόνον.

251. Ἀνήριθμον] ἀντὶ τοῦ ἀναρίθμητον.

254. Τῷ λόγῳ δ' οὐ χρὴ φθόνον] μέμφεται οὐ χρὴ (φησὶ) μέμφεσθαι, οἷς ἂν πράξῃ ὁ Ζεὺς· ἐδόκει γὰρ λογισμῷ πάντα πράττειν ὡς θέλει ἢ ὥστως, οὐ χρὴ ἀηδῶς ἀκούειν τὸν λόγον, ὅ ἐστιν, ἐκτελίζειν καὶ ψέγειν. ἢ ὥστως, οὐ χρὴ παραιτεῖσθαι καὶ ψέγειν τὰ παρὰ τοῦ Διὸς γιγνόμενα, κἂν ᾖ χαλεπά.

257. Ἐνιαυτὸν] ὁ Ἡρόδοτος τρία ἔτη λέγει τὸν ἐνιαυτόν.

260. Τὸν ἀγχιστῆρα τοῦδε] τὸν αἴτιον καὶ πρόξενον αὐτοῦ ποιήσαντα τοῦ πάθους. λέγει δὲ τὸν Εὔρυτον.

261. Δηλώσειν ἔτι] πλεονάζει τὸ ἔτι.

262. Κοὐχ ἡλίωσε] οὐκ ἐματαίωσεν, οὐ μάτην εἶπε τὸ ἔπος.

Ib. Ἀλλ' ὅθ' ἁγνὸς ἦν] ὅτε ἡγνίσθη ἀπὸ τοῦ φόνου, ὅ ἐστιν, ὅτε ἐπλήρωσε τὴν ὑπὲρ τοῦ φόνου ἐκλείαν.

263. Στρατὸν λαβὼν ἐπακτὸν] ἄγων, συμμαχικὸν, οὐκ ἴδιον.

266. Ἐφέστιον ξένον] φίλον.

268. Ἐπερρόθησε] σφοδρῶς ὕβρισεν, ἢ εἰς τὴν παιδοκλονίαν τῶν ἀπὸ Μεγάρας τέκνων, ἢ ὅτε πολλαῖς πρώην ὠμίλησε γυναιξὶν, ὥς φησιν Ἀπολλόδωρος.

Ib. Ἀτηρᾷ φρενὶ] ἀπηνεῖ καὶ σκληρᾷ γνώμῃ.

269. Λέγων, χεροῖν μὲν] λέγων αὐτὸν ἡττᾶσθαι τῶν αὐτοῦ τέκνων, εἰ καὶ ἄφυκτα βέλη ἔχει.

270. Τῷ

Τῶν ὧν τέκνων λείποιτο πρὸς τόξα κρίσιν.
Φώνει δὲ δοῦλος ἀνδρὸς ὡς ἐλευθέρᾳ
Ῥαίοιτο· δείπνοις δ' ἡνίκ' ἦν οἰνωμένος,
Ἐρρίψεν ἐκτὸς αὐτόν· ὧν ἔχων χόλον,
Ὡς ἵκετ' αὖθις Ἶφιτος Τιρυνθίαν
Πρὸς κλιτύν, ἵππους νομάδας ἐξιχνοσκοπῶν,
Τότ' ἄλλοσ' αὐτὸν ὄμμα, θατέρᾳ δὲ νεῦν
Ἔχοντ', ἀπ' ἄκρας ἦκε πυργώδους πλακός.
Ἔργα δ' ἔκαλι τοῦδε μηνίσας ἄναξ
Ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ Οὐλύμπιος *,
Πρατόν νιν ἐξέπεμψεν, ὑδ' ἠνέσχετο,
Ὅθ' ἕνεκ' αὐτὸν μόνον ἀνθρώπων δόλῳ
Ἔκλεινεν. εἰ γὰρ ἐμφανῶς ἠμύνατο,
Ζεύς τ' ἂν συνέγνω ξὺν δίκῃ χειρωμένῳ.
"Ὕβριν γὰρ ὐ στέργουσιν ὐδὲ δαίμονες."
Κεῖνοι δ' ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς,
Αὐτοὶ μὲν ᾅδε πάντες εἶσ' οἰκήτορες,

* Ald. Turn. Ὀλύμπιος. rectè.

270. Τῶν ὧν τέκνων λείποιτο πρὸς τόξα κρίσιν] τοῦτο ἰδίως. οὐ γὰρ ἠλιζονεύσατο μόνον τοῖς τῶν ἑαυτοῦ παίδων, ἀλλὰ καὶ ὅρον τοξείας προθεὶς τὴν Ἰόλην νικήσαντι τῷ Ἡρακλεῖ, οὐκ ἠγώνισε. διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτίδων ἀριθμός. Ἡσίοδος μὲν γὰρ τέσσαράς φησιν ἐξ Εὐρύτου καὶ Ἀντιόχης παῖδας, οὕτως, Ἣ δ' ὑποκυσσαμένη καλλίζωνος Στρατονίκη Εὐρύτου ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν. τὸν δ' υἱεῖς ἐγένοντο Δηΐων τε, Κλύτιός τε, Τοξεύς τ' ἀντίθεος, ἠδ' Ἶφιτος ὄζος Ἄρηος. Τάσδε μίβ' ὑπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν Ἀντιόχη κρίνασα, παλαιὸν γένος Αἰολίδαο. Κτείατος δὲ δύο· Ἀριστοκράτης δὲ τρεῖς, Ταξία, Κλύτιον, Δηίονα.

271. Ὡς ἐλευθέρᾳ] λείπει ἡ ὑπὸ, ὡς ὑπὸ ἐλευθέρᾳ ἀνδρὸς ὑβρίζοιτο. λέγει δὲ τῶν Εὐρυτίων.

273. Ἐρρίψεν ἐκτὸς αὐτόν] τῆς οἰκίας αὐτὸν ἀπώσατο.

Ib. Ὧν ἔχων χόλον] ὑπὲρ δὲ τούτων (φησὶν) ὀργιζόμενος ὁ Ἡρακλῆς ἐμήνισε τῷ Ἴφιτον εἰς τὰ τῆς Τιρυνθίας ὄρη παραγενόμενον διὰ τὴν τῶν ἵππων ἀναζήτησιν.

276. Τότ' ἄλλοσ' αὐτὸν ὄμμα] ἀλλαχόσε τὸν νοῦν ἔχοντα, καὶ οὐ δεινὸν ποιήσασθαι προσδοκῶντα, ἀπὸ ὄρους ἐδίσκευσεν.

278. Ἔργα δ' ἔκαλι] τῷ φόνῳ.

280. Οὐδ' ἠνέσχετο] οὐχ ὑπήνεγκεν αὐτῷ τὴν μιαιφονίαν, ὅτι τὰς ἄλλας αὐτῷ συμμαχίας πράξεις διὰ ταύτης κατήσχυνεν.

284. Ὕβριν γὰρ οὐ στέργουσιν] τὴν ἀδικίαν, υἱὸν, δὲ αὐτὸ τὸ θεῖον ὑβριζόμενον καὶ τιμὴν, ὃ λίαν ἐστὶν ἀνεχόμενον.

285. Κεῖνοι δ' ὑπερχλιδῶντες] οἱ παῖδες τῷ Εὐρύτου ὑπερηφάνως λοιδορησάμενοι τῷ Ἡρακλεῖ

Πόλις δὲ δέδηε· τάσδε δ' ἄσπερ εἰσορᾷς,
Ἐξ ὀλβίων ἄζηλον εὑρεῖσαι βίον,
Χωρεῖσι πρός σε. Ταῦτα γὰρ πόσις τε σὸς
Ἔφειτ'· ἐγὼ δὲ πιστὸς ὢν κείνῳ, τελῶ.
Αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα
Ῥέξῃ πατρῴῳ Ζηνὶ τῆς ἁλώσεως,
Φρόνει νιν ὡς ἥξοντα· τοῦτο γὰρ, λόγῳ
Πολλῷ καλῶς λεχθέντος, ἥδιστον κλύειν.
ΧΟΡ. Ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ,
Τῶν μὲν παρόντων, τῶν δὲ πεπυσμένη λόγῳ*.
ΔΗΙ. Πῶς δ' οὐκ ἐγὼ χαίροιμ' ἄν, ἀνδρὸς εὐτυχῆ
Κλύουσα πρᾶξιν τήνδε πανδίκῳ φρενί;
Πολλὴ δ' ἀνάγκη † τῇδε, τοῦτο συλλέγειν.
Ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις,
Ταρβεῖν τὸν εὖ πράσσοντα μὴ σφαλῇ ποτέ.
Ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, φίλαι,
Ταύτας ὁρώσῃ δυσπότμους, ἐπὶ ξένης
Χώρας, ἀοίκους ἀπατόρας τ' ἀλωμένας·
Αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
Ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον.
Ὦ Ζεῦ τροπαῖε, μήποτ' εἰσίδοιμί σε
Πρὸς τοῦμὸν ὦτω σπέρμα χωρήσαντά ποι,

* Turn. in marg. λόγων. † Ald. Πολλή 'ς' ἀνάγκη. recte.

ἀνηρίθμησαν, ὑπερτρυφήσαντες τῇ καθ' Ἡρακλέους λοιδορίᾳ.

288. Ἄζηλον] κακοδαίμονα, ὃν οὐκ ἄν τις ζηλώσειεν. Ὅμηρος Ἀμέγαρτε συβώτα.

290. Ἔφειτ'] ἐνετείλατο.

291. Αὐτὸν δ' ἐκεῖνον] τὸ ἥξοντα, αὐτὸν φρόνει ἥξοντα. τουτέστι, προσδόκα αὐτὸν ἥξοντα, ὅταν διὰ τῆς θυσίας καθάρῃ ἑαυτὸν ἀπὸ τοῦ φόνου.

295. Νῦν σοι τέρψις] ἀντὶ τοῦ, ἐν τούτῳ τῷ χρόνῳ, καθ' ὃν ἀπαγγέλλει τὰ χαρμά, ἢ κατὰ τοῦτο τὸν τρόπον.

300. Ὅμως δ' ἔνεστι] γνωμολογεῖ ὁρῶσα τὰς αἰχμαλώτους, καί φησι, τοῦτ' ἐστὶν ἀνδρὸς ἴματιον, ὅταν καλῶς πράσσῃ τις, ἐλπίζειν καὶ κακά.

307. Ὦ Ζεῦ τροπαῖε] ἀποτριπτικὲ, ἀλεξίκακε. ἱκετεύει τὸν Δία μὴ παθεῖν παραπλήσια ταῖς αἰχμαλώτοις τὰ τέκνα αὐτῆς.

309. Τῆσδε.

Μηδ' εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.
Οὕτως ἐγὼ δέδοικα, τάσδ' ὁρωμένη.
Ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων,
Ἄνανδρος ἢ τεκοῦσα *; πρὸς μὲν γὰρ Φύσιν,
Πάντων ἄπειρος τῶνδε, γενναία δέ τις.
Λίχα, τίνος ποτ' ἐστὶν ἡ ξένη βροτῶν,
Τίς δ' ἡ τεκοῦσα †, τίς δ' ὁ φιτύσας πατήρ,
Ἔξειπ'· ἐπεί νιν τῶνδε πλεῖσον ᾠκτισα,
Βλέπουσ', ὅσῳπερ καὶ φρονεῖν οἶδεν μόνη.
ΛΙΧ. Τί δ' οἶδ' ἐγώ; τί δ' ἄν με καὶ κρίνοις; ἴσως
Γέννημα τῶν ἐκεῖθεν ἐκ ἐν ὑσάτοις.
ΔΗΙ. Μὴ τῶν τυράννων Εὐρύτου σπορά τις ἦν;
ΛΙΧ. Οὐκ οἶδα· καὶ γὰρ ὧδ' ἀνισόρρυν μακράν.
ΔΗΙ. Οὐδ' ὄνομα πρός τε τῶν ξυνεμπόρων ἔχεις;
ΛΙΧ. Ἥκιστα· σιγῇ τἀμὸν ἔργον ἤνυσον.
ΔΗΙ. Εἶπ', ὦ τάλαιν', ἀλλ' ἡμῖν ἐκ σαυτῆς· ἐπεὶ
Καὶ ξυμφορά τις μὴ εἰδέναι σέγ', ἥτις εἶ.
ΛΙΧ. Οὔτ' ἄρα τῷ γε πρόσθεν ὧδὲν ἐξίσω
Χρόνῳ διοίσει γλῶσσαν, ἥτις ὧδαμᾶ

* Aldus, τεκοῦσα. † Ald. Τίς ἡ τεκοῦσα. recte.

309. Τῆσδέ γε ζώσης] δεικτικῶς, ἀντὶ τοῦ ἐμοῦ· ὁ δὲ νῦν, εἰ καὶ μέλλεις τι δρᾶν κατὰ τῶν ἐμῶν παίδων, τοῦτο ἐμοῦ ζώσης ἀναβολῆ.

312. Ἄνανδρος, ἢ τεκοῦσα] τέκνα ἔχεσα. ὅτι Καλλίμαχός φησι παιδοῦσα.

Ib. Πρὸς μὲν γὰρ φύσιν] ὅσον μὲν ἐκ τῆς ἡλικίας καὶ φύσεως τῶν σωμάτων σχάζεσθαι, ἄπειρος εἶ τῶν ἐκ τοῦ γάμου προσγιγνομένων, δικαίως δὲ ὅμως τις εἶναι εὐγενής.

319. Γέννημα τῶν ἐκεῖθεν ἐκ ἐν ὑσάτοις] οὐκ ἐν ταῖς ἀπεξιμμέναις καὶ εὐτελέσι τεταγμένη, ἀλλὰ δῆλον ὅτι πρᾶγμα τῶν ἐν εὐγενείᾳ.

321. Οὐκ οἶδα] καλῶς ὁ Λίχας διὰ τὸ ὑποπτον, δεῖ τὸ γένος αὐτῆς ὁμολόγησιν εἶναι.

Ib. Οὐδ' ἀνισόρρυν μακράν] ἐπολυπραγμόνησεν, περιεργαζόμενη, μακρὰν δὲ, ἐπὶ πολύ.

322. Τῶν ξυνεμπόρων] τῶν ξυναιχμαλωτίδων· τὰ δὲ ἴχνη ἀντὶ τοῦ ἴγνους.

323. Ἤνυτον] Ἀττικῶς, ἀντὶ τοῦ ἤνυσον.

324. Ἐκ σαυτῆς] ἀπὸ σαυτῆς (φησὶν) εἶπε, καὶ μὴ ὑφ' ἡμῶν ἀναγκαζομένη· συμφορὰ γάρ ἐστι τὸ μὴ γιγνώσκεσθαί σε, ἥτις τυγχάνεις. τοῦτο δὲ φησιν ὡς μέλλουσα αὐτῇ ἀβλαβῶς χρήσασθαι, εἰ γνοίη τὰ κατ' αὐτήν.

326. Οὔτ' ἄρα τῷ γε πρόσθεν] ἐὰν αἰδημόνη σε φθέγξηται, κατ' ὀλίγα ἄρα ἐξ ἴσου τῷ πρόσθεν

Πρὸ ἔφηνεν ἔτε μεῖζον', ἔτ' ἐλάσσονα·
Ἀλλ' αἰὲν ὠδίνουσα συμφορὰς βάρος,
Δακρυβρόει δύστηνος, ἐξότου πάτραν
Διήνεμον λέλοιπεν· ἡ δέ τοι τύχη,
Κακὴ μὲν αὐτῇ γ', ἀλλὰ συγγνώμην ἔχει.
ΔΗΙ. Ἦδ' ἦν ἐάσθω, καὶ πορεύεσθω στέγας
Οὕτως ὅπως ἥδιστα· μηδὲ πρὸς κακοῖς
Τοῖς οὖσι λύπην πρός γ' ἐμοῦ λύπης * λάβοι·
Ἅλις γὰρ ἡ παροῦσα· πρὸς δὲ δώμαθ' ἅ
Χωρῶμεν ἤδη πάντες· ὡς σύ θ', οἵ θέλεις
Σπεύδης †, ἐγώ τε ‡ τἄνδον ἐξαρκῆ τιθῶ.
ΑΓΓ. Αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνασ', ὅπως
Μάθῃς ἄνευ τῶνδ', ὅς τινάς γ' ἄγεις ἔσω·
Ὧν τ' ἐδὲν εἰσήκουσας, ἐκμάθῃς ἃ δεῖ §.
Τούτων ἔχω γὰρ πάντ' ἐπισήμην ἐγώ.
ΔΗΙ. Τί δ' ἐστί τοῦ με τῆνδ' ἐφίσασαι βάσιν;
ΑΓΓ. Σταθεῖσ' ἄκουσον· καὶ γὰρ ἐδὲ τὸν πάρος
Μῦθον μάτην ἤκουσας, ἐδὲ νῦν δοκῶ.
ΔΗΙ. Πότερον ἐκείνου δῆτα δεῦρ' αὖθις πάλιν

* Turn. in marg. λοιπὴν πρός γ' ἐμοῦ λύπην. rectè.
† Turn. in marg. σπεύδεις. ‡ Ald. ἐγὼ δὲ. § Ald. ἐκμάθῃς γ' ἃ δεῖ.

πρόσθεν χρόνῳ προσομίλειεν αὐτῆς τὴν γλῶτταν. τὸν γὰρ πρὸ τούτου χρόνον ἐσιώπα, καὶ ἐδὲν πρὸς ἐμὲ τῶν καθ' ἑαυτὴν ἐδημοσίευσεν, ὥστε μικρὸν ἔτι μίσει πάντελῶς.

Ib. Ἄλλως: Οὔτ' ἄρα τῷ γε] ὡς οὐκ ἐλάλησε πρώην, οὐδὲ νῦν λαλήσει.

329. Ἀλλ' αἰὲν ὠδίνουσα] καταπονημένη.

331. Διήνεμον] ἔρημον, ὑψηλήν. ἣν Ὅμηρος ἠιπόεσσαν φησίν.

Ib. Ἡ δέ τοι τύχη] αὐτὴ δὲ ἡ τύχη (φησὶ) καθ' ἣν σιωπᾷ, ἐπιβλαβὴς μὲν αὐτῇ ἐστι, καθ' ὃ μὴ τυγχάνει τῆς παρὰ σοῦ εὐξιότητος, ὅμως δὲ συγνώμην ἔχει.

332. Ἦδ' ἦν ἐάσθω] μὴ ἀναγκαζέσθω λέγειν (φησὶν) ἀλλὰ πρωτίστω ὥσπερ αὐτῇ φίλον, ἵνα μὴ ἐξῶμεν αὐτὴν λυπεῖν.

339. Αὐτοῦ γε πρῶτον βαιὸν] ὁ προσομιλῶν ἀπαιτεῖ αὐτὴν, ἵνα εἴπῃ, περὶ ὧν ἤκουσε παρὰ τοῦ Λίχα ἐκ τοῦ προσεῖν λέγοντος.

340 Οὕς τινάς γ' ἄγεις] ἄγεις ἀντὶ τοῦ ἔπεμψας. ἦσαν δὲ καὶ αἰχμάλωτοι.

341. Ὧν τ' ἐδὲν εἰσήκουσας] περὶ τούτων καὶ πάντων προσῆκεί σε μαθεῖν, τούτων γὰρ ἔχω τὴν γνῶσιν.

343. Τοῦ με τίνδ' ἐφίσασαι βάσιν] τίνος ἕνεκεν τὴν πορείαν καὶ τὴν εἴσοδον ἰσχὺς καὶ κωλύεις;

348. Σὺ

Καλῶμεν, ἤ μοι ταῦσδὲ τ' ἐξειπεῖν θέλεις;
ΑΓΓ. Σοὶ ταῦσδέ τ' οὐδὲν εἴργεσθαι· τύχας δ' ἔα.
ΔΗΙ. Καὶ δὴ βεβᾶσι, χὠ λόγος σημαινέτω.
ΑΓΓ. Ἀνὴρ ὅδ' οὐδὲν ὧν ἔλεξεν ἀρτίως.
Φώνει δίκης ἐς ὀρθόν· ἀλλ' ἡ νῦν κακὸς,
Ἦ πρόσθεν ὁ δίκαιος ἄγγελος πάρη.
ΔΗΙ. Τί φής; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς.
Ἃ μὲν γὰρ ἐξείρηκας, ἄγνοιά μ' ἔχει.
ΑΓΓ. Τόδε λέγοντος ἀνδρὸς εἰσήκουσ' ἐγὼ,
Πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης
Ταύτης ἕκαστι κεῖνος Εὔρυτόν θ' ἕλοι,
Τήν θ' ὑψίπυργον Οἰχαλίαν· Ἔρως δέ νιν
Μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε·
Οὐ τὰ 'πὶ Λυδοῖς, οὐδ' ἐπ' Ὀμφάλῃ πόνων
Λατρεύματ', οὐδ' ὁ ῥιπτὸς Ἰφίτου μόρος,
Ὃν νῦν παρώσας ἔτος, ἔμπαλιν λέγει·
Ἀλλ' ἡνίκ' ἐκ ἔπειθε τὸν φυτοστόρον

348. Σοὶ ταῦσδέ τ' οὐδὲν] οὐδὲν (φησὶ) τούτων ἦτε πρὸς σὲ πρὸς ταύτας ἀποβήσονται. τοὺς δὲ, ἦγεν, τὰς αἰχμαλώτους καὶ τὰς ἅμα ἐνταῦθα ἀρσενας, ἢ τὰς περὶ τὸν Λίχαν.

351. Φώνει δίκης ἐς ὀρθὸν] ἀντὶ τοῦ, ἐφώνει ἐναντίως καὶ μετ' ἀληθείας.

Ib. Ἀλλ' ἡ νῦν κακὸς] ἀντὶ τοῦ, ἢ τὰ πρότερον ἦ τὰ νῦν ψεύδεται.

354. Ἄγνοιά μ' ἔχει] ἀγνοίᾳ χρὴ γράφειν ἐπὶ δοτικῆς διὰ τὸ μέτρον, καὶ ὐκ ἄγνοια· καὶ συντάσσειν ὅτως, ἐν ἀγνοίᾳ με ἔχει ἅπερ εἰρηκας, τυτίσιν, ἅπερ εἰρηκας αἰτιᾶ ἐγὼ τοῦ εἶναι ἐμὲ ἐν ἀγνοίᾳ διὰ τὸ ἀσαφῶς εἰρῆσθαι. ἐπὶ γὰρ ὐκ ἴσχον τὴν τούτων γνῶσιν, τρόπον δή τινα αὐτά με κατέχει ἐν τῇ ἀγνοίᾳ.

356. Ὡς τῆς κορης] τῆς Ἰόλης.

357. Εὔρυτόν θ' ἕλοι] ἑλόντ' εἰη. εἰ δὲ ὑφ' ἓν, θέλοι ἄν.

358. Τήν θ' ὑψίπυργον Οἰχαλίαν] Φερεκύδης φησὶν ὕτω μετὰ δὲ τὸν ἀγῶνα Ἡρακλῆς ἀφικνεῖται πρὸς Εὔρυτον τὸν Μίλανος τοῦ Ἀρκισιλάου εἰς τὴν Οἰχαλίαν· οἰκεῖτο δὲ αὕτη ἐν Θήλῃ τῆς Ἀρκαδίας, καὶ ἤτει τὴν θυγατέρα Ἴτυλλον γυναῖκα· τοῦ δὲ μὴ διδόντος, Ἡρακλῆς εἶλε τὴν Οἰχαλίαν, καὶ τοὺς υἱοὺς ἀπέκτεινεν. Ἶφιτος δὲ ἔφυγεν εἰς Εὔβοιαν. Μενεκράτης δὲ ὕτω λέγει· Ἡρακλέα εἰς ἐπιθυμίαν Ἰόλης ἀφικέσθαι τῆς Εὐρύτου. τὸν δὲ μὴ θέλειν διδόναι. ἦρα τε γὰρ αὐτῆς καὶ μίγνυσθαι ἔμελλε τῇ θυγατρὶ, εἰ μὴ Ἀργεῖοι ἐξῆλθον εἰς τὴν Εὔβοιαν.

359. Θέλξειεν] πεπεικὼς εἴεν.

Ib. Αἰχμάσαι τάδε] καταπρᾶξασθαι τῇ αἰχμῇ· ὅ ἐστι, διὰ πολέμου κατορθῶσαι.

362. Ὃν νῦν παρώσας] τὸν ἔρωτα αὐτῆς ἀπωσάμενος καὶ παραπεμψάμενος, τἀναντία ἔπραττε ὁ Λίχας.

364. Κρύφιον

Τὴν παῖδα δῦναι, κρύφιον ὡς ἔχοι λέχος,
Ἔγκλημα μικρὸν αἰτίαν θ' ἑτοιμάσας,
Ἐπισρατεύει πατρίδα τὴν ταύτης· ἐν ᾗ
Τὸν Εὔρυτον τῶνδ' εἶπε δεσπόζειν θρόνων,
Κτείνει τ' ἄναιλα πατέρα τῆσδε, καὶ πόλιν
Ἔπερσε· καὶ νῦν (ὡς ὁρᾷς) ἥκει δόμους
Ὡς τῦσδε * πέμπων, ἐκ ἀφροντίσως, γύναι,
Οὐδ' ὥσε δῦλην· μηδὲ προσδόκα τάδε †·
Οὐδ' εἰκὸς, εἴπερ ἐντεθέρμανται πόθῳ.
Ἔδοξεν ἔν μοι πρός σε δηλῶσαι τὸ πᾶν,
Δέσποιν', ὃ τῦδε τυγχάνω μαθὼν πάρα.
Καὶ ταῦτα πολλοὶ πρὸς μέσῃ Τραχινίων
Ἀγορᾷ συνεξήκουον ὡσαύτως ἐμοὶ,
Ὡς ἐξελέγχειν· εἰ δὲ μὴ λέγω φίλα,
Οὐχ ἥδομαι, τὸ δ' ὀρθὸν ἐξείρηχ' ὅμως.

ΔΗΙ. Οἴμοι τάλαινα, ποῦ ποτ' εἰμὶ πράγματος;
Τίν' εἰσδέδεγμαι πημονὴν ὑπόκλοπον,
Λαθραῖον; ὦ δύσληνος, ἆρ' ἀνώνυμος
Πέφυκεν, ὥσπερ ὁ πάγων διώμυλο;
Ἢ κάρτα λαμπρὰ, καὶ κατ' ὄμμα, καὶ φύσιν;

* Turn. Ὡς τάσδε. † Ald. τόδε.

364. Κρύφιον ὡς ἔχοι λέχος] ἤγουν, λαθραῖον, μὴ εἰδυίας σὺ, ἀλλ' ἵνα ὡς παλλακίδα αὐτὴν ἔχοι.

366. Ἐπὶ ᾗ] τῇ Οἰχαλίᾳ, τῇ πατρίδι τῆς Ἴλης.

369. Καὶ νῦν, ὡς ὁρᾷς] ἀντὶ τοῦ, ὡς ἀκούεις. ἥκει δὲ ἀντὶ τοῦ ἐλπύσθαι ὄσον οὔπω. διὰ δὲ τούτων τὴν ταχεῖαν αὐτοῦ ἄφιξιν ἐπαγγέλλεται.

370. Οὐκ ἀφρονῶς] ἀντὶ τοῦ, ἐκ ὡς ἔτυχεν, ἀλλὰ διὰ πολλῆς φροντίδος ἔχων αὐτὴν καὶ ἀγαπῶν.

371. Μηδὲ προσδόκα τάδε] τὸ ἐν δόλῳ μέρει ἔχειν αὐτήν.

372. Ἐντεθέρμανται] ἐκκέκαυται.

375. Καὶ ταῦτα] οἷον, τοσοῦτοι ἦσαν ταῦτα ὥστε καὶ ἐξελέγχειν αὐτὸν εἰ ἀρνήσοιτο· εἰ γὰρ εἶχον ὧν λέγειν κατ' αὐτοῦ τι, εἰ μὴ καὶ μαρτύρων ἠπόρουν.

376. Ἀγορᾷ] ἀθροίσματι.

378. Οὐχ ἥδομαι] λυποῦμαι μὲν (φησὶν) ἐκ εἰπών σοι τὰ κεχαρισμένα, ἀλλ' ὅμως ἀληθῆ εἰσὶν, ἅπερ εἴρηκα.

381. Ἆρ' ἀνώνυμος πέφυκεν] ἆρα ἄσημος οὕτως ἐστὶ καὶ δυσγενὴς, ὡς μηδὲ τὸ ὄνομα αὐτοῦ γιγνώσκεσθαι;

383. Ἢ καὶ τὰ λαμπρὰ] ταῦτα τὸ τῆ ἀγγέλῳ πρόσωπον φησί. τὸ δὲ κατ' ὄμμα καὶ φύσιν,

ΑΓΓ. Πατρὸς μὲν ὅσα γένεσιν Εὐρύτῳ ποτὲ,
Ἰόλη καλεῖτο· τῆς ἐκείνος ἵμερῳ
Βλάστας ἐφώνει δῆθεν ὠδὲν ἱστορῶν.
ΧΟΡ. Ὄλοιντο μή τοι * πάντες οἱ κακοὶ, τὰ δὲ
Λαθραῖ' ὃς ἀσκεῖ μὴ πρέπονθ' αὑτῷ † κακά.
ΔΗΙ. Τί χρὴ ποιεῖν, γυναῖκες; ὡς ἐγὼ λόγοις
Τοῖς νῦν παρεῖσιν ἐκπεπληγμένη κυρῶ.
ΧΟΡ. Πεύθου μολοῦσά τἀνδρός· ὡς τάχ' ἂν σαφῆ
Λέξειεν, εἴ μιν πρὸς βίαν κρίνειν θέλοις.
ΔΗΙ. Ἀλλ' εἶμι· καὶ γὰρ οὐκ ἄπο γνώμης λέγεις.
ΧΟΡ. Ἡμεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποιεῖν;
ΔΗΙ. Μίμν', ὡς ὅδ' ἀνὴρ, οὐκ ἐμῶν ὑπ' ἀγγέλων,
Ἀλλ' αὐτόκλητος ἐκ δόμων πορεύεται.
ΛΙΧ. Τί χρή, γύναι, μολόντα ‡ μ' Ἡρακλεῖ λέγειν,
Δίδαξον· ὡς ἕρπουλος εἰσορᾷς ἐμέ.
ΔΗΙ. Ὡς ἐκ ταραχείας §, σὺν χρόνῳ βραδεῖ μολὼν,
Αἴσσεις ‖, πρὶν ἡμᾶς καὶ νεώσασθαι λόγους;
ΛΙΧ. Ἀλλ' εἴ τι χρῄζεις ἱστορεῖν, πάρειμ' ἐγώ.
ΔΗΙ. Ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νέμεις;

* Ald. μήτι. † Ald. αὐτῷ. ‡ Ald. μολῶντα.
§ Turn. in marg. ταχείας. ‖ Turn. in marg. ἀίσσεις. Ald. ἄσσεις, recte.

φύσιν, ἀντὶ τοῦ, ὑπερπικρὸν τὴν ὀφιν καὶ τὸ πᾶν σῶμα. ἢ ἀντὶ τοῦ, ἄρα τῇ θέᾳ καὶ τὸ γένος ἐμίμηλεν.

386. Βλάστας] τὸν γονεῖς, ἀφ' ὧν ἐβλάστησεν.

Ib. Δῆθεν] προσποιούμενος μηδένα ἠρωτηκέναι μηδὲ ἐγνωκέναι.

387. Ὄλοιντο μή τοι πάντες] ὄλοιντο μὴ πάντες οἱ ἄνθρωποι, ἀλλ' οἱ κακοὶ καὶ ὅσοι μηχανῶνται λάθρᾳ, καὶ κακόργους λόγους ἑαυτοῖς συντιθέασιν.

393. Οὐκ ἄπο γνώμης] ἀλλ' ἀρεσκά. οὐκ ἄνευ συνέσεως. ἤγουν, καλῶς ἀρέσκει.

394. Ἡμεῖς] κατ' ἐρώτησιν.

396. Αὐτόκλητος] αὐτόματος.

398. Ὡς ἕρπουλος εἰσορᾷς ἐμέ] ὁρᾷς γὰρ με ἕρποντα καὶ σπεύδοντα πρὸς τὸν Ἡρακλέα. ἴσως δὲ ὅμοιον τῷ κατεάγη τῆς κεφαλῆς.

Ib. Διδαξον· ὡς ἕρπουλος] τοῦτο μᾶλλον ὅμοιόν ἐστιν, ὡς ἐμοὶ δοκεῖ, τῷ φράσον, ὡς ὄντος γε μὴ βαδιστικοῦ, πῶς· Ἀριστοφάνει.

400. Αἴσσεις] ἀντὶ τοῦ, ἄϊσσεις.

Ib. Καὶ νεώσασθαι] ἀνακαινίσασθαι καὶ αὖθις ὁμιλῆσαι ἀκριβῶς ἐκ νέου. Ἢ οὕτως, πρὶν ἡμῖν καινοπρεπῶς ἀνακαινώσασθαι λόγους.

Ib. Αἴσσεις] οἰονεὶ ὁρμᾷς.

ΛΙΧ. Ἴσω μέγας Ζεὺς, ὧν γ' ἂν ἐξειδὼς κυρῶ.
ΔΗΙ. Τίς ἡ γυνὴ δῆτ' ἐστὶν, ἣν ἥκεις ἄγων;
ΛΙΧ. Εὐβοΐς· ὧν δ' ἔβλαψεν, οὐκ ἔχω λέγειν.
ΔΗΙ. Οὗτος, βλέφ' ὧδε· πρὸς τίν', ἐννέπειν δοκεῖς;
ΛΙΧ. Σὺ δ' εἰς τί δή με τοῦτ' ἐρωτήσας' ἔχεις;
ΔΗΙ. Τόλμησον εἰπεῖν, εἰ φρονεῖς, ἅ σ' * ἱστορῶ.
ΛΙΧ. Πρὸς τὴν κρατοῦσαν Δηϊάνειραν Οἰνέως
Κόρην, δάμαρτά θ' Ἡρακλέους, (εἰ μὴ κυρῶ
Λεύσσων μάταια,) δεσπότιν τε τὴν ἐμήν.
ΔΗΙ. Τοῦτ' αὖτ' ἔχρῃζον τοῦτό σ' μαθεῖν· λέγεις
Δέσποιναν εἶναι τήνδε σήν;
ΛΙΧ. Δίκαια γάρ.
ΔΗΙ. Τί δῆτα, ποίαν ἀξιοῖς δοῦναι δίκην,
Ἢν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν;
ΛΙΧ. Πῶς μὴ δίκαιος; τί ποτε ποικίλασ' † ἔχεις;
ΔΗΙ. Οὐδέν· σὺ μέντοι κάρτα τοῦτο δρῶν κυρεῖς.
ΛΙΧ. Ἄπειμι· μῶρος δ' ἦν πάλαι κλύων σέθεν.
ΔΗΙ. Οὔ· πρὶν γ' ἂν εἴπῃς ἱστορούμενος βραχύ.
ΛΙΧ. Λέγ' εἴ τι χρῄζεις· καὶ γὰρ ἐ σιγηλὸς εἶ.
ΔΗΙ. Τὴν αἰχμάλωτον, ἣν ἔπεμψας ἐς δόμους,

* Aldus, ὅ σ'. † Aldus, ποικίλλασ'.

403. Ἴσω μέγας Ζεύς] ὅστι περὶ ὧν οἶδα ἀκριβῶς σοι διηγήσομαι.

405. Ὧν δ' ἔβλαψεν] ἀντὶ τοῦ, ὑπὸ τίνος ἐτέχθη.

406. Οὗτος, βλέφ' ὧδε] ὡς εἰκὸς, κάτω νεύοντα ὁ Λίχας. καίτασχέσω ὂν αὐτὸν τῇ χειρὶ, φησὶν, Ἀπόβλεψον εἰς ἐμέ. ὁ δὲ, ἀνανεύσας ἔγη, Πρὸς τίνα γὰρ νομίζεις λέγειν; Πρὸς τίν' ἐννέπειν δοκεῖς] ὅτι πρὸς βασιλίδα· τὸ δὲ χ', ὅτι τὸ ὧδε τοπικόν ἐστι.

408. Τόλμησον εἰπεῖν] καλῶς τὸ τόλμησον, ὡς ἀπειλοῦντος εἰπεῖν διὰ τὸν δεσπότην.

411. Δεσπότιν τε τὴν ἐμὴν] τοῦτο πρὸς τὸ, πρὸς τίν' ἐννέπειν δοκεῖς;

414. Δίκαια γάρ] ἀντὶ τοῦ ἀληθῆ.

416. Ἐς τήνδε μὴ δίκαιος ὤν] δικαίως, εἰς τήνδε μὴ ἀληθεύων.

417. Τί ποτε ποικίλασ' ἔχεις] τί πεπανούργικας κατ' ἐμοῦ; τί ἐμηχανήσω, ἢ ἐβουλεύσω;

419. Κλύων σέθεν] εἰκῇ ὁμιλήσης ἠλαζόνι.

421. Καὶ γὰρ ἐ σιγηλὸς εἶ] ἀντὶ τοῦ σιγηλή. ὁ σιωπῶν (φησι) πρὶν ὢν πολλὰ φλυαρήσῃς εἰς ἡμᾶς. ἢ πρὶν ἂν μάθῃς ὅ, τι βούλει.

425. Οὐκοῦν

Κάτισθα δήπε;

ΛΙΧ. Φημί· πρὸς τί δ' ἱστορεῖς;

ΔΗΙ. Οὐκῶν σὺ ταύτην, ἣν ὑπ' ἀγνοίας ὁρᾷς,
Ἰόλην ἔφασκες Εὐρύτου σπορὰν ἄγειν;

ΛΙΧ. Ποίοις ἐν ἀνθρώποισι; τίς πόθεν μολὼν
Σοὶ μαρτυρήσει ταῦτ' ἐμὲ κλύειν παρών;

ΔΗΙ. Πολλοῖσιν ἀξῶν· ἐν μέσῃ Τραχινίων
Ἀγορᾷ πολύς σε ταῦτά γ' εἰσήκυσ' ὄχλος.

ΛΙΧ. Ναί·
Κλύειν γ' ἔφασκον· ταυτὸ δ' οὐχὶ γίνεται
Δόκησιν εἰπεῖν, κἀξακριβῶσαι λόγον.

ΔΗΙ. Ποίαν δόκησιν; οὐκ ἐπώμοσ[ε] λέγων
Δάμαρτ' ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν;

ΛΙΧ. Ἐγὼ δάμαρτα; πρὸς θεῶν φράσον, φίλη
Δέσποινα, τόνδε, τίς ποτ' ἐστὶν ὁ ξένος.

ΔΗΙ. Ὃς σε παρὼν ἤκουσεν, ὡς ταύτης πόθῳ
Πόλις δαμείη πᾶσα, κοὐχ ἡ Λυδία
Πέρσειεν αὐτήν, ἀλλ' ὁ τῆσδ' ἔρως φανείς.

ΛΙΧ. Ἄνθρωπος, ὦ δέσποιν', ἐπισήτω*. "τὸ γὰρ
"Νοσοῦντι ληρεῖν, ἀνδρὸς οὐχὶ σώφρονος."

* Aldus, ἀποσήτω. rectè.

425. Οὐκῶν σὺ ταύτην] ὦ σὺ (φησὶ) ταύτην, ἣν προσποιῇ ἀγνοεῖν, ἔλεγες εἶναι Ἰόλην;

432. Ταυτὸ δ' οὐχὶ γίνεται] ὦ ταυτὸν ἐστὶ εἰκάσαι καὶ ἀληθὴς λόγος. Θέλει δὲ εἰπεῖν, ὅτι κἀγὼ ἤκουσα.

441. Ἐπισήτω] πεμισσὴ ἡ ἀπὸ, ἢ γράφεται πυρσήτω, ἤγουν, ὁ ἄνθρωπος σήτω παρελθὼν εἰς μέσον ὁ διελέγχων με.

Ib. Ἄνθρωπος, ὦ δέσποιν'] ὁ ἄνθρωπος, (φησὶν,) ὦ δέσποινα, ἐπισήτω, ἤγουν, παρελθὼν σήτω εἰς μέσον ὁ διελέγχων με. οἱ δὲ ἀποσήτω, γράφοντες, οὐκ οἶδα τίνι λόγῳ τοῦτο γράφουσι.

Ib. Τὸ γὰρ νοσοῦντι ληρεῖν] καθολικῶς τὸ λόγον ἐπάγειν, ἵνα μὴ δόξῃ αὐτὸν διελέγχειν. καὶ ἀρσενικῶς προφέρει, λέγων, τὸ συμφλυαρεῖν τῷ νοσοῦντι καὶ οἷον μαινομένῳ, ἀνδρὸς ἐστιν οὐχὶ σώφρονος, προστήτω ὃν ὁ ἄνθρωπος. ὦ γὰρ φιλονεικήσω πρὸς αὐτόν.

Ib. Τὸ γὰρ] γναμικὸν.

442. Νοσοῦντι] ἀντὶ τοῦ νοσήσῃ ὑπὸ ζηλοτυπίας· ἀρσενικῶς δὲ εἶπεν· ἢ καθόλου ὁ λόγος ὡς μὴ δόξῃ αὐτὴν διελέγχειν. ἤτω· τὸ γὰρ μαινομένῳ συμφλυαρεῖν, ἀνδρός ἐστιν οὐ σώφρονος. προστήτω ὃν (φησὶν) ὁ ἄνθρωπος. ὦ γὰρ φιλονεικήσω πρὸς αὐτόν. Ληρεῖν ἀντὶ τοῦ φλυαρεῖν καὶ ἀδωσισχιῶν.

ΔΗΙ. Μὴ πρὸς σὺ τῶ κατ' ἄκρον Οἰταῖον νάπος
Διὸς καλασράπλουλος ἐκκλέψῃς λόγον.
Οὐ γὰρ γυναικὶ τὰς λόγους ἐρεῖς κακῇ,
Οὐδ' ἥτις ἀ κάτοιδε τἀνθρώπων, ὅτι
Χαίρειν πέφυκεν ἀχὶ τοῖς αὐτοῖς ἀεί.
Ἔρωλι μέν νυν ὅστις ἀντανίσαλαι,
Πύκτης ὅπως ἐς χεῖρας, ἀ καλῶς φρονεῖ.
Οὗτος γὰρ ἄρχει καὶ θεῶν, ὅπως θέλει,
Κἀμοῦ γε· πῶς δ' οὔ; χ' ἁτέρας, οἵας γ' ἐμοῦ."
Ὡς εἴ τι τῷ μῷ τἀνδρὶ τῆδε τῇ νόσῳ
Ληφθέντι μεμπτὸς εἶμι, κἀρτα μαίνομαι·
Ἢ τῆδε τῇ γυναικὶ τῇ μελαιλίᾳ *
Τὸ μηδὲν αἰσχρὸν, μηδ' ἐμοὶ κακὸν τινός.
Οὐκ ἔστι ταῦτ'· ἀλλ' εἰ μὲν ἐκ κείνου μαθὼν
Ψεύδῃ, μάθησιν ἀ καλὴν ἐκμανθάνεις·
Εἰ δ' αὐτὸς αὑτὸν ὧδε παιδεύεις, ὅταν
Θέλῃς γενέσθαι χρηστὸς, ὀφθήσῃ κακός.
Ἀλλ' εἰπὲ πᾶν τἀληθές· "ὡς ἐλευθέρᾳ,
"Ψευδεῖ καλεῖσθαι, κἠρ πρόσεστιν ἀ καλή."
Ὅπως δὲ λήσεις, ἀδὲ τοῦτο γίνεται.
Πολλοὶ γὰρ οἷς εἴρηκας, οἱ φράσουσ' ἐμοί.
Κεἰ μὲν δέδοικας, ἀ καλῶς ταρβεῖς· ἐπεὶ

* TURN. in marg. μήτ' αἰτίῳ.

448. Ἔρωλι μέν νυν] εὐλόγως γὰρ, ὅστις προσέοικε τῇ ἔρωτι.

450. Οὗτος γὰρ ἄρχει] ἀπὸ κοινοῦ τὸ ἀ, ἄρχει.

453. Μεμπτὸς εἶμι] κατέξιν, εἰ μέμφομαι ἢ ἀντὶ τοῦ ἐπιμεμπτός, ἐπιπληκτικόν.

456. Ἀλλ' εἰ μὲν ἐκ κείνου μαθὼν] εἰ μὲν παρὰ Ἡρακλέους ἐλευθέρου ψεύσασθαι, κακὴν μάθησιν ἐκμανθάνεις· εἰ δὲ σὺ σαυτὸν εἰς τοῦτο ψευδολογίας ἄγεις, ἴσθι, ὅτι κἂν θελήσῃς ποτὲ εἰκεῖν ἀληθῆ, ἀ συνήσῃ, ὑπὸ τῆς συνηθείας νικώμενος. ἢ ὅτι κἂν θέλῃς ἀληθεῦσαι, ἀ ψευδὴς ἔσῃ.

461. Κὠρ πρόσεστιν] μεθ' ὑπερβατοῦ, κλῆσις, μᾶλλον τύχη.

462. Ὅπως δὲ λήσεις] ἀντὶ τοῦ μὴ λήσῃς· Ἀττικὴ δὲ ἡ φράσις. λυπήσομαι εἰ μὴ εἴπῃς, καὶ πᾶς' ἐμοῦ προσδέκα βλασθήσεσθαι.

467. Πλείστας]

Τὸ μὴ πυθέσθαι, τοῦτό μ' ἀλγύνειεν ἄν·
Τὸ δ' εἰδέναι, τί δεινόν: ἐχὶ χ, ἀτέρας
Πλείσας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή;
Κἄπω τις αὐτῶν ἐκ γ' ἐμοῦ λόγον κακὸν
Ἠνέγκατ', οὐδ' ὄνειδος ἥδέ τ', οὐδ' ἂν εἰ
Κάρ τ' ἐντακείη τῷ φιλεῖν· ἐπεί σφ' ἐγὼ
Ὤκτειρα δὴ μάλισα προσβλέψασ', ὅτι
Τὸ κάλλος αὐτῆς τὸν βίον διώλετε *,
Καὶ γῆν πατρῴαν ἐχ ἑκοῦσα δύσμορος
Ἔπερσε καὶδέλωσεν· ἀλλὰ ταῦτα μὲν
Ῥείτω κατ' ἔρον· σοὶ δ' ἐγὼ φράζω κακὸν
Πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.

ΧΟΡ. Πείθω λεγούσῃ χρηστὰ (κοὐ μέμψῃ χρόνῳ)
Γυναικὶ τῇδε· κἀπ' ἐμοῦ κτήσῃ χάριν.

ΛΙΓ. Ἀλλ', ὦ φίλη δέσποιν', ἐπεί σε μανθάνω †
Θνητὴν φρονοῦσαν θνητά, κοὐκ ἀγνώμονα,
Πᾶν σοι φράσω τἀληθές, οὐδὲ κρύψομαι·
Ἔστιν γὰρ ἔτως, ὥσπερ ἔτος ἐννέπει.
Ταύτης ὁ δεινὸς ἵμερός ποθ' Ἡρακλῆ
Διῆλθε, καὶ τῆσδ' ἕνεχ' ἡ πολύφθορος
Καθῃρέθη πατρῷος Οἰχαλία δορί.
Καὶ ταῦτα (δεῖ γὰρ καὶ τὸ πρὸς κείνῳ λέγειν)

* Aldus, ἐώλεσεν. † Turn. in marg. σ' ἐκμαθάνω.

467. Πλείσας] ὑπολοίπει, ἀνάνδρως παρθένους, ὡς Μήδειαν τὴν Φιλανίου, Αὐγὴν τὴν Ἀλέως, Διγάμειραν τὴν Κρέοντος, τὰς Θεσπίου Δυναλίχας, Ἀσυάμειραν τὴν Ἀμύντορος.

469. Οὐδ' ὄνειδος ἥδέ τ', οὐδ' ἂν εἰ κάρτ' ἐντακείη τῷ φιλεῖν] οὐδὲ ἡ Ἰόλη ὀνειδισθήσεται ὑπ' ἐμοῦ, οὐδ' εἰ μεγάλως αὐτῆς ἐρᾷ ὁ Ἡρακλῆς, καὶ ἐκλακείη ἐν τῷ αὐτῆς ἔρωτι.

470. Τῷ φιλεῖν] τῷ φιλεῖν αὐτὴν τὸν Ἡρακλέα.

474. Ἀλλὰ ταῦτα μὲν ῥείτω κατ' ἔρον] ὃ περὶ τούτων λόγος ἐξέφθω (φησὶν) εἰς τὸν ἔρωτα.

477. Πείθω λεγούσῃ χρηστὰ] πείσθηι, φησιν, ὁρῶ γὰρ ὅτι φιλανθρώπως ὁμιλεῖ.

482. Ὥσπερ ἔτος] ἐννέπει] ὁ ἐν τῷ λειμῶνι ἀκήκοως, καὶ ὠπαγγέλας τῇ Δηϊανείρᾳ.

487. Οὕτ'

Οὔτ' εἶπε κρύπτειν, ὅτ' ἀπηρνήθη ποτέ·
Ἀλλ' αὐτὸς, ὦ δέσποινα, δειμαίνων τὸ σὸν
Μὴ σέρνον ἀλγύνοιμι τοῖσδε τοῖς λόγοις,
Ἥμαρτον, εἴ τι τήνδ' ἁμαρτίαν νέμεις.
Ἐπεί γε μὲν δὴ πάντ' ἐπίσασαι λόγον,
Κείνῳ τε καὶ σὴν ἐξίσῳ κοινὴν χάριν,
Καὶ σέργε τὴν γυναῖκα, καὶ βέλε λόγες,
Οὓς εἶπας ἐς τήνδ', ἐμπέδως εἰρηκέναι.
Ὡς τἄλλ' ἐκεῖνος πάντ' ἀριστεύων χεροῖν,
Τῷ τῆσδ' ἔρως εἰς ἄπανθ' ἥσσων ἔφυ.

ΔΗΙ. Ἀλλ' ὧδε καὶ φρονοῦμεν, ὥστε ταῦτα δρᾶν.
Κἄτοι νόσον γ' ἐπακτὸν ἐξαιρούμεθα,
Θεοῖσι δυσμαχοῦντες· ἀλλ' εἴσω στέγης
Χωρῶμεν, ὡς λόγων τ' ἐπισολὰς φέρῃς,
Ἄ, τ' * ἀντὶ δώρων δῶρα χρὴ προσαρμόσαι,
Καὶ ταῦτ' ἄγῃς· κενὸν † γὰρ ἃ δίκαιά σε
Χωρεῖν, προσελθόνθ' ὧδε σὺν πολλῷ στόλῳ.

ΧΟΡ. Μέγα τὶ σθένος ἁ
Κύπρις ἐκφέρεται νίκας ἀεί.

* Aldus, Ἅ τ'. † Aldus, κιὼν.

487. Οὔτ' εἶπε κρύπτειν] τὸ ἐξῆς, καὶ ταῦτα οὐτ' εἶπε κρύπτειν. τὰ περὶ τῶ ἔρωτος φησὶ τὴς Ἰόλης, ὅτε κρύπτειν μοι ὁ Ἡρακλῆς εἶπεν, ὥστε μὴν ὁμολογεῖν.

490. Εἴ τι τήνδ' ἁμαρτίαν] καλῶς διὰ τῆς λέξεως, τὸ ἥμαρτον, φησὶ, συγγνώμην ἑαυτῷ προζενεῖ.

491. Ἐπεί γε μὲν δὴ πάντ' ἐπίσασαι] ἐπεὶ τοίνυν πᾶν τὸ λοιπὸν ἐπίσασαι, λέγω τι καὶ ἕτερον, ὅπερ ὁμοίως κεχαρισμένον σοί τε καὶ τῷ Ἡρακλεῖ γενήσεται.

497. Ἀλλ' ὧδε καὶ φρονοῦμεν] ἤγουν, ὥσπερ προείρηκα ταῦτα, καὶ ποιήσω.

498. Κἄτοι νόσον γ' ἐπακτὸν] τὴν Θεομαχίαν λέγει. ἐπακτὸν δὲ ἐντεῦθα, ἀντὶ τῦ, αὐθαίρετον τὴν Θεομαχίαν· τὸ γὰρ περὶς τὸν ἔρωτα φιλονεικεῖν, Θεομαχεῖν ἐστιν ἀντικρυς.

501. Ἄ, τ' ἀντὶ δώρων] ὅπως ἂν αὐτῷ παρ' ἡμῶν κομίσῃς ἀντίπομπα καὶ σύμφωνα τῆς ἥξεως· λέγει δὲ ἀντὶ τῶν αἰχμαλώτων.

503. Σὺν πολλῷ στόλῳ] ἤγουν, σὺν ταῖς ἀπείραλμέναις αἰχμαλώτοισι.

504. Μέγα τὶ σθένος] γράφεται καὶ μέγα τὶ σθένουσα Κύπρις. νικηφορεῖ ἐν παντὶ πράγματι. ἡ ἥττως, ἀποφέρεται τὰς νίκας κατὰ πάντων, καὶ πάσης κρατεῖ φύσεως. σθένος δὲ νίκης, περιφραστικῶς τὴν νίκην· εἰκότως δὲ ὁ χορὸς τοιαύτην ἀρχὴν ποιοῦνται. πέπαυλα γὰρ ὁ λόγος περὶ τῦ Ἔρωτος.

507. Παρίδαν

Καὶ τὰ μὲν θεῶν
Παρέβαν· καὶ ὅπως
Κρονίδαν ἀπάτασεν, ἐ λέγω·
Οὐδὲ τὸν ἔννυχον Ἀΐδαν,
Ἢ Ποσειδάωνα τινάκ[τορα γαίας·
Ἀλλ' ἐπὶ * τάνδ' ἄρ' ἄκοιτιν
Ἀμφίγυοι κατέβαν πρὸ γάμων τινές·
Πάμπλη[κτα πραγκόνιτά τ' ἐξ-
ῆλθον ἄεθλ' ἀγώνων.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ὁ μὲν ἦν πο[λαμὸ
Σθένος, ὑψίκερω τε[ραόρ
Φάσμα ταύρ
Ἀχελῷος ἀπ' Οἰ-
νιαδᾶν· ὁ δὲ Βακχείας ἄπο
Ἦλθε πολίν[ονα Θήβας
Τόξα καὶ λόγχας ῥόπαλόν τε τινάσσων
Παῖς Διός· οἱ τότ' ἀολλεῖς † ἴ-

* Aldus, τήνδ'. † Aldus, ἀολεῖς.

507. Παρέβαν· καὶ ὅπως] ἀντὶ τοῦ παρεβάσαμεν. καὶ ὅσα μὲν εἰς Διὸς (φασὶν) ἐνεδείξατο, ὑπερβήσομαι.

509. Τὸν ἔννυχον Ἀΐδαν] τὸν ἐν σκότῳ κατρίδοντα.

511. Ἀλλ' ἐπὶ τάνδ' ἄκοιτιν] τὴν Δηϊάνειραν. ὁ δὲ νῦν ὅτος, τὰ μὲν εἰς Διὸς γεγονότα παρίημι· ἱκανὰ δὲ λέγω, τίνες ἠγωνίσαντο περὶ τῶν γάμων Δηϊανείρας, καὶ κατέδησαν εἰς τὸν ἀγῶνα.

512. Ἀμφίγυοι κατέβαν] ἀνίππαλοι, ἢ ἰσχυροὶ ἐν τοῖς γύοις, μαχεσάμενοι χερσί· καὶ ποσίν· ἢ ἀμφότεροι τεθωρακισμένοι, ἢ ἄμφω παρεζυμμένοι.

513. Πάμπλη[κτα] ἀγωνίσματα πληγῶν μιγά.

Ib. Ἐξῆλθον ἄεθλ' ἀγώνων] ἀντὶ τοῦ, διήνυσαν, ἐπεξῆλθον, ἠγωνίσαντο. λέγει δὲ, ὅτι πᾶν εἶδος ἀγωνίσματος κατ' ἀλλήλων ἐπεδείξαντο, ἠγωνίσαντο.

516. Τετρα[όρω] τετρασκελῆ.

517. Φάσμα] φάνταγμα, σχῆμα.

518. Ἀπ' Οἰνιαδᾶν] ἀπὸ Αἰτωλίας. ἦ ὅτως Οἰνίαι πόλις Ἀκαρνανίας, δι' ἧς ῥεῖ ὁ Ἀχελῷος. πληθυντικῶς δὲ λέγεται.

519. Βακχείας ἄπο] τῆς τὴν Βάκχον ἔχούσης. κυρίως δὲ τὸ Βακχεῖος, πρὸς ἀντιδιαστολήν.

521. Τόξα καὶ λόγχας] ἀφ' ἱστορίας φησὶ λόγχην ἔχειν τὸν Ἡρακλέα.

522. Ἀολλεῖς ἴσαν] καταχρηστικῶς εἴπειν ἐπὶ δύο τὸ ἀολλεῖς. ἐπὶ πλείους γὰρ λέγεται. ἢ ἀολλεῖς ἀντὶ τοῦ λίαν ἑλίντες Ὅμηρος·

" Οὔρεσιν δὲ ἅλεις."

523. Ἴμμενοι]

σαν ἐς μέσον ἱέμενοι λεχέων· μόνα
Δ' εὔλεκτρος ἐν μέσῳ Κύπρις
Ῥαβδονόμει ξυνοῦσα.

ΕΠΩΔΟΣ.

Τότ' ἦν χειρὸς *, ἦν δὲ
Τόξων πάταγος, ταυρείων
τ' ἀναμιγδα κεράτων·
Ἦν δ' ἀμφίπλεκτοι
Κλίμακες· ἦν δὲ μετώπων ὀλόεντα
Πλήγματα, καὶ στόνος ἀμφοῖν.
Ἁ δ' εὐῶπις ἁβρὰ
Ταλαυγεῖ † παρ' ὄχθῳ
Ἧστο, τὸν ὃν προσμένουσ' ἀκοίταν.
Ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω,
Τὸ δ' ἀμφινείκητον ‡ ὄμμα νύμφας
Ἐλεεινὸν ἀμμένει.
Καὶ πὸ ματρὸς ἄφαρ
Βέβακεν, ὡς πόρτις ἐρήμα.

* Ald. χερός. † Ald. ταλαυγῆ. ‡ Turn. in marg. ἀμφιμάχητον.

523. Ἱέμενοι] ἐπιθυμοῦντες.

Ib. Μόνα δ' εὔλεκτρος] μόνη δὲ ἡ εὐλεκτρος Κύπρις παροῦσα, ἐβράβευε καὶ διέτασε.

526. Τότ' ἦν χερὸς] τότε ἦν ὁ Ἡρακλῆς καὶ χερσὶ καὶ τόξοις ἐμάχετο, ὁ δὲ Ἀχελῷος τοῖς κέρασιν.

528. Ἀναμιγδα] ἀναμεμιγμένως.

529. Ἦν δὲ ἀμφίπλεκτοι κλίμακες] ἦν, ἀντὶ τοῦ ὑπῆρχεν. Ἡσίοδος,

"Γῆς δ' ἦν τρεῖς κεφαλαί."

Κλίμακες δέ, αἱ ἐπαναβάσεις, παρὰ τὸ ἄνω σε καὶ κάτω αὐτὰς στρέφεσθαι ἐν τῇ μάχῃ ἔφη. ἐξ ἰδέας παλαίσματος ἡ κλίμαξ· τοῦτο δὲ τὸ σχῆμα ἐπὶ Ἡρακλέους ἀκμαῖον.

530. Ἦν δὲ μετώπων] τοῦτο ἐπὶ Ἀχελῴου. οἱ γὰρ ταῦροι τοῖς κέρασι καὶ μετώποις μάχονται.

532. Ἁ δ' εὐῶπις] ἡ Δηϊάνειρα.

535. Ἐγὼ δὲ μάτηρ μὲν] ἐγὼ (φησὶν) ἀδιαθέτως ὡσεὶ μήτηρ λέγω. ἐγὼ παρεῖσα τὰ πολλά, τὰ τέλη λέγω τῶν πραγμάτων.

536. Ἀμφιμάχητον ὄμμα νύμφας] ἀντὶ τοῦ ἡ περιμάχητος νύμφη, περιφραστικῶς. ἀπὸ δὲ τοῦ καλλιστεύοντος αὐτὴν εἶπε μέρους. Ἄλλως· Ὄμμα νύμφας. Ἔστι δὲ καὶ νύμφη ἐλεεινὴ οὖσα, ὑπέμεινεν ἡ περικαλλὴς Δηϊάνειρα.

537. Ἀμμένει] ἀντὶ τοῦ ἀνέμενε.

538. Καὶ πὸ ματρὸς ἄφαρ] παραχρῆμα γενομένη τῶν τῆς μητρὸς ἀφωρίσθη πραγμάτων. ἀπὸ δὲ τοῦ ἅπτω ἄφω, τὸ ἄφαρ γίνεται.

540. Ἥμοι

IAMBOI.

ΔΗΙ. Ἥμος, φίλαι, κατ' οἶκον ὁ ξένος θροεῖ
Ταῖς αἰχμαλώτοις παισὶν ὡς ἐπ' ἐξόδῳ,
Τῆμος θυραῖος ἦλθον ὡς ὑμᾶς λάθρα *,
Τὰ μὲν φράσουσα, χερσὶν ἃ τεχνησάμην·
Τὰ δ' οἷα πάσχω συγκαοικίζουσ' ἐνί.
Κόρην γὰρ, οἶμαι δ' οὐκέτ', ἀλλ' ἐζευγμένην
Παρεισδέδεγμαι, φόρτον ὥστε ναυτίλος,
Λωβητὸν ἐμπόλημα τῆς ἐμῆς φρενός.
Καὶ νῦν δύ' ἔσαι μίμνομεν μιᾶς ὕπο
Χλαίνης ὑπαγκάλισμα †· τοιάδ' Ἡρακλῆς
Ὁ πιστὸς ἡμῖν κἀγαθὸς καλούμενος ‡
Οἰκοῦρι' ἀντέπεμψε τῷ μακρῷ χρόνῳ.
Ἐγὼ δὲ θυμεῖσθαι μὲν οὐκ ἐπίσταμαι
Νοσοῦντι κείνῳ πολλὰ τῇδι τῇ νόσῳ·
Τὸ δ' αὖ ξυνοικεῖν τῇδ' ὁμοῦ, τίς ἂν γυνὴ
Δύναιτο, κοινωνοῦσα τῶν αὐτῶν γάμων;
Ὁρῶ γὰρ ἥβην, τὴν μὲν ἕρπουσαν πρόσω,
Τὴν δὲ φθίνουσαν, ὧν ἁφαρπάζειν φιλεῖ
Ὀφθαλμὸς ἄνθος, τῶν δ' ὑπεκρέπειν πόδα.

* Ald. λάθρα. † Turn. ὑπ' ἀγκάλισμα. ‡ Turn. τιλυμένος.

540. Ἥμος, φίλαι] ἡ Δηϊάνειρα πρὸς τὰς χεῖρας ἐξελθοῦσα διαλέγεται. καὶ φησὶν, ἐν ὅσῳ ὁ Λίχας ταῖς κατὰ τὸν οἶκον συνιδίαις αἰχμαλώτοις, ἐξῆλθον ἵνα, ἅπερ ἐμηχανησάμην, δηλώσω ὑμῖν.

541. Ὡς ἐπ' ἐξόδῳ] ὡς μέλλων αὖθις ἐξιέναι πρὸς τὸν Ἡρακλέα.

544. Συγκαοικίζουσ' ἐνί] σὺν ἡμῖν θρηνοῦσα.

545. Ἀλλ' ἐζευγμένην] γεγαμημένην τῷ Ἡρακλεῖ προσδεξάμην φορτίον λωβητὸν τῆς ἐμῆς φρενός. ἤτοι, βλαβερὸν φορτίον καὶ ἐφύβρισον τῆς ἐμῆς φρενός.

548. Μιᾶς ὕπο χλαίνης] ὑπὸ μιᾶς καὶ τῆς.

551. Οἰκοῦρι' ἀντέπεμψε] τοιαῦτα τῆς οἰκείας ἀώρα ἐπεμψέ μοι ὁ Ἡρακλῆς ὑπὲρ τοῦ χρόνου παντὸς, ὃ συνῴκησα αὐτῷ· ἤ ἐστιν εὐχαριστήρια τῆς πολυχρονίας ἡμῶν οἰκειώσεως.

556. Τὴν μὲν ἕρπουσαν πρόσω] τὴν ἥλικα προκόπτουσαν καὶ αὐξανομένην τὴν ἡβην.

557. Τὴν δὲ φθίνουσαν] ἑαυτὴν λέγει, δεικλικῶς. φθίνουσα δὲ αὐτὶ τοῦ βιβηκυῖαν.

558. Ὀφθαλμὸς ἄνθος] τὸ ἄνθος τῶν νέων γυναικῶν φιλεῖ ἁρπάζειν ὁ ὀφθαλμὸς τῶν ἀνδρῶν.

Ib. Τῶν δ' ὑπεκρέπειν] τῶν δὲ, ὑπαναχωρεῖν, δηλονότι, τῶν πρεσβυτέρων, ἤγουν, τῶν δύο ἡλικιῶν

Ταῦτ' ἔν φοβοῦμαι, μὴ τόσις μὲν Ἡρακλῆς
Ἐμὸς καλῆται, τῆς νεωτέρας δ' ἀνήρ.
Ἀλλ' ἐ γὰρ (ὥσπερ εἶπον) ὀργαίνειν καλὸν
Γυναῖκα νεῦν ἔχουσαν· ἢ δ' ἔχω, φίλαι,
Λυτήριον λύπημα, τῆδ' ὑμῖν φράσω.
Ἦν μοι παλαιὸν δῶρον ἀρχαίου ποτὲ
Θηρὸς, λέβητι χαλκέῳ κεκρυμμένον·
Ὃ παῖς ἔτ' ἔσα τὸ δασυσέρνου πάρα
Νέσσου φθίνοντος ἐκ φόνων ἀνειλόμην·
Ὃς τὸν βαθύῤῥουν πόλαμὸν Εὔηνον βροτοὺς
Μισθοῦ πόρευε * χερσὶν, ὅτε πομπίμοις
Κώπαις ἐρέσσων, ὅτε λαίφεσιν νεώς·
Ὃς κἀμὲ, τῶν πατρῴων ἡνίκα σόλων
Ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὔνις ἐσπόμην,
Φέρων ἐπ' ὤμοις, ἡνίκ' ἦν μέσῳ πόρῳ,
Ψαύει ματαίαις χερσίν· ἐκ δ' ἠύσ' ἐγώ·
Χ' ὡ Ζηνὸς εὐθὺς παῖς ἐπισρέψας, χεροῖν

* ALDUS, Μισθοῦ πόρευε.

ἑλικιῶν τὴν μὲν νεάζουσαν ἁρπάζειν εἰωθέναι τῶν ἀνδρῶν ὀφθαλμὸς, τῆς δὲ ὑπακτρέπειν τὸν πόθον, ἤτοι, τῆς πρεσβυτέρας.

559. Μὴ τόσις μὲν Ἡρακλῆς] διαφορὰν ταύτην ἔχει ὁ τόσις πρὸς τὸν ἄνδρα. Πόσις μὲν γὰρ λέγεται καὶ ὁ πρὸ πολλοῦ ἀποσὰς τῆς γυναικός. ἀνὴρ δὲ, ὁ συνῶν, καὶ ὁ πρὸ ὀλίγου χωρισθείς. ὡς τὸ, Ἀνὴρ, ἀπ' αἰῶνος νέος ἦλθεν. δέδοικα οὖν (φησὶ) μὴ ἐμὲ καταλιπὼν, τόσις ἐμὸς κληθῇ, ὡς συνοικίσας μοι ποτέ. ταύτῃ, δὲ ἀνὴρ, ὡς αὐτῇ συνοικῶν. Ἄλλως· Πόσις μὲν πρόσις τις ὤν, παρὰ τὸ πρεσεύειν.

561. Ἀλλ' ἐ γὰρ, ὥσπερ εἶπον] ὦ χρὴ τὴν σύνοικον γυναῖκα συμπάσχειν τῷ ἀνδρί.

562. Ἣ δ' ἔχω] ᾗ δὲ τρόπῳ τῆς λύπης ἔσωμαι σχήσω, ὑμῖν ἐρῶ.

563. Λυτήριον λύπημα] ἀντὶ τοῦ τῆς λύπης ἴαμα.

565. Λέβητι χαλκέῳ] δύο ὀνόματα, ὡς κρατῆρα αἰχμητήν· ὡς ἔκτοθι ἀσθενέουσαν λέβητι ἀπὶ τὸ κατὰ καιρὸν χρήσασθαι αὐτῷ.

569. Ὃ παῖς ἔτ' ἔσα] νεωτέρα· ἢ γὰρ παρθένος.

567. Ἐκ φόνων ἀνειλόμην] ἀντὶ τοῦ, ἐκ τοῦ αἵματος τῶν σφαγῶν. Ὅμηρος·

"Ἄμερσε ἰρευγόμενον φόνον αἵματος."

ἢ ἐκ τοῦ τύπτειν ὅθεν ἐφονεύθη ὁ Νέσσος. Ὅμηρος·

"Ἐν ἀργαλέῃσι φοινῇσιν"

569. Μισθοῦ πόρευε] διεπέρα, διεπορθμευεν.

571. Ἡνίκα σόλων ξὺν Ἡρακλεῖ] σόλον φησὶ τὸ πολῆθος τῶν ἐν τῇ εἰκίᾳ αὐτῆς δούλων τε καὶ ἀδελφῶν· ἡνίκα ἂν καταλιπῶσα τὸν οἶκον τῷ πατρὸς ἔρημος ἐπικολούθησα τῷ Ἡρακλεῖ, καὶ τὰ ἑξῆς.

574. Ψαύει ματαίαις χερσὶν] ὅτι μὲν ἦυσεν. ἔφθασε γὰρ ὁ Ἡρακλῆς τοξεύσας καὶ ἀνελὼν αὐτόν.

575. Ἐπισρέψας χεροῖν] εὐτρεπίσας, ἢ σρέψας

Ἦκεν κομήτην ἰόν· ἐς δὲ πνεύμονας *
Στέρνων διερροίζησεν· ἐκθνήσκων δ' ὁ θὴρ
Τοσῶνδον εἶπε, "Παῖ γέροντος Οἰνέως,
"Τοσόνδ' ὀνήσῃ τῶν (ἐὰν πίθῃ †)
"Πορθμῶν, ὅθ' ἕνεχ' ὑσάτην σ' ἔπεμψ' ἐγώ. 580
"Ἐὰν γὰρ ἀμφίθρεπτον αἷμα τῶν ἐμῶν
"Σφαγῶν ἐνέγκῃ χερσὶν, ἢ μελαγχόλως
"Ἔβαψεν ἰὸς θρέμμα Λερναίας Ὕδρας,
"Ἔσαι φρενός σοι τοῦτο κηλητήριον
"Τῆς Ἡρακλείας, ὥστε μή τιν' εἰσιδὼν 585
"Στέρξῃ ‡ γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον."
Τοῦτ' ἐννοήσασ', ὦ φίλαι, (δόμοις γὰρ ἦν,
Κείνου θανόντος, ἐγκεκλεισμένον καλῶς)
Χιτῶνα τόνδ' ἔβαψα, προσβαλοῦσ' ὅσα
Ζῶν κεῖνος εἶπε· καὶ πεπείρανται τάδε· 590
Κακὰς δὲ τόλμας μήτ' ἐπισταίμην ἐγὼ,
Μήτ' ἐκμάθοιμι, τάς τε τολμώσας συγῶ.
Φίλτροις δ' ἐάν πως τήνδ' ὑπερβαλώμεθα
Τὴν παῖδα, καὶ θέλκτροισι τοῖσδ' ἐφ' Ἡρακλεῖ,

* ALD. πλεύμονας, rectè. † TURN. πίθῃ. ‡ TURN. στέρξαι.

ψας καὶ κάμψας τὴν νευράν· ἢ ἵς αὐτὸν γραφὶς καὶ βλέφας.

576. Ἦκεν κομήτην ἰόν] ἢ διὰ τὰς ὄγκους, ἢ διὰ τὴν πτέρωσιν· τὸ δὲ πνεύμονας, ἀντὶ ἐνικῶς.

577. Διερροίζησεν] μετὰ ἦχου ὥρμησε.

579. Τοσόνδ' ὀνήσῃ] ὠφεληθήσῃ καὶ ὄνησιν λάβῃ ἐκ τῶν ἐμῶν πορθμῶν.

Ib. Ἐὰν πίθῃ] γραφέται, ἰὼν πίθῃ.

581. Ἀμφίθρεπτον] τὸ πεπηγός. Θρέψαι γὰρ τὸ πῆξαι.

582. Ἢ, μελαγχόλως] ὕπν, ἢ ἐν ᾧ.

583. Θρέμμα Λερναίας] περιφραστικῶς, ἡ Ὕδρα.

584. Ἔσαι φρενός σοι τοῦτο κηλητήριον] ἐπιτήδειον πρὸς τὸ παῦσαι καὶ κηλῆσαι αὐτὸν, ἤγουν, καταπαυστήριον τῆς φρενὸς τῷ Ἡρακλεῖ· ἢ ἵς αὐτὸν γραφὶς καὶ βλέφας. ἢ διὰ τὸ ἐπιτήδειον πρὸς ἄλλην ἔρωτος, ἢ καλλικηλοῦντος τὴν ψυχὴν τῷ Ἡρακλεῖ πρὸς τὴν Δηϊάνειραν ἔρωτι.

588. Ἐγκεκλεισμένον] κεκρυμμένον.

589. Χιτῶνα τόνδε] τοῦτό φησιν, ὡς κατὰ ἐντολὴν Νέσσου καὶ ἄλλα τινὰ συμμίξασα.

590. Καὶ πεπείρανται τάδε] κατείργασται, τετελείωται, καὶ ἤνυσαι.

591. Κακὰς δὲ τόλμας] τὰς φαρμακείας. Μὴ εἰδείην (φησὶ) κακοῖς πράγμασιν ἐπιχειρεῖν, ἢ δολοφονῆσαι αὐτὸν, ἢ τι τοιοῦτον ἐργάσασθαι. ἀλλ' ὄχρι τοῦ μιταθεῖναι αὐτοῦ τὴν γνώμην διὰ τῆς κατασκευάσματος τούτου. εἰ μὴ μάταιόν ἐστι τοῦτο τὸ κατασκεύασμα, προσδοκῶ ταύτην ὑπερβαλέσθαι τῇ παρὰ τοῦ Ἡρακλέους εὐνοίᾳ. εἰ δὲ μὴ ἐπιτύγχάνω, παίσομαι τῆς ἐπιχειρήσεως.

Μεμηχάνη]αι τἄργον, εἴ τι μὴ δοκῶ
Πράσσειν μάταιον· εἰ δὲ μή, πεπαύσομαι *.
ΧΟΡ. Ἀλλ' εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις,
Δοκεῖς παρ' ἡμῖν εὖ βεβουλεῦσθαι κακῶς.
ΔΗΙ. Οὕτως ἔχει γ' ἡ πίστις· ὡς τὸ μὲν δοκεῖν
Ἔνεστι, πείρᾳ δ' εὖ προσωμίλησά που †.
ΧΟΡ. Ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς εὖ δ' εἰ δοκεῖς
Ἔχειν, ἔχοις ἂν γνῶμα, μὴ πειρωμένη.
ΔΗΙ. Ἀλλ' αὐτίκ' εἰσόμεσθα· τόνδε γὰρ βλέπω
Θυραῖον ἤδη· διὰ τάχους δ' ἐλεύσεται·
Μόνον παρ' ἡμῶν εὖ σεγοίμεθ'· ὡς σκότῳ
Κἂν αἰσχρὰ πράσσῃς ‡, ὅποτ' αἰσχύνῃ πεσῇ.
ΛΙΧ. Τί χρὴ ποιεῖν, σήμαινε, τέκνον Οἰνέως·
Ὡς ἐσμὲν ἤδη τῷ μακρῷ χρόνῳ βραδεῖς.
ΔΗΙ. Ἀλλ' αὐτὰ δή σοι ταῦτα καὶ πράσσω, Λίχα,
Ἕως σὺ ταῖς ἔσωθεν ἡγορῶ ξέναις·
Ὅπως φέρῃς μοι τόνδέ γ' εὐῦφῆ πέπλον
Δώρημ' ἐκείνῳ τανδρὶ τῆς ἐμῆς χερός·
Δίδὲς δὲ τόνδε, φράζ' ὅπως μηδεὶς βροτῶν

* Ald. πεπαίσεται. recte. † Ald. που. ‡ Ald. πράσσεις.

595. Μεμηχάνη]αι τἄργον] τοῦτο (φησὶ) τὸ ἔργον μεμηχάνημαι οὐκ ἐν ὀλίγῳ, ἀλλ' ἵνα ταύτην φίλτρης ὑπερβαλώμεθα.

596. Εἰ δὲ μὴ, πεπαύσομαι] εἰ δὲ μὴ ἐνεργήσω, πεπαύσομαι τῆς ἐπιχειρήσεως.

597. Ἀλλ' εἴ τις ἐστὶ πίστις] ἀλλ' εἰ πεπίστευκας, ὅτι ἀρέσει τοῦτο, ἄξιόν μοι δοκεῖς βεβουλεῦσθαι.

599. Οὕτως ἔχει γ' ἡ πίστις] πεπίστευμαι ἀληθὲς εἶναι, ἃ μὴν πεπείρημαι.

601. Ἀλλ' εἰδέναι χρὴ δρῶσαν] δεῖ σε (φησὶν) ἐπιχειροῦσαν γιγνώσκειν, ἢ δεῖ σε δρῶσαν, ἔχειν τὴν πίστιν καὶ μὴ μόνον δοκεῖν ἐπίστασθαι. ὅπως γὰρ ἔχεις τὴν γνῶσιν παρ' ἡμῶν πεπραφθῇναι.

602. Ἔχοις ἂν γνῶμα] γράφεται ἄγνωμα.

Ib. Γνῶμα μὴ πειρωμένη] γνῶμα, ἤτοι γνῶ-

σις· καὶ ἔστιν ἀδύτερον, ἀντὶ τοῦ γνωμάτευμα· καὶ ὧν. καὶ Εὐριπίδης,

"Ὡς ἐν δὲ πᾶσι γνῶμα ταυτὸν ἐμπρέπει,
"Ἴσει γνωμάτευμα, νῆς."

603. Εἰσόμεσθα] γνωσόμεθα (φησὶ) τὴν ἀξίωσιν σοῦ κατασκευάσαντες. βλέπω γὰρ τὸν Λίχαν πλησίον πορευόμενον, ὃς ἀποκομίσει τὸν πέπλον τῷ Ἡρακλεῖ· καὶ ἔσται ἡμῖν διὰ τάχους πίστις.

605. Εὖ σεγοίμεθα] κρυπτοίμεθα. οἷον, σιωπὴ γένοιτο.

608. Τῷ μακρῷ χρόνῳ] ἀντὶ τοῦ διὰ τὸ ἐντεῦθεν χρόνῳ ἐνδιατρίψαι.

611. Εὐῦφῆ πέπλον] ἰσχνογῆ, οὐκ εὖ δὲ τὸν ἀνδρεῖον χιτῶνα, πέπλον φησὶν αὐτὸ τῷ ὑπερεύφῃ.

616. Μήτ'

Κείνῳ πάροιθεν ἀμφιδύσηλαι χροΐ.
Μηδ' ὄψεταί νιν μήτε φέγγος ἡλίου,
Μήθ' ἕρκος ἱερὸν, μήτ' ἐφέδριον σέλας,
Πρὶν κεῖνος αὐτὸν φανερὸν ἐμφανῶς ϛαθεὶς
Δείξῃ θεοῖσιν ἡμέρᾳ τυμβοσφάγῳ.
Οὕτω γὰρ ἠύγμην· εἴ ποτ' αὐτὸν ἐς δόμους
Ἴδοιμι σωθέντ' ἢ κλύοιμι, πανδίκως
Στελεῖν χιτῶνι τῷδε, καὶ φανεῖν θεοῖς
Θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι.
Καὶ τῶνδ' ἀποίσεις σῆμ', ὃ κεῖνος εὐμαθὲς
Σφραγῖδος ἕρκει τῷδ' ἐπ' ὄμμα θήσεται.
Ἀλλ' ἕρπε, καὶ φύλασσε πρῶτα μὲν νόμον
Τὸ μὴ 'πιθυμεῖν, πομπὸς ὢν, περισσὰ δρᾶν·
Ἔπειθ', ὅπως ἂν ἡ χάρις κείνῳ τέ σοι
Κἀμοὶ ξυνελθοῦσ', ἐξ ἁπλῆς διπλῆ φανῇ.
ΛΙΧ. Ἀλλ' εἴπερ Ἑρμῷ τήνδε πομπεύω τέχνην
Βέβαιον, ἤ τι μὴ σφαλῶ γ' ἐν σοί ποτε,
Τὸ μὴ ἀ τόδ' ἄγχος ὡς ἔχει δεῖξαι φέρων,
Λόγων τε πίσιν, ὧν ἔχεις, ἐφαρμόσαι *.

* Turn. in marg. ἐφέρμοσαι.

616. Μήτ' ἐφέδριον σέλας] ἀντὶ τοῦ τὸ κατ' οἶκον πῦρ. Ἕρκος δὲ ἱερὸν, ὁ βωμὸς, ἢ τὸ ἱερόν.

617. Πρὶν κεῖνος] πρὶν αὐτὸς ἐνδυσάμενος, ἐπὶ τῆς οἰκίας φανερὸς καὶ ὑπ' ὄψεσι πάντων πρέλθῃ καὶ δείξῃ ἑαυτὸν φανερὸν τοῖς Θεοῖς ἐμφανῶς ϛαθεὶς, καθ' ἣν ἡμέραν μέλλει ταύρῳ Θύσειν τοῖς Θεοῖς εὐχαριστήρια.

620. Πανδίκως] ἀνενδοιάστως.

621. Στελεῖν χιτῶνι τῷδε] σκεπάσειν, ἐνδύσειν, περιβαλεῖν αὐτὸν τούτῳ τῷ χιτῶνι, ὡς φανῆναι αὐτὸν σφαγέα τῶν Θυμάτων.

622. Καινὸν] καινοπρεπῆ.

623. Σῆμ', ὃ κεῖνος εὐμαθὲς] σημεῖον κομίσεις τῶνδε εὔγνωστον, ὅπερ ἐκεῖνος ἐπιγνώσεται, ἐπιθεὶς τὸ ὄμμα τῇ σφραγῖδι, καὶ γνὺς ὅτι πως ἐμὲ εἶη ἡ σφραγίς.

624. Σφραγῖδος ἕρκει] περιφραστικῶς τῇ σφραγῖδι.

625. Ἀλλ' ἕρπε, καὶ φύλασσε] οὗτός ἐστιν ὁ προσήκων νόμος τοῖς διακονοῦσιν, ὥστε μηδὲν περιττὸν δρᾶν ὧν προσλαλοῦμέν αὐτοῖς. ἐμφαίνει δὲ αὐτῷ μὴ ἀπεσφραγίσασθαι περιεργάζεσθαι τί ἔγκειται ἐντός.

627. Ἔπειθ' ὅπως ἂν ἡ χάρις] γνησίως διακονούμενος διπλάζεις τὴν χάριν, καὶ ἴσως φιληθήσῃ παρ' ἑκατέρου.

629. Ἀλλ' εἴπερ Ἑρμῇ] κήρυξ γὰρ ὁ Διός.

632. Λόγων τε πίσιν ὧν ἔχεις] ἔντειλαι δέ μοί (φησι) περὶ πραγμάτων ἄλλων μυστικῶν, καὶ λόγως ἀνακοινωσεί μοι, καὶ φυλάξω.

Ib Ἐφαρμόσαι] ἐπίθες (φησὶν) ἣν θέλεις σφραγῖδα.

637. Προσδέ-

ΔΗΙ. Στείχοις ἂν ἤδη· καὶ γὰρ ἐξεπίσασαι
Τά γ' ἐν δόμοισιν ὡς ἔχοντα τυγχάνει.
ΛΙΧ. Ἐπίσαμαί τε καὶ Φράσω σεσωσμένα.
ΔΗΙ. Ἀλλ' οἶσθα μὲν δὴ καὶ τὰ τῆς ξένης ὁρῶν
Προσδέγματ' αὐτὴν ὡς ἐδεξάμην • φίλως.
ΛΙΧ. Ὡς ἐκπλαγῆναι τἄμὸν ἡδονῇ κέαρ.
ΔΗΙ. Τί δῆτ' ἂν ἄλλό γ' ἐννέποις; δέδοικα γὰρ
Μὴ πρὶν † λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ,
Πρὶν εἰδέναι τἀκεῖθεν εἰ πεθούμεθα.

ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὦ ναύλοχα καὶ πετραῖα
Θερμὰ λύτρα, καὶ πάγος
Οἴτας περιναιετάοντες ‡,
Οἵ τε μέσσαν §

• Turn. αὐτήνθ' ὡς ἐδεξάμην. † Turn. πρὶν. ‡ Ald. παραναιετάοντες.
§ Ald. μέσαν.

637. Προσδέγματα] τὰς ὑποδοχὰς λέγει· φησὶ δὲ, ὅτι οἶσθα πῶς φιλοφρόνως αὐτὴν ἐδεξάμην, καὶ τοῦτο δὲ ἐπαγωγὸν πρὸς Ἡρακλέα· εἶγε τὴν ὑπονοουμένην φιλοφρόνως προσεδέξατο· πρὸς ὃ ἐπάγει. τοσοῦτον οἶδα, ὥστε θαυμάσαι με καὶ ἐκπλαγῆναι ὅτι ἀσμένως αὐτὴν ὑπεδέξω, καὶ ἐπὶ τούτῳ χαρῆναι.

639. Δέδοικα γὰρ] δέδοικα γάρ, φησι, μὴ πρὸ καιροῦ εἴποις τὸν ἐξ ἐμοῦ πάθον, ἕως μάθωμεν εἰ καὶ αὐτὸς ἡμᾶς πεθεῖ. διὰ δὲ τούτων ἐρεθίζει αὐτὸν τελέσαι εἰπεῖν.

642. Ὦ ναύλοχα καὶ πετραῖα] δοκεῖ τοῦτο παρ' ἱστορίαν εἶναι· φασὶ γὰρ πρῶτον ἐν Τραχῖνι τῷ Ἡρακλεῖ ἀναδεδύσθαι. ἐνταῦθα δὲ ὡς προϋπαρχόντων αὐτῶν, φησὶν ὦ ναύλοχα. Ὁ Χορὸς τὰς περὶ τὴν Οἴτην οἰκοῦντας προσκαλεῖται ἐπὶ τὸ πανηγυρίσαι, διὰ τὴν προσδοκωμένην ἐπιδημίαν τῷ Ἡρακλεῖ. ὁ δὲ τῶν Ὦ ἄνδρες, οἱ περὶ τὰ παραθαλάσσια Θερμὰ λουτρὰ ἐνοικοῦντες, καὶ οἱ παρὰ τὰς τραχεῖς καὶ ὀρεινὰς τόπους τῆς Οἴτης καὶ τὸν Μηλιακὸν κόλπον, ἔτι τε καὶ τὴν ἀκτὴν χρυσοτόξου Ἀρτέμιδος (ἔνθα φησὶν εἶναι τῶν Ἑλλήνων τὰ συνέδρια) ἄρτι ὁ καλλιφωνότατος πάλιν ἦξει αὐλὸς, καὶ παλαλήψεται ὑμῶν τὰς ἀκοὰς, ἡδύ τι καὶ μουσικὸν προσαυλέων, οὐκ ἐχθρὸν δὲ ἀπευκλὴς φωνὴν, ἀλλὰ θείας μέσης ἀντίλυρον, ὅ ἐστι, φωνὴν γλυκεῖαν.

Ib. Ὦ ναύλοχα] παραθαλάττια λυτρά, φησὶ δὲ τὰ Ἡράκλεια, ἅπερ λέγεται αὐτῷ ἡ Ἀθηνᾶ ἀνεῖναι.

Ib. Πετραῖα δὲ] διὰ τὸ ἐν ὄρει τῇ Οἴτῃ κεῖσθαι. ἔνιοι δὲ, ἐν Σικελίᾳ φασὶν ἀναδοθῆναι τῷ Ἡρακλεῖ τὰ Θερμὰ λουτρά.

643. Καὶ πάγος] πάγοι εἰσὶν οἱ ὑψηλοὶ τόποι, ἢ αἱ ὀξεῖαι πέτραι, καὶ οἱ παρὰ τὰς τραχεῖς καὶ ὀρεινὰς τόπους τῆς Οἴτης οἰκοῦντες.

646. Μηλίδα

Μηλίδα παρ' λίμναν *
Χρυσαλακάτῳ τ' ἀκτὰν κόρας,
Ἔνθ' Ἑλλάνων ἀγοραὶ
Πυλάτιδες καλέονται.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ὁ καλλιβόας τάχ' ὑμῖν
Αὐλὸς ἐκ ἀναρσίαν
Ἰάχων καναχὰν ἐπάνεισιν,
Ἀλλὰ θείας
Ἀντίλυρον μώσας.
Ὁ γὰρ Διὸς Ἀλκμήνας τε κῦρος
Σεῦται πάσας ἀρετᾶς
Λάφυρ' ἔχων ἐπ' οἴκους.

ΣΤΡΟΦΗ Β.

Ον ἀπόπτολιν εἴχομεν
Πάντα δυοκαιδεκάμηνον

* Aldus, παρὰ λίμναν.

646. Μηλίδα παρὰ λίμναν] λίμναν φησὶ τὴν θάλασσαν. Ὅμηρος,

" Αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνιδύσαλο λίμνης".

ὁ δὲ Μηλιακὸς κόλπος παρὰ Τραχῖνί ἐστιν. Εἰς τὸ αὐτό.

Ib. Μηλίδα παρὰ λίμναν] τὴν Μαγνησίαν, ἔνθα τὸ τῆς Ἀρτέμιδος παραθαλάσσιον ἱερὸν, πλησίον Τραχῖνος· ὅπου καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία συνέβη τοῖς Ἕλλησιν ἐν Θερμοπύλαις.

647. Χρυσαλακάτῳ] ἐν Εὐβοίᾳ τιμᾶται χρυσόστολος Ἄρτεμις.

648. Ἔνθ' Ἑλλάνων ἀγοραὶ] ὅπου συνάγονται οἱ Ἀμφικτύονες εἰς τὴν λεγομένην Πυλαίαν. περὶ ἧς Ἀγάθων φησὶ, Πυλίδην τὸν Στροφίᾳ ἀχθόν κριθῆναι ἐν τῇ Φωκίδι, καθαιρόμενον τὸ ἐπὶ Κλυταιμνήστρᾳ μίσος· καὶ ἀπ' αὐτῆς τὴν σύνοδον Πυλαίαν φασὶ προσαγορεύεσθαι. ἢ ὅτι ὁ τόπος πύλαι τῆς Ἑλλάδος.

651. Οὐκ ἀναρσίαν ἰάχων] οὐκ ἐχθρὰν ἀλλ' Ἑρήνων βοήν.

654. Ἀντίλυρον μώσας] ἀντίμιμον, ἰσόλυρον, ἀντῳδόν. ἀντὶ τοῦ, ὁ μουσικὴν φωνήν, ἀλλὰ τὴν ἐκ τοῦ ἐναντίου μέρους τῆς λύρας φωνήν. ἀρ' ἃ δηλοῦται, ὅτι ἅμα αὐλὸς καὶ λύρα ἀναφωνήσουσιν.

656. Σεῦται] ἐνορμᾶται, ἥξει.

657. Ὃν ἀπόπτολιν εἴχομεν] ὃν ἐκτὸς εἴχομεν τῆς πόλεως, εἰς ᾠδὴν καμόμενον ἀναμένουσαι, τὸ δὲ ἑξῆς, ὃν ἀπόπτολιν πελάγιον, ἀντὶ τοῦ ἄπωθεν τῆς πόλεως ἐν τῷ πελάγει. Πελάγιον δὲ, ὅτι πολλάκις καὶ διὰ θαλάττης ἔπλευσε, εἴποτε εἰς νήσους ἀφῆκε.

662. Α

Ἀμμένωσαι χρόνον
Πελάγιον ἵδρυες ὁδόν·
Ἃ δέ οἱ φίλα δάμαρ τάλαινα
Δυσάλαινα καρδίαν
Πάγκλαυτος αἰέν ὤλλυτο.
Νῦν δ' Ἄρης σἰσρηθεὶς
Ἐξέλυσ' ἐπίπονον ἀμέραν.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ἄφικοιτ', ἀφίκοιτο· μὴ
Σταίη πολύκωπον ὄχημα
Ναὸς αὐτῷ, πρινὴ *
Τάνδε πρὸς πόλιν ἀνύσειε,
Νασιῶτιν ἑστίαν ἀμείψας,
Ἔνθα κλήζεται θυτήρ·
Ὅθεν μόλοι πανάμερος
Τᾶς πειθοῦς παγχρίσῳ
Συγκραθεὶς ἐπὶ προφάσει θηρός.

ΙΑΜΒΟΙ.

ΔΗΙ. Γυναῖκες, ὡς δέδοικα μὴ περαιτέρω †
Πεπραγμέν' ᾖ μοι πάνθ', ὅσ' ἀρτίως ἔδρων!

* Aldus, πρὶν. recte. † Aldus, περαιτέρω.

662. Ἃ δέ οἱ] ἡ Δηϊάνειρα.

665. Νῦν δ' Ἄρης σἰσρηθεὶς] μανεὶς ὁ περὶ τὴν Οἰχαλίαν πόλεμος ἐξέλυσεν ἡμᾶς τῆς ἀπίας, ἣν ἐρ' ἑκάστῃ ἡμέρᾳ εἴχομεν. Εἰς τὸ αὐτὸ. Νῦν δ' Ἄρης ὁ πρὸς τὸν Εὔρυτον. ἐξ αὐτοῦ γὰρ εὐθὺς ἐπανῆλθε.

667. Μὴ σταίη πολύκωπον] Μηδαμῶ ἡ ναῦς ἀλλαχῇ ὁρμίσαι, ἕως ἐνταῦθα ἀφίκοιτο, τὴν Εὔβοιαν νῆσον ὑπερβας καὶ καταλιπὼν. κατασρεφόμενος γὰρ τὴν Οἰχαλίαν ἐκεῖ ἔμενε θύσαι τῷ πατρί.

673. Πανάμερος] αὐτὸ τοῦ, τὴν σήμερον ἡμέραν ἔλθοι τῷ πέπλῳ τῆς πειθοῦς θελξικὴ παρεσκευάσας τῇ Νέσσῳ καὶσκευασμένῳ. πειθοῦς δὲ πέπλῳ εἶπεν, ὅτι γέγονεν ἐπὶ τῷ μίσει θεῖναι καὶ μεταθεῖναι τὴν Ἡρακλέους γνώμην ἐπὶ τὴν Δηϊάνειραν. Ἡ πανάμερος, ἐμμενὴς ἐν τῇ αὐτῇ ἡμέρᾳ ἔλθοι εἰς ἔρωτα τῆς γυναικὸς διὰ τὸ τοῦ Νέσσου φάρμακον.

674. Παγχρίσῳ] λείπει τῷ πέπλῳ. ἤγουν, τῷ χρισθέντι πέπλῳ συγκεκραμένος, καὶ ἁρμοσθεὶς τῇ πειθοῖ τῶ θηρός.

676. Μὴ περαιτέρω] ὑπὲρ τὴν συμφέρουσαν χρείαν, καὶ πλεῖον τοῦ συμφέροντος.

682. Μάλιστ'

ΧΟΡ. Τίδ' ἐστί, Δηϊάνειρα, τέκνον Οἰνέως;
ΔΗΙ. Οὐκ οἶδ'· ἀθυμῶ δ' εἰ φανήσομαι τάχα
Κακὸν μέχ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς.
ΧΟΡ. Οὐ δή τι τῶν σῶν Ἡρακλεῖ δωρημάτων;
ΔΗΙ. Μάλισά γ'· ὥστε μήποτ' ἂν προθυμίαν
Ἄδηλον ἔργῳ τῷ παραινέσαι λαβεῖν.
ΧΟΡ. Δίδαξον, εἰ διδακτὸν, ἐξ ὅτου φοβῇ.
ΔΗΙ. Τοιῶνδον ἐκβέβηκεν, οἷον ἂν φράσω,
Γυναῖκες, ὑμῖν θαῦμ' ἀνέλπιστον παθεῖν *.
Ὦ γὰρ τὸν ἐνδυτῆρα πέπλον ἀρτίως
Ἔχριον, ἀργῆτ' οἰὸς εὐείρῳ τόκῳ,
Τᾶτ' ἠφάνισαι διάβορον πρὸς ἀδενὸς
Τῶν ἔνδον, ἀλλ' ἐδεστὸν ἐξ αὑτοῦ φθίνει,
Καὶ ἰῷ κατ' ἄκρας σπιλάδος. ὡς δ' εἰδῇς ἅπαν
Ἥ, τᾶτ' ἐπράχθη, μείζον' ἐκτενῶ λόγον.
Ἐγὼ γὰρ, ὧν ὁ θὴρ με Κένταυρος, τόνων
Πλευρὰν τοκρᾷ γλωχῖνι, προδιδάξαντος,
Παρῆκα θεσμῶν ἀδὲν, ἀλλ' ἐσωζόμην
Χαλκῆς ὅπως δύσνιπτον ἐκδέλτου γραφήν.

* Aldus, μαθῶν. recte.

682. Μάλισά γ' ὥστε] μὴ ἴσκει ὧν ἀπίσαλκτος ὠφελίστων τῷ Ἡρακλεῖ, ἀθυμεῖς; καὶ φησὶ περὶ τούτου φοβοῦμαι ὅπως, ὥστε μηδέποτε παραινῆσαι τινὶ ἀδήλου πράγματος προθυμίαν λαβεῖν. ὃ ἴσον, ἀδήλῳ πράγματι ἐπισχεῖν.

686. Θαῦμ' ἀνέλπιστον] θαυμαστὸν καὶ οἷον οὐκ ἂν τις ἐλπίζοι μαθεῖν καὶ παθεῖν.

691. Κατ' ἄκρας σπιλάδος] σπιλὰς ἡ πέτρα. ὡς ἂν ἐπὶ λίθου θερμὴν αὐτὸ, τοῦτο φησὶ, καίατηκεῖται καὶ ῥεῖ καὶ διαλύεται ἀπὸ τοῦ λίθου διαῤῥέον.

Ib. Ὡς δ' εἰδῇς ἅπαν] ὅπως γνῷς ἀκριβῶς ὅλον τὸ πρᾶγμα, εἰς μῆκος ἁπλώσω τὸν λόγον.

Ib. Καὶ ἰῷ] ἴχνη, διεφθάρη, ἔκλινεν, ἐκ μεταφορᾶς τῶν ἰῶν, ὅτε, τῶν κλάδων.

693. Ἐγὼ γὰρ, ὧν ὁ θὴρ με] ὧν εἶπε μοι ὁ Νέσσος, ὅτε τὴν πλευρὰν ἔλυμε τῷ βέλει πρωθήλ. γλωχῖνι δὲ, ἀπὸ μέρους τοῦ βέλους· γλωχὶς γὰρ ἡ ἀκίς. ὃ λέγει ὁ Ὅμηρος ἔγχος.

695. Παρῆκα θεσμῶν ἀδὲν] λείπει ἅπρακτον.

Ib. Ἀλλ' ἐσωζόμην] ἀντὶ τοῦ ἔσωσα καὶ ἐφύλαξα. διεφύλαξα δὲ ὅσα μοι παρήγγειλαν ὅσανεὶ ἐν δέλτῳ χαλκῇ ταῦτα ἐχουσα ἐγκεχαραγμένα. δύσνιπτον δὲ, ἀντὶ τοῦ δυσαπάλειπτον.

Καί μοι τάδ' ἦν πρόρρησα, καὶ τοιαῦτ' ἔδρων·
Τὸ φάρμακον τῦτ' ἄπυρον, ἀκτῖνός τ' ἀεὶ
Οέρμης ἄθικτον ἐν μυχοῖς σώζειν ἐμὲ,
Ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί πω.
Κἄδρων τοιαῦτα· νῦν δ' ὅτ' ἦν ἐργαστέον,
Ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις κρυφῇ
Μαλλῷ, σπάσασα κτησίᾳ βοτῷ λάχνην·
Κἄθηκα συμπτύξασ' ἀλαμπὲς ἡλίᾳ
Κοίλῳ ζυγάστρῳ δῶρον, ὥσπερ εἴδετε.
Εἴσω δ' ἀποστείχουσα, δέρκομαι φάτιν
Ἄφραστον, ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν.
Τὸ γὰρ κάταγμα τυγχάνω ῥίψασά πως
Τῆς οἰὸς, ᾧ πρόχριον, ἐς μέσην φλόγα
Ἀκτῖν ἐς ἡλιῶτιν· ὡς δ' ἐθάλπετο,
Ῥεῖ πᾶν ἄδηλον, καὶ κατέψηκται χθονί,
Μορφῇ μάλισ' εἰκασὸν, ὥστε πρίονος
Ἐρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου.
Τοιόνδε κεῖται πρωπετές· ἐκ δὲ γῆς, ὅθεν
Πρόσκειτ', ἀναζέουσι θρομβώδεις ἀφροὶ,

697. Προῤῥήγνυται] πρὸς ἐμοὶ ὑπὸ Νίσου προειρημένα, ἢ προμεμελέτηται μοι, ἢ ἀποῤῥήγνυται.

699. Θέρμης ἄθικτον] ἀντὶ τοῦ, ἀπροσπέλαστον πυρὸς, καὶ ἡλιακῆς ἀκτῖνος.

700. Ἀρτίχριστον] παραυτὰ χριόμενον.

701. Νῦν δ' ὅτ' ἦν ἐργαστέον] νῦν δ' ὅτε ἐνέσχε ὁ καιρὸς τῷ χρίσαι, ἔχρισα μᾶλλον ἢ χρίω.

703. Κτησίᾳ βοτῷ λάχνην] ἀπὸ κλητῆς προβάτου τὸν μαλλὸν σπάσασα, ἦγον, ἐν οἴκῳ τριφομένου. κτήνη δὲ τὰ πρόβατα λέγονται καὶ βοτά.

704. Ἀλαμπὲς ἡλίᾳ] μὴ καταυγασθέν.

705. Κοίλῳ ζυγάστρῳ] ἀντὶ τοῦ, εἰς ξύλινον σορὸν, τυτίσι, κιβωτόν.

707. Ἄφραστον] ἀφανὲς, ἀνεκδιήγητον. ἀξύμβλητον δὲ, ἀσυνέκαστον πρὸς τὸ μαθεῖν ἀνθρώπῳ. ἢ ἀντὶ τοῦ ἀπαράδεκτον. οἷον οὐκ ἔχον ἄλλῳ παραβληθῆναι, ὅτι πιστοῦσαι καὶ μαθεῖν τὸν ἀκούοντα.

708. Τὸ γὰρ κάταγμα] τὸ γὰρ ἔριον τῷ προβάτῳ, μετὰ τὸ χρίσαι τὸν πίλον, ἔῤῥιψα εἰς τόσην βαλλόμενον καὶ πυρέμενον ὑπὸ τοῦ ἡλίου. τὴν γὰρ αὐγὴν, ἀκτῖνα ἡλιῶτιν εἶπεν.

Ib. Τὸ κάταγμα] τὸ αἴγειον μήρυμα.

710. Ὡς δ' ἐθάλπετο] ὡς δὲ ἐθερμάνθη, ὑπεξέρευσεν, ἀφανῶς λιχνῶσα.

712. Πρίονος ἐκβεώματα] ἰσμὸς πρίσματος ξύλου, θαυμαστῶς δὲ βεώματα πρίονος εἶπε τὰ πρίσματα· πρίων γάρ τινα ἐσθίων τὸ ξύλον ὁ πρίων, ἐκεῖνο τὸ λιπτὸν ἀποβάλλει.

714. Προπετὴς] ἐῤῥιμμένον καὶ προπεσὸν χαμαί.

715. Ἀναζέουσιν] ἀναπαχλάζουσι.

Ib. Θρομβώδεις

Γλαυκῆς ὀπώρας ὥστε πίονος ποτὲ
Χυθέντος εἰς γῆν Βακχείας ἀπ' ἀμπέλου·
Ὡς δ' ἐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω.
Ὁρῶ δέ μ' ἔργον δεινὸν ἐξειργασμένην.
Πόθεν γὰρ ἄν ποτ', ἀντὶ τοῦ θνήσκων ὁ Ζεὺς
Ἐμοὶ παρέσχ' εὔνοιαν, ἧς ἔθνησχ' ὕπερ;
Οὐκ ἔστιν· ἀλλὰ τὸν βαλόντ' ἀποφθίσαι
Χρῄζων ἔθελγε μ'· ὧν ἐγὼ μεθύστερον,
Ὅτ' ἐκέτ' ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι.
Μόνη γὰρ αὐτὸν, εἴ τι μὴ ψευσθήσομαι
Γνώμης, ἐγὼ δύστηνος ἐξαποφθερῶ.
Τὸν γὰρ βαλόντ' ἄτρακτον οἶδα, καὶ θεὸν
Χείρωνα πνημήναντα· χ,' ὥσαπερ ἐν Διγῇ,
Φθείρει τὰ πόντα κνώδαλ'· ἐκ δὲ τοῦδ' ὅδε
Σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας,
Πῶς ἐκ ὀλεῖ καὶ τόνδε; δόξει γοῦν ἐμοὶ,
Καίτοι δέδοκται, κεῖνος εἰ σφαλήσεται,
Ταύτῃ σὺν ὁρμῇ * κἀμὲ συθανεῖν ἅμα·
" Ζῆν γὰρ κακῶς κλύουσαν ἐκ ἀνασχετὸν,

* Ald. Turn. in marg. ἐργῇ.

Ib. Θρομβώδεις ἀφροὶ] ἐπηρμένοι. Θρόμβος γὰρ ὁ ὄγκος, ἢ περιφερὴ φυσήματα.

716. Γλαυκῆς ὀπώρας] τῆ γλυκυ τῆ ἀρτίως ἐκπιεσθέντος καὶ γέν. μάλιστα δὲ ὁ νέος οἶνος, Θερμὸς ὤν, εἰ πίοσι χαμαὶ, ἀφρίζει. Γλαυκὴν δὲ ὀπώραν τὸν νέον οἶνον φησι, διὰ τὴν λαμπρότητα.

721. Ἧς ἔθνησχ' ὕπερ] ὑπὲρ ἧς, ὑφ' ἧς, δι' ἣν.

722. Τὸν βαλόντα] τὸν τοξεύσαντα.

723. Ὧν ἐγὼ μεθύστερον] ὧν τῶν ἀρτιμήνων μοι ὑπ' ἐκείνῃ νῦν τὴν γνῶσιν μανθάνω, ὅτι ὐκ ἔτι με ὠφελεῖ.

724. Οὐκέτ' ἀρκεῖ] ὠφελεῖ. Ὁμηρος· " Ἄρκιον ἐστίν."

725, 726. Εἴ τι μὴ ψευσθήσομαι γνώμης] εἰ μὴ διαμάρτοιμι τῆς γνώμης, ἣν ἔχουσα περὶ αὐτοῦ τυγχάνω.

728. Χ,' ὥσαπερ ἐν Διγῇ] καὶ ὥσα ἐν Διγῇ τῇ Ἡρακλείᾳ βίλαι, εἴτε ἀνθρώπος, εἴτε θηρία, ἀπόλλυται.

729. Ἐν δὲ τοῦδε] τῷ Νέσσῳ· ἀντὶ τοῦ, διὰ τοῦ Νέσσου.

732. Καίτοι δέδοκται] κἀγὼ (φησὶν) ἀποθανεῖν βουλήσομαι· ἴσα μὴ ὀόξω ποιηρία ἀνηρηκέναι τὸν Ἡρακλέα, ἀλλ' ἀκουσίῳ γνώμῃ.

733. Ταύτῃ σὺν ὁρμῇ] τούτῳ τῷ τρόπῳ τυπίσι, διὰ τοῦ ξίφους.

734. Ζῆν γὰρ κακῶς] γυναῖκα γὰρ κακοδαί-

"Ητις προτιμᾷ μὴ κακὴ πεφυκέναι."
ΧΟΡ. Ταρβεῖν μὲν ἔργα δεῖν' ἀναγκαίως ἔχει·
"Τὴν δ' ἐλπίδ' ὐ χρὴ τὴς τύχης κρίνειν πάρος."
ΔΗΙ. Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βυλεύμασιν
Οὐδ' ἐλπὶς ἥτις καὶ Θράσος τι προξενεῖ.
ΧΟΡ. Ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι μὴ 'ξ ἐκυσίας
Ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει.
ΔΗΙ. Τοιαῦτα δ' ἂν λέξειεν ὐχ ὁ τὔ κακὔ
Κοινωνὸς, ἀλλ' ὦ μηδὲν ἐς' οἴκοις βαρύ.
ΧΟΡ. Σιγᾶν ἂν ἁρμόζοι σὲ τὸν πλείω χρόνον*,
Εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς· ἐπεὶ
Πάρεσι μαστὴρ πατρὸς, ὃς πρὶν ὤχῃο.
ΥΛΛ. Ὦ μῆτερ, ὡς ἂν ἐκ τριῶν σ' ἓν εἱλόμην,
Ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ σεσωσμένην,
Ἄλλως κεκλῆσθαι μητέρα σ', ἢ λώβης φρένας
Τῶν νῦν πάρεσῶν τῶνδ' ἀμείψασθαί ποθεν.
ΔΗΙ. Τίδ' ἐστὶν, ὦ παῖ, πρός γ' ἐμὲ συγκύμενον;
ΥΛΛ. Τὸν ἄνδρα τὸν σὸν ἴσθι (τὸν δ' ἐμὸν λέγω
Πατέρα) καλακ]είνασα τῇδ' ἐν ἡμέρᾳ.
ΔΗΙ. Οἴμοι· τίν' ἐξήνεγκας, ὦ τέκνον, λόγον;

* Turn. in marg. λέγον. rectè.

ξᾶσαν ἢ δεῖ ζῆν, ἥτις μὴ θέλῃ δοκεῖν ἐκ φύσεως εἶναι κακή.

736. Ταρβεῖν μὲν ἔργα] ἀνάγκη μὲν εὐλαβεῖσθαι τὰ δεινὰ ἔργα· ἢ χρὴ δὲ πρὸ τῆς ἐκβάσεως καὶ τῶν συμβησομένων αἰρεῖσθαι τὰ δεινά.

738. Οὐκ ἔστιν ἐν τοῖς] ἐν τοῖς πονηροῖς βουλεύμασιν οὐδ' ὑπολείπεται χρηστὴ ἐλπὶς, ἥτις παρέχει πεποίθησιν καὶ θάρσος· ἀνὴρ τὰ δυσχερῆ εἰμι, πρὸς ὃ ἔπαγες.

740. Ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι] τοῖς ἀκουσίως σφαλεῖσιν ἡ ἐπαγομένη ὀργὴ πεπαιμένη ἐστὶ καὶ πρᾶεία καὶ συγγνωστή· ἧς σε δίκαιον τυγχάνειν παρὰ τῶ Ἡρακλείᾳ ἄκοντα γὰρ ἥμαρτες.

742. Οὐχ ὁ τὔ κακὔ κοινωνὸς] ὁ μὴ δυσχερῶν τοιαῦτα ἂν εἴπει.

744. Σιγᾶν ἂν ἁρμόζοι σὲ τὸν πλείω χρόνον] γράφουσι λόγον· πρίπει σε λοιπὸν σιωπᾶν, καὶ μηκέτι περὶ τούτου πλείω λέγειν, εἰ μὴ ἄρα τι τῷ σῷ παιδὶ μᾶλλον ἐρεῖν παραγιγνομένῳ ἥδη.

749. Ἄλλως μητέρα] αἰσχύνομαι γὰρ ἐπὶ σει.

751. Συγκύμενον] λυπηρὸν καὶ μίσους ἄξιον.

755. Τὸ

ΥΛΛ. Ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι· “ τὸ γὰρ
“ Φανθὲν τίς ἂν δύναιτ' ἀγέννητον ποιεῖν ;”
ΔΗΙ. Πῶς εἶπας, ὦ παῖ ; τῦ παρ' ἀνθρώπων μαθὼν
Ἄζηλον ὕτως ἔργον εἰργάσθαί με φῄς ;
ΥΛΛ. Αὐτὸς βαρεῖαν ξυμφορὰν ἐν ὄμμασι
Πατρὸς δεδορκὼς, καὶ κατὰ γλῶσσαν κλύων.
ΔΗΙ. Πῦ δ' ἐμπελάζεις τἀνδρὶ, καὶ παρίσασαι ;
ΥΛΛ. Εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών.
Ὅθ' εἶρπε κλεινὴν Εὐρύτυ πέρσας πόλιν,
Νίκης ἄγων τρόπαια, καὶ χαροθίνια,
Ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κήναιόν ἐστιν, ἔνθα πατρῴῳ Διὶ
Βωμὸς ὁρίζει, τεμενίαν τε φυλλάδα·
Οὗ νιν τὰ πρῶτ' ἐσεῖδον ἄσμενος πόθῳ·
Μέλλονθι δ' αὐτῷ πολυθύτυς τεύχειν σφαγὰς,
Κήρυξ ἀπ' οἴκων ἵκετ' οἰκεῖος Λίχας,
Τὸ σὸν φέρων δώρημα, θανάσιμον πέπλον·
Ὃν κεῖνος ἐνδὺς, ὡς σὺ πρὸξεφίεσο,
Ταυροκλονεῖ μὲν δώδεκ' ἐντελεῖς ἔχων
Λείας ἀπαρχὴν βῦς· ἀταρ τὰ πάνθ' ὁμῦ
Ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
Καὶ πρῶτα μὲν δείλαιος, ἵλεῳ φρενὶ
Κόσμῳ τε χαίρων καὶ στολῇ κατηύχετο.

755. Τὸ γὰρ φανθὲν] τὸ ἄπαξ πραχθὲν, καὶ ἐπὶ πέρας ἐλθὸν, πως ἂν τις μὴ γενέσθαι ποιήσειε ; καὶ Πίνδαρος· “ Τῶν δὲ πεπρωμένων ἀποίητον οὐδ' ἂν χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος.”

758. Ἄζηλον] φαῦλον, ὃ οὐδεὶς ζηλώσειεν.

759. Αὐτὸς βαρεῖαν ξυμφορὰν] τὰ μὲν ἑώρακα πάσχοντος, τὰ δὲ ἀκουσμῷζοντος ἤκουσα κατὰ τὴν γλῶσσαν, ὃ ἐστι, κατὰ στόμα αὐτῦ ἐγράμενος καὶ ὡ πόρῳ, τυλίσιν, ἔμπροσθεν αὐτῦ, ὄμμασι τοῖς κατὰ στόμα αὐτῦ ἀπήντησε.

761. Πῦ δ' ἐμπελάζεις] πρόσπελάζως.

Ib. Παρίσασαι] πλησίον γίγνας.

763. Ὅθ' εἶρπε] καινοπρεπὴς ἡ φράσις, ἤλθε εἰς τὴν Εὔβοιαν, ἧς ἀκρωτήριόν ἐστι τὸ Κήναιον.

767. Τεμενίαν τε φυλλάδα] τὸν ἀπὸ τῶν τεμενῶν στέφανον, ἢ τέμενος πολύφυλλον.

772. Ὡς σὺ προξεφίεσο] ὡς σὺ ἐνετείλω.

776. Δείλαιος, ἵλεῳ φρενὶ] ὁ Ἡρακλῆς ἱλαρῷ τῇ φρενὶ καὶ πύξαλὸ σοι χαίρων ἐπὶ τῷ πέπλῳ.

778. Ὅπως

Ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο
Φλὸξ αἱματηρὰ, κἀπὸ τιείρας δρυὸς,
Ἱδρὼς ἀνῆει χρωτὶ, καὶ τροσπ[ύσσε]ο
Πλευραῖσιν ἀρτίκολλος, ὥστε τέκ[τονος,
Χιτὼν ἅπαν κατ' ἄρθρον· ἦλθε δ' ὀσέων
Ὀδαγμὸς ἀντίσπασος· εἶτα Φοινίας
Ἐχθρᾶς ἐχίδνης ἰὸς ὡς ἐδαίνυ[το,
Ἐνταῦθα δὴ βόησε τὸν δυσδαίμονα
Λίχαν, τὸν ὐδὲν αἴτιον τῶ σῶ κακῶ,
Ποίαις ἐνέγκοι τόνδε μηχαναῖς τέπλον.
Ὁ δ' ὐδὲν εἰδὼς δύσμορος, τὸ σὸν μόνης
Δώρημ' ἔλεξεν, ὥσπερ ἦν ἐσταλμένον·
Κἀκεῖνος ὡς ἤκουσε, καὶ διώδυνος
Σπαραγμὸς αὐτῶ τνευμόνων ἀνθήψα[το,
Μάρψας τοδὸς νιν ἄρθρον ᾗ λυγίζ[εται,
Ῥιπτεῖ τρὸς ἀμφίκλυτον ἐκ τοὐντῦ τέτραν.
Κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει μέσω
Κρατὸς διασπαρέν[τος, αἵμα[τός θ' ὁμῶ.

778. Ὅπως δὲ σεμνῶν ὀργίων] ὅτι δὲ ἀπὸ τῶν θυμάτων καὶ τῶν ξύλων ἡ φλὸξ ἀνεκαίετο, τότε ἱδρὼς ἀνῆει περὶ τὸ σῶμα αὐτῦ.

779. Φλὸξ αἱματηρὰ] αἱματηρὰ, ὅτι ἐκ τῦ αἵματος τῶν ἱερείων συνίσταται.

Ib. Κἀπὸ τιείρας δρυὸς] λιπαρῦ ξύλου· δρῦν γὰρ λέγουσι πᾶν δένδρον.

781. Πλευραῖσιν ἀρτίκολλος] ὡς ὑπὸ τέκτονος καλῶς συγκεκολλημένος. τὸ δ' ἐξῆς, καὶ τροσκολληθεὶς ὁ χιτὼν κατὰ πᾶν μέρος, ὡς ἂν ξύλω τεταμὰ κόλλα ὑπὸ τέκτονος τροσθεῖσα χρισθεῖσα.

783. Ὀδαγμὸς ἀντίσπασος] κνησμὸς· ὀδήξασθαι γὰρ τὸ κνήσασθαι. ἀντίσπασος δὲ, ὅτος σπασμῷ, ἢ μετὰ σπασμοῦ. γίνεται δὲ ὁ φόφος ἀπὸ σπασμῦ.

784. Ἐχθρᾶς ἐχίδνης] Τυφῶνος μὲν γὰρ καὶ ἐχίδνης ἡ ὕδρα.

Ib. Ἰὸς ὡς ἐδαίνυτο] ὡς κατήσθιεν αὐτὴ ὁ ἰός.

788. Τὸ σὸν μόνης δώρημ' ἔλεξεν] εἶπεν, ὅτι σὺ αὐτῷ τροσήγαγες τὸν τέπλον, ὡς ἦν ἀπεγαλμένος ὑπὸ σῦ καὶ ὐκ αὐτὸς ὢν ἀφ' ἑαυτῦ τανεργήσας.

792. Μάρψας τοδὸς νιν] ἁρπάσας τῦ τοδὸς τῦ Λίχα κατ' ἐκεῖνο τὸ μέρος ἔνθα ἐσημείωται τὸ ἄρθρον. λέγει δὲ τὸ τερὶ τὸν ἀγκάγαλον μέρος, ᾧ εἰώθαμεν δισμεῖν τὸ ὑπόδημα, ἤ τι τοιῦτον.

Ib. Ἢ λυγίζεται] ἁρμόζεται, κάμπτεται, συςρέφεται· ὅπω ἐςὶν ὁ δισμὸς τῶν τεύχων, ἔνθα ὑπολεισμήμαθα. εἴρηται δὲ ἀπὸ τῶν λύγων· εὐέλικτον γὰρ τὸ φυτὸν νέον ὄν. Ὅμηρος·

" Δίδη μόσχοισι λύγοισιν."

793. Ἀμφίκλυτον] τὴν ἐκ τῦ τοὐντῦ ἀμφοτέρωθεν κλυζομένην.

794. Κόμης δὲ λευκὸν μυελὸν] ἀκ δὲ τῆς κόμης

Ἅπας δ' ἀνεμφώνησεν οἰμωγῇ λεώς,
Τὸ μὲν νοσοῦντος, τὸ δὲ διαπεπραγμένου.
Κἀδεὶς ἐτόλμα ταὐδρὸς ἀντίον μολεῖν·
Ἔσπαστο γὰρ πέδονδε, καὶ μετάρσιος,
Βοῶν, ἰύζων· ἀμφὶ δ' ἐκτύπουν πέτραι,
Λοκρῶν ὄρειοι πρῶνες, Εὐβοίας τ' ἄκραι.
Ἐπεὶ δ' ἀπεῖπε, πολλὰ μὲν τάλας χθονὸς
Ῥίπτων ἑαυτὸν, πολλὰ δ' οἰμωγῇ βοῶν,
Τὸ δυσπάρευνον λέκτρον ἐνδα[ι]όμενος *
Σὺν τῆς ταλαίνης, καὶ τὸν Οἰνέως γάμον,
Οἷον κα[τ]ακτήσαι[το] λυμαντὴν βίου·
Τότ' ἐκ προσέδρου λιγνύος διάτροφον
Ὀφθαλμὸν ἦρας, εἶδέ μ' ἐν πολλῷ στρατῷ
Δακρυρροοῦντα· καί με προσβλέψας, κάλει,
"Ὦ παῖ, πρόσελθε. μὴ φύγῃς τὐμὸν κακὸν,
"Μηδ' εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί.
"Ἀλλ' ἆρον ἔξω· καὶ μάλιστα μὲν μέθες
"Ἐνταῦθ', ὅπου με μήτις ὄψε[ται] βροτῶν.

* TURN. in marg. ἐμματῶμενος.

κόμης τὸν ἐγκέφαλον ἐκραίνει κατὰ μέρος τῆς κεφαλῆς διατυχισθείσης· ὅτι διαιρεθείσης τῆς κεφαλῆς, διὰ τῆς κόμης ἀνεπέμπετο ὁ ἐγκέφαλος σὺν τῷ αἵματι.

796. Ἀνεμφώνησεν] κατὰ τὸ ἐναντίον, ἀντὶ τοῦ, ἐξέναξε.

797. Τῷ μὲν νοσοῦντος] τῷ Ἡρακλεῖ νοσοῦντος, τῷ δὲ Λίχᾳ ἠδη ἀνυσθέντος, ὃ ἐστι, τελευτήσαντι.

799 Ἔσπαστο γὰρ] σπασμῷ γὰρ εἵλκετο κείμενος ἐπὶ τῆς γῆς.

801. Λοκρῶν ὄρειοι πρῶνες] Ὁμηρος·

" Λοκρῶν δ' ἡγεμόνευεν Ὀϊλῆος ταχὺς
" Αἴας,

" Λοκρῶν, οἱ ναίουσι πέραν ἱερῆς Εὐβοίης."

802. Ἐπεὶ δ' ἀπεῖπεν] ἀπέκαμεν, ἀπηγόρευσεν ἑαυτὸν, ὑπερκέκμηκε, ἀπείρηκε, πρὸς τὴν γῆν ἐπὶ γῆς κυλιόμενος.

804. Ἐνδαι[ό]μενος] σφοδρῶς λοιδορῶν· μεμφόμενος· κατὰ μέρος τῶν λεγομένων ἀνακλῶν. ἐνδατεῖσθαι γὰρ τὸ μερίσασθαι· ἢ δὲ μεταφορὰ ἀπὸ τῶν δαινυμένων· ἐνδατεῖσθαι γὰρ τὸ σφοδρῶς ἐσθίειν. Ἄλλως· ἐνδατούμενος τῶν σφόδρα κακῶν λίχαν, δυσφημῶν, συνεχῶς μεμφόμενος, ἐπαρώμενος· ἴσιοι δὲ γράφουσιν ἐμματῶμενος, ἀντὶ τοῦ μασσώμενος.

806. Κα[τ]ακτήσαι[το] πλησιάζει ἡ, κατὰ ἀντὶ τοῦ ἔσχε.

807. Τότ' ἐκ προσέδρου] ὅτι ἀπεῖπε καὶ ἐπαύσατο καὶ ἀπέκαμε κυλιόμενος, τότε ἀνατείνας τὸν ὀφθαλμὸν διὰ τῆς κεχυμένης τῷ σώματος λιγνύος, εἶδε με δακρυρροοῦντα. Λιγνὺς δὲ, τῆς ὑποκαιομένης καὶ περικεχυμένης αὐτῷ φλογώδους νόσου.

812. Ἀλλ' ἆρον] προστακτικῶς.

814. Εἰ

" Εἰ δ' οὔπτον ἴσχεις, ἀλλά μ' ἔκ γε τῆσδε γῆς
" Πόρθμευσον ὡς τάχιστα, μηδ' αὐτῷ θάνω." 815
Τοσαῦτ' ἐπισκήψαντος, ἐν μέσῳ σκάφει
Θέντες σφὲ πρὸς γῆν τήνδ' ἐκέλσαμεν μόλις,
Βρυχώμενον σπασμοῖσι· καί νιν αὐτίκα
Ἢ ζῶντ' ἐσόψεσθ', ἢ τεθνηκότ' ἀρτίως.
Τοιαῦτα, μῆτερ, πατρὶ βουλεύσασ' ἐμῷ 820
Καὶ δρῶσ' ἐλήφθης, ὧν σε ποίνιμος Δίκη
Τίσαιτ' Ἐριννύς τ'· εἰ θέμις δ', ἐπεύχομαι.
Θέμις δ', ἐπεί μοι τὴν θέμιν σὺ πρῶβαλες *,
Πάντων ἄριστον ἄνδρα τῶν ἐπὶ χθονὶ
Κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ. 825
ΧΟΡ. Τί σῖγ' ἀφέρπεις; ἀ κάτοισθ' ἔθ' ὕνεκα
Ξυνηγορεῖς σιγῶσα τῷ καθηγόρῳ;
ΥΛΛ. Ἐᾶτ' ἀφέρπειν, ἔρος ὀφθαλμῶν ἐμῶν
Αὐτῇ γένοιτ' ἄπωθεν ἑρπύσῃ καλός †.
Ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν 830
Μητρῷον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ;
Ἀλλ' ἑρπέτω χαίρουσα, τὴν δὲ τέρψιν, ἣν
Τῷ ἐμῷ δίδωσι πατρὶ, τήνδ' αὐτὴ λάβοι.

* TURN. in textu, πρύλαβες. † ALD. καλῶς.

814. Ε' δ' οἵκτου ἴσχεις] αἰσχύνεται γὰρ αὐτὸν θανεῖν, μὴ ἐγγελασθῇ ὑπὸ τῶν Ὀιχαλιῶν.

818. Βρυχώμενον] ἀνοιμώζοντα μεγάλως ἐκ τῶν σπασμῶν.

821. Ποίνιμος Δίκη] ἡ τιμωρὸς, ἡ ποινὴν ἀπαιτοῦσα.

823. Θέμις δ', ἐπεί μοι τὴν θέμιν] Θέμις δέ ἐστιν ἡμᾶς καταζεῦσθαι σοι, ἐπεὶ σὺ πρότερα τὴν θέμιν ἀπέρριψας καὶ παρεῖδες. ἐὰν δὲ πρύλαβες, ἀντὶ τοῦ, φθάσασα τὴν θέμιν καὶ οὐκ ἐξεδέξω, ἕως τὶ κατὰ τὸ δίκαιον πράξῃς. γράφεται καὶ πρύβαλες.

826. Τί σῖγ' ἀφέρπεις] σῖγα ἐπιβήματικῶς, ἀντὶ τοῦ σιωπηλῶς. πυθέσθαι, διὰ τί μὴν ἀποκρίνῃ πρὸς τὸν Ὕλλον;

827. Ξυνηγορεῖς] συνῳδεῖς.

828. Οὖρος ὀφθαλμῶν ἐμῶν] εὐθὺς ἔρως καλὸς ἐπιπνύσει αὐτῇ ἀπιέναι, ἵνα μηκέτι αὐτὴν ἴδωμι. τροπικῶς δὲ τὸ ἔρως ὡς ἐπὶ νεὼς, ἀπὸ τοῦ πλοιοδρομεῖσθαι.

830. Ὄγκον γὰρ ἄλλως ὀνόματος] τί γὰρ μάτην ἐπαιρόμεθα τῷ τῆς μητρὸς ὑπάρχειν ἀξίαν αὐτὴς διαπραξαμένης, ἂν ἡ φύσις καὶ ὁ δεσμὸς ἀπῇτει;

Ib. Τρέφειν] ἀντὶ τοῦ ἔχειν.

834. Τὸ

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἰὰ οἷον, ὦ παῖδες, προσέμιξεν ἄφαρ
Τὔφος τὸ θεοπρόπον ἡμῖν
Τᾶς παλαιφάτᾳ * προνοίας,
Ὅ, τ' † ἔλακεν· ὁπότε τελεόμηνος ἐκφέροι
Δωδεκατός τ' ἄρτος, ‡ ἀναδοχὰν τελεῖν πόνων
Τῷ Διὸς αὐτόπαιδι, καὶ τάδ' ὀρθῶς
Ἔμπεδα κατᾳρίζει.
Πῶς γὰρ ἂν ὁ μὴ λεύσσων,
Ἔτι ποτ' § ἔτ' ἐπίπονον ἔχοι
Θανὼν λατρείαν;

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Εἰ γάρ σφε Κενταύρᾳ φονία ‖ νεφέλα
Χρίει, δολοποιὸς ἀνάγκα,
Πλευρᾷ προστακέντος ἰῷ,

* Turn. in marg. παλαιφοίβα. † Turn. Ὅττ'. ‡ Ald. Δωδέκαλος ἄροτος.
§ Ald. Ἔτι ποτὶ. ‖ Ald. φοινία.

834. Ἰὰ οἷον, ὦ παῖδες] ὁ χορὸς πρὸς ἀλλήλους διαλέγεται περὶ τῶ διδομένω μαντείω τῷ Ἡρακλεῖ ἐν τῇ Δωδώνῃ, ὅτι νῦν ἀπίδη. τὸ δὲ οἷον ἀντὶ τῦ οἵως. οἷοι, ὁρᾶτε, ὦ φίλαι, οἵως ἡμῖν ἀθρόως συνίπεσε, καί εἰς οἷον κακὸν ἀπίδη τὸ ἔπος τὸ ἐκ τῦ μαντείου πάλαι χρησθέν. προσέμιξε δὲ, ἀντὶ τῦ, προσεξέφάγη ἀξίως.

836. Τᾶς παλαιφάτᾳ προνοίας] γράφεται παλαιφοίβω· ἐν ᾗ, τῆς πάλαι μαντευσαμένης· φοβᾶσθαι γὰρ τὸ μαντεύεσθαι.

837. Ὅττ' ἔλακεν] ὅπερ ἐφθέγξατο, ἐπειδὰν ἐναυλὸς παρέλθοι, τότε διαδοχὴν γενέσθαι τῶν πόνων τῷ Ἡρακλεῖ τῷ Διὸς παιδί. ἀναδοχὰν δὲ, ἀνάπαυσιν, ἀπαλλαγὴν, διαδοχήν.

Ib. Τελεόμηνος ἐκφέροι] ὁ ἐναυτὸς ὁ τέλειος ἔχων τὸ δωδεκάμηνον. ὁμοίως δὲ καὶ ἄροτος ὁ ἐναυτὸς, ἀπὸ τῦ ἅπαξ κατ' ἐναυτὸν ἀρῶν.

839. Αὐτόπαιδι] γνησίῳ παιδί.

Ib. Καὶ τάδ' ὀρθῶς] ταῦτα δὲ τὰ χρησθέντα ἀσφαλῶς νῦν ἡμῖν ἀποβαίνει. τροπικῶς δὲ κατᾳρίζει, ἀντὶ τῦ, ὥσπερ ὑρίῳ τινὶ πρόσορμίζει ἡμῖν κατ' ὀρθὸν ἀνύσμενα.

840. Κατᾳρίζει] προσκτεῖ.

841. Πῶς γὰρ ἂν ὁ μὴ λεύσσων] πῶς γὰρ ὁ μηκέτι ὁρῶν τὸ φῶς, παρὰ Εὐρυσθέως κελεύοιτο;

844. Εἰ γάρ σφε Κενταύρᾳ] εἰ γαρ αὐτὸν τὸν Ἡρακλέα τὸ αἷμα τὸ Ἰκανίσιμον τῦ Κενταύρου περιέχει, τῇ πλευρᾷ προσλακόντος ἰῦ, πῶς ἂν ἕτερον ἥλιον ἢ ταυτὸν ἴδοι;

845. Χρίει δολοποιὸς] χρίει δὲ τὸ ἱμάτιον τῷ αἵματι ἡ ἀνάγκη, ὡς τῆς Δηϊανίρας μιτρὰ δόλῳ τεχνησαμένης τῦτο· ἠνάγκασαι γὰρ ὑπὸ ζήλου, δι' ὃ ἦρα τὸν δόλον τεχνάσασθαι.

Ὃν τέκε]ο θάνα]ος, ἔτεκε δ' αἰόλος δράκων,
Πῶς ὅδ' ἂν ἀέλιον ἕτερον ἢ ταὼν ἴδοι,
Δεινοτάτῳ μὲν Ὕδρας προστετακὼς
Φάσματι· μελαγχαίτα
Τ' ἄμμιγά νιν αἰκίζει
Νέσσε γ' ὕπο δολόμυθα κέντρα *
Ἐπιζέσαντα.

ΣΤΡΟΦΗ Β.

Ὧν ἄδ' ἁ τλάμων ἄοκνον
Μεγάλαν προσορῶσα δόμοισι † βλάβαν
Νέων ἀϊσσόντων γάμων,
Τὰ μὲν οὔ τι προσέβαλε, τὰ δ' ἀπ' ἀλλοθρόα

* Ald. Νέσσε δ' ὕπο, φοίνια δολόμυθα κέντρ'. † Ald. δόμοις.

847. Ὃν τ κιτο θάνατος] τοῦτον τὸν ἰὸν ἐγέννησεν ὁ αἰόλος δράκων, μᾶλλον δὲ ὁ θάνατος.

849. Προσβεβλακὼς φάσματι] προσκεκολλημένος τῷ ἰῷ τῆς Ὕδρας. τοῦτο δὲ καθ' ἑαυτό, αἰτιατικὴν γὰρ ἐπιφέρει. Ἄλλως. Προσκεκολλημένος τῷ ἰῷ, ἢ τῷ ὀλιθρίῳ, παρὰ τὸ πεφονεῦσθαι τῷ φάσματι. τυτίσι, τῷ ἱματίῳ τῷ κεχρισμένῳ τῷ φαρμάκῳ τῆς Ὕδρας, τυτίσι, τῇ χολῇ.

850. Μελαγχαίτα τ' ἄμμιγα] τῷ δασυτρίχῳ· καὶ ἅμα τῷ φάσματι τῆς Ὕδρας, καὶ τὰ κέντρα τῷ Νέσσῳ αἰκίζει αὐτόν. δῆλον δ' ὅτι φοίνια τὰ κέντρα τῷ Νέσσῳ εἰσί. λέγει δὲ τὸ αἷμα αὐτοῦ τὸ συμμεμιγμένον τῇ χολῇ τῆς Ὕδρας.

852. Φοίνια δολόμυθα] δολόμυθα κέντρα φησὶν, ὅτι τοῖς δολίοις τοῦ Νέσσου λόγοις ἀπατηθεῖσα ταῦτα πεπόλμηκεν. Ἄλλως· φοίνια δολόμυθα. τὰ ὀλέθρια φάρμακα. καὶ γὰρ ἕτερά τινα ἐκέλευσεν αὐτῇ συμμίξαι τῷ αἵματι, ὡς ὀπίσω εἶπεν.

853. Ἐπιζέσαντα] ἐπιχυθέντα, ἀπακαχλάσαντα ἀπὸ τῆς θέρμης τοῦ πυρός.

854. Ὧν ἄδ' ἁ τλάμων] ὧν τὴν βλάβην μεγάλην ὁρῶσα ἡ Δηϊάνειρα καὶ ταχεῖαν τοῖς οἴκοις συμβᾶσαν, αὐτὴν μὲν ἐξ ἀρχῆς αὕτη οὐ συνεῖδεν, ἐκ παλαισκευῆς δὲ τῆς Νέσσου καὶ τῆς ὕστερον φωνῆς γενομένην, ὡς δῆθεν ἐπὶ τῷ ἐκλελάθεσθαι αὐτῆς τὸν Ἡρακλέα, λέαν ἐδόκησεν καὶ ζῆνει. Ἄλλως. Ὧν ἄδ' ἁ τλάμων. τῶν νεωστὶ θρωμένων, καὶ εἰς τὴν ἀμέλλητον βλάβην συμβάντων τοῖς οἴκοις, ἡ Δηϊάνειρα τὰ μὲν καθ' ἑαυτὴν ἐξ ἀρχῆς αὕτη οὐ συνεῖδεν, ἐπὶ τῷ ἐκλελάθεσθαι τὸν Ἡρακλέα Ἄοκνον δέ, τὴν οἰκίαν καὶ ἀμέλλητον, ἢ πολύοκνον· ὃ ἐστι πολυφοβον· κατ' ἐπίτασιν δὲ τὸ α.

856. Νέων ἀϊσσόντων] νεωστὶ προσβαλλόντων.

Ib. Ἀϊσσόντων] συνίζησις.

857. Οὔ τι προσέβαλε] οὐ συνῆκεν ἀπὸ τοῦ Νέσσου.

Ib. Τὰ δ' ἀπ' ἀλλοθρόα] ἀλλοφώνου, ὅτι ἀπὸ τῆς Νέσσου φωνῆς γέγονεν ἡ καθ' Ἡρακλέους συμφορά· ἢ τῆς ἄλλα εἰπούσης, καὶ μὴ τὰ ἀληθῆ· ἢ ἀλλοφώνου, ὡς ἠλλαγμένην τοῦ Νέσσου φωνὴν ἔχοντος.

858. Ὀλιθρίαις

Γνώμας μολόντ' ὀλεθρίαισι * ξυναλλαγαῖς,
Ἦ ὦ ὀλοὰ στένει,
Ἦ ὦ ἀϐίνων χλωρὰν
Τέγγει δακρύων ἄχναν.
Ἃ δ' ἐρχομένα
Μοῖρα προφαίνει δολίαν
Καὶ μεγάλαν ἄταν.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ἐρρῴγεν παγὰ δακρύων.
Κέχυται νόσος. Ὦ πόποι, οἷον ἀναρ-
σίων ὕπω ἀγακλει-
τὸν Ἡρακλέ' † ἐπέμολε πάθος οἰκτίσαι.
Ἰὼ κελαινὰ λόγχα τᾷ προμάχῳ δορὸς,

* ALD. ὀλεθρίαις. † ALD. Ἡρακλίνης.

858. Ὀλεθρίαις ξυναλλαγαῖς] ἢ ὀλεθρίαις καὶ ἐπιϐλαϐέσι φιλίαις, ἢ ἐπὶ ἀντὶ τῷ ἰδίᾳ δαπάνῃ ὁ Νέσσος ἀντήλλαξεν αὐτῇ τὸ αἷμα ἢ ὅτι ὁ μὲν Νέσσος εἶπεν αὐτῇ πάθη καὶ διαλλαγῆς ἐργαστήριον εἶναι τὸ φάρμακον, γέγονε δὲ ὄλεθρος Ἡρακλέης.

859. Ἦ ὦ ὀλοὰ στένει] ὀλοὰ ἡ δυσυχὴς, ἢ ἡ τῷ ὀλέσθαι ἀξία· ὄντως δὲ ἡ ἀθλία καθαρὰ ἀζει καὶ διαβρίχει πολλῶν δακρύων ἀφρόν· ἐμφατικὸν δὲ τὸ ἄχνα διὰ τὸ πλῆθος· χλωρὸν δὲ ἄχναν, τὸν νεαρὸν ἀφρόν.

860. Ἦ ὦ ἀϐίνων] ἀθρόων, ἢ πολυθρηνήτων.

861. Δακρύων ἄχναν] περιφραστικῶς τὰ δάκρυα.

862. Ἃ δ' ἐρχομένα μοῖρα] ἡ προσδοκωμένη κακομοιρία τῷ Ἡρακλίνῃ ἐμφαίνει μεγάλην ἐτέραν ἄτην καὶ βλάϐην. προσδοκῶσι δὲ ὅτι ἀπαλλυμένῳ Ἡρακλίνῃ αὐτόχειρ ἑαυτῆς γενήσεται.

Ib. Ἃ δ' ἐρχομένα μοῖρα προφαίνει δολίαν] δόλῳ γὰρ αὐτὴν καὶ λάθρᾳ ἀναιρήσει.

865. Ἐρρῴγειν παγὰ δακρύων] ἀντὶ τῷ, φάρ-

ιξιν ἡμῖν δακρύειν ὡς ἀπὸ πηγῆς κρυπτῆς· ἐκτέτηλαι γὰρ τὸ κακὸν, καὶ πανταχῷ διαϐήσεται ἡ κατὰ τὸν Ἡρακλέα συμφορά.

866. Ὦ πόποι] φεῦ φεῦ, κακὴ φήμη γέγονε τῷ Ἡρακλεῖ, οἷον οὐδέποτε πολεμίοις ἀνοίκλισεν σιωπηθῆσαι· τὸ γὰρ ὕπω ἀντὶ τοῦ οὐχί. ἢ ὕπως· οἷον κακὴ φήμη οὐδέποτε ὑπὸ τῶν ἐχθρῶν συνίδη τῷ Ἡρακλεῖ, τοῦτο ἀπὸ τῶν ἰδίων αὐτῷ γεγένηται.

868. Ἐπέμολε πάθος] ἀντὶ τῷ ἀπομόλοι· οἷον οὐδέποτε ἀπὸ τῶν πολεμίων γένοιτο.

869. Ἰὼ κελαινὰ λόγχα] κελαινὴν εἶπε τὴν λόγχην διὰ τὸν ἐξ αὐτῆς ἀποτελούμενον θάνατον. Μέλας δὲ ὁ θάνατος. ἐυσφορεῖ δὲ ἐπὶ τῷ αἰχμάλωτον εἰλῆφθαι τὴν Ἰόλην· διὰ γὰρ ταύτην ἡ συμφορά· λόγχα δὲ δορὸς, περιφραστικῶς ἡ λόγχη. προμάχῳ δὲ, τῷ προδεδλημένῳ· τὸ δὲ λάγχα πρὸς τὸ αἷμα· ὁ δὲ λόγος, ἰὼ θαναλοποιὸ λόγη ἧτις τότε ἀνελεῖσα τὸν Εὔρυτον, ἐνταῦθα τὴν Ἰόλην ἀπέχμψας καὶ ἤγαγες ἐκ τῆς ὑψηλῆς Οἰχαλίας· ὡς εἴθε μή ποτε· τυτέσι, φεῦ τῆς λόγχης ἐκείνης, ἐν ᾗ ἐπόρθησε τὴν Οἰχαλίαν ὁ Ἡρακλῆς, ἵνα ἐνέγκῃ

Ἃ τότε θοὰν νύμφαν
Ἄγαγες ἀπ' αἰπεινᾶς
Τάνδ' Οἰχαλίας αἰχμᾶ.
Ἃ δ' ἀμφίπολος
Κύπρις ἄναυδος φανερὰ
Τῶνδ' ἐφάνη πράκτωρ.

IAMBOI.

ΧΟΡ. Πότερον ἐγὼ μάταιος, ἢ κλύω τινὸς
Οἴκτῳ δ' οἴκων ἀρτίως ὁρμωμένᾳ;
Τί φημί;
Ἦχεῖ τις ἀκ ἄσημον, ἀλλὰ δυστυχῆ
Κωκυτὸν εἴσω, καί τι καινίζει στέγη.
Ξύνες δὲ
Τήνδ', ὡς ἀήθης καὶ συνωφρυωμένη
Χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά * τι.
ΤΡΟ. Ὦ παῖδες, ὡς ἄρ' ἡμὶν ἀ σμικρῶν κακῶν
Ἦρξεν τὸ δῶρον Ἡρακλεῖ τὸ πόμπιμον.
ΧΟΡ. Τί δ', ὦ γεραιὰ, καινοποιηθὲν λέγεις;

* Aldus, σημαίνουσά.

τὴν Ἰόλην· διὰ γὰρ ταύτην ἡ συμφορὰ ἐγίνετο. τὸ δὲ ἄρθρον τῇ λόγχῃ συναπτέον, ἥ τις ἔλαχε λόγχη.

Ib. Προμάχᾳ δορὸς] τὸ προμάχᾳ ἀντὶ τοῦ Ἡρακλέους λοιπὸν, οἷον, τῷ περὶ πάντων μαχομένῳ. τὸ νύμφαν δὲ συναπτέον τῷ τάνδε.

870. Ἃ τότε θοὰν νύμφαν] ἀντὶ τοῦ θοᾶς· τινὲς δὲ τὴν ταχέως νυμφευθεῖσαν.

871. Ἄγ' αἰπεινᾶς] ἀπὸ τῆς ἐν ὕψει κειμένης.

872. Αἰχμᾶ] νόμῳ πολέμου.

873. Ἃ δ' ἀμφίπολος Κύπρις] ἡ περὶ ταῦτα σπουδαζομένη Κύπρις, ἥκουν ἡ ταῦτα εἰκονομοῦσα καὶ ὑπηρετησαμένη τῷ Ἡρακλεῖ πρὸς τὸν ἔρωτα. ὁ γὰρ, ἡ δὲ Κύπρις ἄρα ἡ ἄναυδος σιωπωμένη, φανερῶς ἦν τούτων τούτων ἐργάτις, εἰς ἔρωτα Ἰόλης βαλοῦσα τὸν Ἡρακλέα.

875. Πράκτωρ] πρακτική.

876. Πότερον ἐγὼ μάταιος] ὁ Χορὸς τῆς τροφοῦ ἀκούων θρηνούσης ἐπὶ τῷ θανάτῳ, ἤτοι τῇ ἀναιρέσει τῆς Δηϊανείρας, φησὶ τοῦτο. ἆρα ἀναίσθητός εἰμι; κατακούω θρήνου τινός.

879. Οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ] ἀ μικρὸν, ἀλλὰ μίγαν καὶ ἐξάκουστον τοῦτο δὲ ὡς ἠσθημένη μείζονος βοῆς.

880. Καί τι καινίζει στέγη] δοκεῖ τι νεώτερον ἔχειν ὁ οἶκος.

881. Ξύνες δὲ] ἀλληλαις παρακελεύονται αἱ ἀπὸ τοῦ Χοροῦ. Ἄλλως· ξύνες δὲ, ἀντὶ τοῦ, τῆσδε ἄκουσον· παρὰ τὸ ἔθος γὰρ κατεσυγκακοῦσα πρόσεισι.

885. Τὸ πόμπιμον] τὸ πομφθέν. λέγει δὲ τὸν χιτῶνα.

887. Βίβυκα

ΤΡΟ. Βέβηκε Δηϊάνειρα τὴν πανυσάτην
Ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου τροδός.
ΧΟΡ. Οὐ δήποθ' ὡς θανοῦσα;
ΤΡΟ. Πάντ' ἀκήκοας.
ΧΟΡ. Τέθνηκεν ἡ τάλαινα;
ΤΡΟ. Δεύτερον κλύεις.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΧΟΡ. Τάλαιν' ὀλεθρία, τίνι τρόπῳ θανεῖν σφε * φῆς;
ΤΡΟ. Σχετλιώτα]α τῶρός γε τρᾶξιν.
ΧΟΡ. Εἰπὲ τῷ μόρῳ, γύναι, ξυντρέχει.
ΤΡΟ. Αὐτὴν διηΐσωσε.
ΧΟΡ. Τίς θυμὸς, ἢ τίνες νόσοι;
ΤΡΟ. Τάνδ' αἰχμὰ βέλεος κακοῦ †
Ξυνεῖλε.
ΧΟΡ. Πῶς ἐμήσατο
Πρὸς θανάτῳ θάνατον
Ἀνύσασα μόνα;
ΤΡΟ. Στονόεντος ἐντομᾷ σιδήρου.
ΧΟΡ. Ἐπεῖδες, ὦ ματαία, τάνδ' ὕβριν;

* Alb. σφιν. † Turn. in marg. Τάνδ' αἰχμὰν βέλος κακοῦ.

887. Βέβηκε Δηϊάνειρα] οἷς ἄδων· ὁ τοῖς τοσοῖ βεβηκυῖα· σὺ γὰρ σῶμα οὐκ ἄπεισιν εἰς ἅδου.

889. Οὐ δήποθ' ὡς θανοῦσα] κατ' ἐρώτησιν· οὐχὶ ὡς θανοῦσα; βέβηκε δὲ, ἐπεὶ καὶ ζῶντά τις ἐξέστω τῶν τοιούτων τινά.

894. Σχετλιώταλα] σχετλιώταλα ἦλθε πρὸς τὴν αἱρεσιν· τετίγιν, ὡς ἂν τις ἰδὼν ἢ ἀκούσας σχετλιάσαι τὴν πρᾶξιν.

895. Εἰπὲ τῷ μόρῳ] τίνι θανάτῳ συνέπεσεν· ἀντὶ τοῦ, τίνι τρόπῳ ἐτελεύτησεν.

896. Αὐτὴν διηΐσατο] αὐτὴ ἑαυτὴν ἔφθισεν· ἀντὶ τοῦ, ἀφανῆ ἀπὸ τοῦ βίου ἐποίησεν.

897. Τίς θυμὸς, ἢ τίνες νόσοι] τίνι θυμῷ χρησαμένη ἑαυτὴν ἀνεῖλεν; ἢ τίς θυμὸς (φησὶν) ἀνεῖλε τὴν Δηϊάνειραν;

899. Τάνδ' αἰχμὰ βέλεος κακοῦ] περίφρασις, τὸ βέλος· βέλος δὲ εἶπε τὴν Δηϊάνειραν, ὅτι τρόπον βέλος ἀνεῖλεν ἑαυτήν· ἢ, ἥτις, ὡς βέλος ἐσθλὸν, μέγα κακὸν προσετρίψατο τῷ Ἡρακλεῖ, μόνη τὸν θάνατον ἀνύσασα.

901. Πρὸς θανάτῳ θάνατον] τὸν ἑαυτῆς πρὸς τῷ τοῦ Ἡρακλέους.

904. Ἐπεῖδες, ὦ ματαία] τεθίασαι τὴν ἐκείνης τύλμαν. ἐκαρδίρησας ἰδοῦσα τὴν ὠμότητα· οὕτως γὰρ εἶπε τὴν ὕβριν. καὶ νῦν δὲ τὸ ματαία κατὰ ἀντίφρασιν ἀντὶ τοῦ, ὦ μιαρὰ. καὶ Ὅμηρος

ΤΡΟ. Ἐπεῖδον, ὡς δὴ πλησία παρασάτις.
ΧΟΡ. Τίς ἦν; πῶς; φέρ' εἰπέ.
ΤΡΟ. Αὐτὴ πρὸς αὑτῆς χειροποιεῖται τάδε.
ΧΟΡ. Τί φωνεῖς;
ΤΡΟ. Σαφηνῆ.
ΧΟΡ. Ἔτεκεν, ἔτεκεν μεγάλαν
Ὦ νέορτος * ἅδε νύμφα
Δόμοισι τοῖσδ' Ἐριννύν.

ΙΑΜΒΟΙ.

ΤΡΟ. Ἄγαν γέ· μᾶλλον δ' εἰ παρῆσα πλησία
Ἔλευσας οἵ' ἔδρασε, κἀρτ' ἂν ὠκτισας.
ΧΟΡ. Καὶ ταῦτ' ἔτλη χεὶρ † ἡ γυναικεία κτίσαι;
ΤΡΟ. Δεινῶς γε· πεύσῃ δ' ὥστε μαρτυρεῖν ἐμοί.
Ἐπεὶ παρῆλθε δωμάτων εἴσω μόνη,
Καὶ παῖδ' ἐν αὐλαῖς εἶδε κοῖλα ‡ δέμνια
Στρωννύνθ', ὅπως ἄψορρον ἀντῴη πατρὶ,
Κρύψασ' ἑαυτὴν ἔνθα μήτις εἰσίδοι,
Βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ', ὅτι
Γένοιτ' ἐρήμη, κλαῖε δ' ὀργάνων ὅτῳ

* Ald. Turn. in textu, ἀνίορτος.
Ald. Καὶ ταῦτ' ἔτλη τις χεὶρ.
† Turn. Καὶ ταῦτ' ἔτλη χεὶρ.
‡ Turn. in marg. κοινὰ.

Ὅμηρος γὰρ τὸ μάταιον μίλιον καλεῖ. ὁ μέντοι μίλιος ἀρίσσεται αἶνος.

906. Πῶς; φέρ' εἰπέ] ἀντὶ τοῦ, τίνα θυμὸν εἶχε τότε;

907. Χειροποιεῖται τάδε] ταῦτα τῇ χειρὶ ἑαυτῆς διεπράξατο.

908. Τί φωνεῖς] ἀντὶ τοῦ, ἄπιστα λέγεις.

911. Ὦ νέορτος ἅδε] ἡ νεωστὶ ἐπιλαῦθα ὁρμήσασα Ἰόλη. ἀνίορτος δὲ ἀντὶ τοῦ ἡ αἰσχρὰ καὶ ἀπηνής.

915. Χεὶρ γυναικεία κτίσαι;] κατασκεύασαι καὶ ποιῆσαι. καλῶς δὲ ὡς ἐπὶ μεγάλῳ τολμήματι εἶπε τὴν λέξιν. ὥστε ἀκριβῶς διηγήσομαί σοι τὸ πρᾶγμα ὡς πεισθῆναί σε, ὅτι ἀληθῆ λέγω.

918. Εἶδε κοῖλα δέμνια] γράφεται κοινά. ἢ τὰ τοῦ Δανάτου, ἢ τὰ αὐτῆς καὶ τοῦ Ἡρακλέους.

919. Στρωννύνθ', ὅπως] τὸν Ὕλλον φωννύντα.

922. Κλαῖε δ' ὀργάνων ὅτῳ] ἢ τῶν ἰσχνοκώλων, ἢ τῶν ἐγχαλκίων, εἰς τὸν πέπλον ὑφάσματος. Ἁπλῶς. ὑπῆστό τινος ἐγχαλκίου ὧν αὐτὴ μεθαρμοζομένη, συνέντος αὐτῇ τοῦ Ἡρακλέους (εἶδον, ἰσχύν, ἢ τινος τοιούτου) καὶ ὠδύρετο ὡς λοιπὸν

Ψαύσειεν, οἷς ἐχρῆτο δειλαία πάρος.
Ἄλλῃ δὲ κἄλλῃ δωμάτων στρωφωμένη,
Εἴ πῃ φίλων βλέψειεν οἰκετῶν δέμας,
Ἔκλαιεν ἡ δύσηνος εἰσορωμένη,
Αὐτὴ τὸν αὑτῆς δαίμον' ἀνακαλυμένη
Καὶ τὰς ἄπαιδας ἐς τολοιπον ὐσίας.
Ἐπεὶ δὲ τῶνδ' ἔληξεν, ἐξαίφνης σφ' ἐρῶ
Τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην.
Κἄγωὰ λαθραῖον ὄμμ' ἐπεσκιασμένη
Φρέρην· ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
Τοῖς Ἡρακλείοις στρωτὰ βάλλυσαν φάρη.
Ὅπως δ' ἐτέλεσε τᾶτ', ἐπενθορᾶσ' ἄκω,
Καθέζετ' ἐν μέσοισιν εὐναστηρίοις.
Καὶ δακρύων ῥήξασα θερμὰ νάματα,
Ἔλεξεν, "Ὦ λέχη τε καὶ νυμφεῖ' ἐμά,
"Τολοιπὸν ἤδη χαίρεθ', ὡς ἔμ' ἄ ποτε
"Δέξεσθ' ἔτ' ἐν κοίταισι ταῖσδ' εὐνήτριαν."
Τοσαῦτα φωνήσασα, συντόνῳ χερὶ
Λύει τὸν αὑτῆς ὠέπλον, ᾧ χρυσήλατος
Πρᾶκείλο μασῶν ὠρονίς· ἐκ δ' ἐλώπισε
Πλευρὰν ἅπασαν, ὠλένην τ' εὐώνυμον.
Κἀγὼ δρομαία βᾶσ', ὅσονπερ ἔσθενον,
Τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε.

λοιπὸν καὶαλιμπάνουσα αὐτά. ἴσῃ δὲ ἴσως ἐγίπτετο, διὰ τὸν κατασκευασθέντα πέπλον ἐπὶ συμφορᾷ.

924. Ἄλλῃ δὲ κἄλλῃ] ἀντὶ τοῦ τῇδε κἀκεῖσε.

925. Καὶ τὰς ἄπαιδας] ἀπαίδας λέγει, ἐπεὶ μηκέτι ἐμελλε παῖδας τίκτειν, ἤτοι σχίσει συνουσίας δὲ, ὅτι τὸ λοιπὸν οὐ γενήσονται συνουσίαι πρὸς τὸν Ἡρακλέα εἰς παιδοποίαν.

Ib. Οὐσίας] κοίτας, συνουσίας.

931. Ἐπεσκιασμένη] περικεκαλυμμένη.

932. Φρέρην] ἱφύλαττον.

933. Στρωτὰ βάλλυσαν φάρη] ἔνθα συνεκάθευδε τῷ Ἡρακλεῖ· ἄλλο γὰρ ἦν ὅπερ ἐξύρισεν ὁ Ὕλλος.

934. Ἐπενθορᾶσ' ἄκω] ἐναλλομένη ἄνω εἰς τὴν κλίνην.

939. Εὐνήτριαν] εὐναζομένην, κοιμωμένην.

942 Πρᾶκειτο μασῶν] πρὸς τῷ στήθει γὰρ ἐτιτρωσκοντο αἱ γυναῖκες.

Ib. Ἐκ δ' ἐλώπισεν] ἐγύμνωσεν, ἐξέδυσεν, λῶπος γὰρ τὸ ἱμάτιον.

945. Τῷ παιδὶ φράζω] τῷ Ὕλλῳ τῷ παιδὶ τῆς τοιαύτα τολμώσης.

946. Κἀγὼ

Κἀν ᾧ τὸ κεῖσε δεῦρό τ' ἐξορμώμεθα,
Ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνῳ
Πλευρὰν ὑφ' ἧπαρ καὶ φρένας πεπληγμένην.
Ἰδὼν δ' ὁ παῖς ὤμωξεν· ἔγνω γὰρ τάλας
Τὄργον κατ' ὀργὴν ὡς ἐφάψειεν τόδε,
Οὗ' ἐκδιδαχθεῖς τῶν κατ' οἶκον, ἕνεκα
Ἄκεσα πρὸς τὸ θηρὸς ἕρξειεν τάδε.
Κἀνταῦθ' ὁ παῖς δύστηνος ἔτ' ὀδυρμάτων
Ἐλείπετ' ἀδὲν ἀμφί νιν γοώμενος,
Οὔτ' ἀμφιπίπτων σώμασιν, ἀλλὰ πλευρόθεν
Πλευρὰν παρεὶς, ἔκειτο πόλλ' ἀνασένων,
Ὡς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ·
Κλαίων ὅθ' ἕνεκ' ἐκ δυοῖν ἔσοιθ' ἅμα
Πατρός τ' ἐκείνης τ' ὠρφανισμένος βίᾳ.
Τοιαῦτα ταὐθάδ' ἐσίν· ὥς' εἴ τις * δύο
Ἢ καὶ πλείους † τις ἡμέρας λογίζεται,
Μάταιός ἐσιν· ὃ γὰρ ἐσθ' ἥγ' αὔριον,
Πρὶν εὖ πάθῃ τὶς τὴν παροῦσαν ἡμέραν.

ΣΥΣΤΗΜΑ.

ΧΟΡ. Πότερα, πότερ' ἂν ἐπισένω ‡;

* Turn. in marg. εἶπερ. † Ald. Turn. πλείς. ‡ Turn. Πότερα πρότερ' ἐπισένω. Ald. Πότερ' ἂν πότερα ἐπισένω.

946. Κἀν ᾧ] καὶ ἐν ᾧ, ἐν ὅσῳ (φησὶ) διεπρήξομεν πρὸς τὸν Ὕλλον, εἶτα πάλιν πρὸς τὴν Δηϊάνειραν, ἔφθασεν ἑαυτὴν ἀνελοῦσα.

948. Πλευρὰν ὑφ' ἧπαρ] περὶ τὸ ἧπαρ φρένες τανυσθαι. Ὅμηρος—"ὅθι τε φρένες ἦπαρ" ἔχουσιν.

949. Ἔγνω γὰρ τάλας] ἔγνω γὰρ κατὰ ποῖον τρόπον τῶν ἐποίησεν ἡ μήτηρ αὐτοῦ. συνιεῖσαν γὰρ ὡς ὀργισθεῖσα ἐπὶ τῷ ἠπατῆσθαι παρὰ τοῦ Νέσσου, τὸ ἔργον τοῦτο διεπράξατο.

954. Ἀμφί νιν] περὶ αὐτήν.

955. Πλευρόθεν πλευρὰν παρεὶς] ἐκτείνας ἑαυτὸν ἐπὶ ἰσοπλευρὰν, ἢ περισκολιήσας ἐκείνῃ, ὡδύρετο ὅτι αὐτὴν ματαίως ἠτιάσαιτο, ὡς κακοήθως ἀποκτείλασαν αὐτῷ τὸν χιτῶνα.

960. Ὥσθ' εἴ τις δύο καὶ πλείους] τοιούτων ὄντων τῶν ἀνθρωπίνων, ἤγουν, ἀβεβαίων, ἀνόητοί εἰσιν οἱ λογιζόμενοι δύο καὶ πλείους ἡμέρας, καὶ ὃ προσδοκῶντες καθ' ἑκάστην ὥραν τὸν θάνατον· πολλάκις γὰρ λύπῃ τινὶ ἢ δυστυχίᾳ περιπεσόντες, ἑαυτοὺς ὑπεξάγουσι τῷ βίῳ παραχρῆμα, καὶ οὐκ ἀναμίνουσι τὴν ἐπιοῦσαν ἡμέραν, ὡς καὶ ἡ Δηϊάνειρα.

964. Πότερ' ἂν πότερα] ποῖα (φησὶ) ςίνω;

τὰ

Πότερα τέλεα περαιτέρω,
Δύσκριτ' ἔμοιγε δυστάνῳ;
Τάδε μὲν ἔχομεν ὁρᾶν δόμοις,
Τάδε δὲ μέλλομεν ἐπ' ἐλπίσι·
Κοινὰ δ' ἔχειν τε καὶ μέλλειν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

Εἴθ' ἀνεμόεσσά τις
Γένοιτ' ἔπειρος ἐσιῶτις αὔρα,
Ἤ τις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως
Τὸν Ζηνὸς * ἄλκιμον γόνον
Μὴ ταρβαλέα θάνοιμι
Μέγον εἰσιδεῖσ' ἄφαρ.
Ἐπεὶ ἐν δυσπαλλάκτοις ὀδύναις
Χωρεῖν πρὸ δόμων † λέγουσιν
Ἄσπετόν τι θαῦμα.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ἀγχοῦ δ' ἄρα κεὐ μακρὰν
Ἔκλαιον ‡, ὀξύφωνος ὡς ἀηδών §.

* ALD. Τὸν Διός. † TURN. in textu, δεῖμα. ‡ TURN. Ἔκλαιον.
§ ALD. ἀηδὼν ξένη.

τὰ κατὰ τὸν Ἡρακλέα, ἢ τὰ κατὰ τὴν Δηϊάνειραν; ποῖα χαλεπώτερα καὶ περιλύπου διανοίας; ἢ ποῖα τελείως περαιτέρω τῶν ἀσήμων ἀσκατάληπτα ἐστιν, ἰσομέγιθη ὕλα;

967. Τάδε μὲν ἔχομεν] τὰ μὲν κατὰ τὴν Δηϊάνειραν αὐταῖς ὄψεσιν ἔξεστι θεωρεῖν ἐν τῇ οἰκίᾳ· τὰ δὲ κατὰ τὸν Ἡρακλέα ἐκδεχόμεθα.

969. Κοινὰ δ' ἔχειν τε καὶ μέλλειν] κοινὰ δέ ἐστι τὰ ἀμφοτέρων κακά· καὶ τὰ μὲν ἔχομεν, τὰ δὲ μέλλομεν ἕξειν· ἴσον δέ ἐστι τὸ ἔχειν κακὰ καὶ τὸ προσδοκᾶν.

970. Εἴθ' ἀνεμόεσσά τις] ἀνέμοεσσα αὔρα, περιφανὴς ἄνεμος, ἔπειρος, ἄριος.

971. Ἐσιῶτις] κατοικίδιος· ὁ δὲ τῶς, ἵνα ἔσηται πνεῦσιν ἄνεμος ἄριος ἐπὶ τῆς οἰκίας, ἵνα με λαβὼν ταύτης ἀπαγάγῃ τῆς ἑστίας καὶ ἀποχωρίσῃ, ὅπως μὴ παραγένωμαι ἀποθάνων θεασαμένη τὸν Ἡρακλέα κακῶς διακείμενον. τοῦτο δὲ λέγει, ὡς μὴ καρτερέσασα ἰδεῖν τὰς συμφοράς.

972. Ἤ τις μ' ἀποικίσειεν] ἀποχωρίσειεν ἀπὸ τούτων τῶν τόπων.

976. Δυσπαλλάκτοις] δυσιάτοις.

977. Χωρεῖν πρὸ δόμων λέγουσι] λέγουσι παμμέγιθές τι κακὸν φλησίον τῆς οἰκίας χωρεῖν, δυσιάτους ὀδύνας ἡμῖν ἐφελκόμενον.

980. Περίκλαιον ὀξύφωνος] ἀντὶ τοῦ, πρόκλαιόν σε. ὁ Χορὸς αἰσθάνεται τὸ Ἡρακλέους πλησίον φερομένου καὶ πολλοὺς θρηνούντων καὶ ἐπακολουθούντων αὐτῷ.

Ξένων γὰρ ἐξόμιλος ἥδέ τις βάσις·
Πᾷ * δ' αὖ φορεῖ νιν; ὡς φίλα
Προσκηδομένα, βαρεῖαν
Ἄψοφον φέρει βάσιν.
Αἴ, αἴ, αἴ· ὅδ' ἄναυδος φέρεται.
Τί χρὴ, θανόντά νιν, ἢ καθ'
Ὕπνον ὄντα, κρῖναι;

ΑΝΑΠΑΙΣΤΟΙ.

ΥΛΛ. Ὤμοι ἐγώ σε, πάτερ, ὤμοι ἐγώ
Σε μέλεος· τί πάθω! τί δε μήσομαι!
Οἴμοι.
ΠΡΕ. Σίγα, τέκνον, μὴ κινήσῃς
Ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος.
Ζῇ γὰρ προπετής· ἀλλ' ἴσχε θακὼν
Στόμα σόν.
ΥΛΛ. Πῶς φῂς, γέρον; ἢ ζῇ;
ΠΡΕ. Οὐ μὴ ξεγείρῃς τὸν ὕπνῳ κάτοχον,
Κἀκκινήσῃς, κἀνασήσῃς
Φοιτάδα δεινὴν νόσον, ὦ τέκνον.

* Turn. in textu, πᾶς.

981. Ξένων γὰρ ἐξόμιλος] ἐκ τῆς βαδίσεως συνήκαν τὸ φαινόμενον ἄθροισμα ξένων ἀνδρῶν εἶναι. οἷον, βάδισις ξένων ἀνδρῶν ἐστι, καὶ ἄλλα πλήθος συνέσηκε.

982. Πᾷ δ' αὖ φορεῖ νιν] πῶς φορεῖ καὶ φέρεται αὐτὸν ὁ ὅμιλος; ὡς γὰρ ὑπὲρ φίλα κηδομένην ἄψοφον φέρει τὴν βάσιν.

985. Ἀναυδος] μηδὲ φωνὴν προΐσθαι δυνάμενος.

986. Τί χρὴ, θανόντά νιν] τί (φησὶ) δεῖ κρῖναι περὶ αὐτοῦ, καὶ τί ἂν τις δοξάσειε πότερον τέθνηκεν, ἢ ὕπνῳ βεβάπτισται;

988. Ὤμοι ἐγώ σε, πάτερ] ὁ Ὕλλος ὑπαντήσας τῷ πατρὶ θρηνεῖ.

989. Μήσομαι] τεχνάσομαι, μηχανήσομαι ὅπως σωθείης.

991. Σίγα, τέκνον] γέρων τις ἀκολουθῶν τῷ Ἡρακλεῖ ἀπὸ Εὐβοίας, πρὸς τὸν Ὕλλον φησὶ, μὴ ἀνεγείρῃς αὐτόν. τοῦτο γὰρ αἴτιον ὀδύνης τοῖς κάμνουσιν.

992. Ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος] ἐκ τῶν ἐδυνῶν ἠγριωμένην.

993. Ζῇ γὰρ προπετὴς] προπετὴς, εἰς τὸν θάνατον προπεπτωκὼς, ἢ παρειμένος καὶ εἰς τὴν γῆν πεσών, ἢ ἐπὶ πρόσωπον κεκμώμενος, ἢ καὶ μόνον κάμνων.

996. Τὸν ὕπνῳ κάτοχον] τὸν μανιώδη.

999, 1000. Ἀλλ' ἐπί μοι μελέᾳ] ἀλλ' ἀνθυσιῷ

ΥΛΛ. Ἀλλ' ἐπί μοι μελέῳ
Βάρος ἄπλεϛον ἐμμέμονε Φρήν.
ΗΡΑ. Ὦ Ζεῦ, ποῖ γᾶς ἦκω! παρὰ τοῖ-
σι βροτῶν κεῖμαι πεπονημένος ἀ-
λήκτοις ὀδύναις! οἴμοι, ἐγὼ τλά-
μων· ἠδ' αὖ μιαρὰ βρύκει· φεῦ.
ΠΡΕ. Ἆρ' ἐξῄδεις ὅσον ἦν κέρδος
Σιγῇ κεύθειν, καὶ μὴ σκεδάσαι
Τῷδ' ἀπὸ κρατὸς βλεφάρων θ' ὕπνον;
ΥΛΛ. Οὐ γὰρ ἔχω πῶς ἂν
Στέρξαιμι, κακὸν τόδε λεύσσων.
ΗΡΑ. Ὦ Κηναία κρηπὶς βωμῶν
Ἱερῶν, οἵαν νῦν ἀνθ' οἵων
Θυμάτων ἐπί μοι μελέῳ χάριν ἠ-
νύσω· ὦ Ζεῦ,
Οἵαν μ' ἄρ' ἔθρεψαν, οἵαν
Ἥν μήποτ' ἐγὼ προσιδεῖν ὁ τάλας
Ὤφελον ὅσσοις, τόδ' ἀκήλητον
Μανίας ἄνθος καϛαδερχθῆναι.
Τίς γὰρ ἀοιδὸς, τίς ὁ χειροτέχνης

ἰάβατιν μοι τῷ μελίῳ ἡ φρὴν διὰ τὸ ἄπλετον βάρος· ἐν ἰαμβυμίᾳ (φησὶν) ἔχω τὸ βάρος καὶ σιωπᾶν δ' δύναμαι.

1002. Ὦ Ζεῦ, ποῖ γᾶς ἦκω] Ἡρακλῆς ταῦτά φησιν, ὡς ἱξαναρὰς καὶ ἐγκῶν πᾶ μετετέθηκται.

1005. Βρύκει] ἐσθίει με ἡ νόσος, ὡσ ἀναλίσκει.

1006. Ἆρ' ἐξῄδεις ὅσον] πρὸς Τλων λέγει. ἆρα, φησὶν, ὅσον ἦν κέρδος τὸ σιωπᾶν, ἔχων καὶ μὴ διασκεδάσαι ἀπ' αὐτῶ τὸν ὕπνον;

1009. Οὐ γὰρ ἔχω πῶς ἂν] ἀδυνάτως ἔχω μαρτυρεῖν ἐπὶ τηλικούτῳ κακῷ.

1011. Ὦ Κηναία κρηπὶς] τὸ Κάφος. περιφραστικῶς δὲ, ἀντὶ τοῦ, ὦ Κήπαιον. μίμφεται δὲ τῷ τόπῳ, ὅτι οὐκ ἐπὶ αἰσίοις αὐτῷ γέγονε, τὰ ἐκεῖ θύματα· οἵων ἂν (φησὶ) χάριν ἀπὸ τῶν θυμάτων διεπράξω!

1012, 1013. Οἵαν τῶν ἀνθ' οἵων θυμάτων] ἅσαν μοι [φησὶ] προσετρίψω βλάβην, ὦ Ζεῦ, τὴν ἐν μανίαις ἀκμάζουσαν. λέγει δὲ ταῦτα ἀφορῶν εἰς τὸ ἑαυτοῦ σῶμα.

1017. Ὤφελον ὅσσοις τόδ' ἀκήλητον] ἀνίατον, ἀκαταπράυντον, ἀπὸ κοινοῦ δὲ τὸ ὤφελον.

1018. Καταδερχθῆναι] θεωρῆσαι, ἰδεῖν τὴν ἀκμὴν τῆς μανίας.

1019. Τίς γὰρ ἀοιδὸς] τίς [φησὶν] ἰατρὸς ἢ ἰατρὸς διὰ χειρῶν τὴν τέχνην τῆς ἰαλικῆς ἐνδικνύμενος θεραπεύσει τὸ πάθος μου, εἰ μὴ ὁ Ζεὺς βούλοιτο;

Ἰατορίας, ὃς τήνδ' ἄτην
Χωρὶς Ζηνὸς κατακηλήσει;
Θαῦμ' ἂν πάρρωθεν ἰδοίμαν *. Ἔ, ἔ,
Ἐᾶτέ με δύσανον † εὐνάσαι.
Πᾷ μ' ψαύεις; ποῖ με κλίνεις;
Ἀπολεῖς μ', ἀπολεῖς.
Ἀντέτροφας ὅ, τι καὶ μύσῃ.

ΕΞΑΜΕΤΡΟΙ.

Ἥπαί μ' νόσος ‡. Ἡδ' αὖθ' ἕρπει. Πᾶ, ποθι γ' ἔς', ὦ
Πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες, ὃς δὴ
Πολλὰ μὲν ἐν τρόπῳ, κατά τε δρία πάντα καθαίρων,
Ὠλεκόμαν ὁ τάλας; καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι
Οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἀποτρέψει §.
Ἔ, ἔ, οὐδ' ἀπαράξαι κρᾶτα
Βίᾳ θέλει μολών

* Ald. ἰδοίμην.
† Turn. in marg. ὕσατον.
‡ Abl. Ἥπταί μ' τοῦτό τοι.
§ Turn. in marg. ἀνιχνίψει.

1032. Θαῦμ' ἂν πόρρωθεν] ἥδιςα ἂν, καὶ μακρόθεν μεταπέμψοιτό τις τὸν Σκιαπύσαντα, Σκιασάμην μεταπεμψάμενον ὑμῶν.

1033. Δύσμορον] γράφεται ὕσατον.

Ib. Εὐνάσαι] ἢ τὸ καθευδῆσαι, ἢ τὸ ἀποθανεῖν.

1034. Πᾶ μ' ψαύεις;] ὡς ἁπτομένου αὐτῇ τοῦ παιδὸς, ἐπὶ τὰ γόνατα, ὡς ἔχει τὸ σῶμα τῆς μητρός· ἢ τοῦ ψαύεις, ἀντὶ τοῦ, παῦε ψηλαφῶν καὶ μεταφέρων τῇδε κἀκεῖσε τὸ σῶμά μου.

Ib. Ποῖ κλίνεις] ποῖ προσάγεις τὰς χεῖρας;

1036. Ἀντέτροφας] ἔχτι ἂν ἐτυχώσῃ τὸ κακὸ τέκνον, ποίλιν κινήσας ἀνετρέψας. Οἷον, ὅτι ἂν τῶν δένδρων παύσῃ, τοῦτο διήγειρας.

Ib. Τοῦτό τοι] τὸ κινηθῆναι ὑπὸ σοῦ, καθήψατό μου.

1027. Ἡδ' αὖθ' ἕρπει] ἡ νόσος (φησὶ) πάλιν ἐπίεισται.

Ib. 1028. Πόθεν ἔς', ὦ πάντων Ἑλλάνων] πρὸς τοὺς φέροντας αὐτὴν φησὶν, ἀλλα καθόλου πρὸς πάντας τοὺς εἰργιεσθέντας πρώην ὑπ' αὐτοῦ. πῇ (φησὶν) ἄρα ἐρεῖ, ὦ πάντων Ἑλλήνων ἀδικώτατοι (τουτέστιν, ἀχαριστότατοι) ὃς ἐμὲ πῇ μὲν κατὰ θάλατταν, πῇ δὲ κατὰ γῆν ἐσώσατε· καὶ πάντα τόπον καθαίρων ὑπὲρ σωτηρίας ὑμῶν, ἐγγὺς θανάτου ἐγενόμην· τὴν δὲ ἐκ τόπου σχίσιν εἶπεν ἀντὶ τῆς ἐν τόπῳ, ὡς τὸ, ἐχθὲς δὲ οἱ ἦλθεν Ἀθηνῆ, ἀντὶ τοῦ ἐχθές.

1030. Ὠλεκόμαν ὁ τάλας] ἐκαμνον, καὶ ἐγγὺς θανάτου ἐγενόμην.

Ib. Καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι] δεικτικῶς, ἀντὶ τοῦ ἐμοί. Καὶ νῦν (φησὶν) οὐδεὶς ἐκείνων ἐπ' ἐμοὶ νοσοῦντι.

1031. Οὐ πῦρ, οὐκ ἔγχος] λείπει προσαγαγών, οἷον, ὁ πῦρ, ὁ ξίφος σωτήριον προσαγαγών, ἀπαλλάξει με τῶν ξένων.

1032. Οὐδ' ἀπαράξαι] οὐδεὶς ἐκείνων (φησὶ) βούλεται ἐλθεῖν τὴν κεφαλήν μ' ἀποτεμών, καὶ ἐλευθερώσαι τὸ μαχθηρὸ βίᾳ.

1035. Ὦ

Τᾶ συγερᾶ· φεῦ, φεῦ·

ΠΡΕ. Ὦ παῖ τᾶδ' ἀνδρὸς, τέργον τόδε μεῖζον ἀνήκει 1035
Ἢ κατ' ἐμὰν ῥώμαν· σὺ δὲ σύλλαβε· σοί τε γὰρ ὄμμα
Ἔμπλεον ἢ δι' ἐμᾶ σώζειν.

ΤΛΑ. Ψαύω μὲν ἔγωγε.
Λαθίπονον δ' ὀδύναν ἔτ' ἔνδοθεν ἄτε θύραζ' ἔν-
εσί μοι ἐξανύσαι βιότᾳ· τοιαῦτα νέμει Ζεύς. 1040

ΑΝΑΠΑΙΣΤΟΙ.

ΗΡΑ. Ὦ παῖ, παῖ, ὠότ' εἶ;
Τᾷδέ με, τᾷδέ με
Πρόσλαβε κᾳφίσας. Ἄ, ἔ·
Ἰὼ, ἰὼ, δαῖμον.
Θρώσκει, δ' αὖ θρώσκει 1045
Δειλαία διολεῖσ' ἡμᾶς
Ἀποτίβατος ἀγρία
Νόσος· ἰὼ Παλλὰς,
Τόδε μ' αὖ λωβᾶται· ἰὼ παῖ,
Τὸν φύσαντ' οἰκτείρας, 1050
Ἀνεπίφθονον εἴρυσον ἔγχος,

1035. Ὦ παῖ τᾶδ' ἀνδρὸς] ἧς τῶν γεγόνατε, ἀκολουθῶν ἐξ Εὐβοίας τῷ Ἡρακλεῖ, πρὸς τὸν Ὕλλον τοῦτό φησιν.

Ib. Τέργον τόδε] τὸ βοηθῆσαι ἢ βαρύξαι τὸν Ἡρακλέα μείζον ἰσχὺν ἢ κατ' ἐμέ. ἀνήκει δὲ, ἀντὶ τοῦ, ὁρμᾷ. ἄρμηται μείζων (φησὶν) ἢ κατὰ τὴν ἐμὴν δύναμιν. Τέργον δὲ τὴν νόσον φησίν.

1036. Σὺ δὲ σύλλαβε] σὺ γὰρ νέος εἶ, καὶ ὀξύτερόν σοι τὸ ὄμμα πρὸς τὸ σῴζειν τὸν πατέρα μᾶλλον, ἢ δι' ἐμοῦ.

1038. Ψαύω μὲν ἔγωγε] εἰ τὸν κακὸν ἀσχεῖν αὐτὸν ἰᾶται, ἰᾶσθαι φάπτομαι αὐτῷ. Ἴσθι δὲ (φησὶν) ὅτι τὴν λαθίπονον ἴασιν τῶν ἀλγεινῶν οὐ βίᾳ ὅτι διὰ χρόματος, ὅτε ἔξωθεν προσάπτειν δύναμαι. οὐκ οἶδα γὰρ τοιαῦτα γὰρ ἀλγήματα δίδωσιν ὁ Ζεύς.

1039. Οὔτ' ἔνδοθεν, ὅτι θύραζε] ὅτι ἀπ' αὐτοῦ, ὅτε ἀπό τινος τῶν ξένων δύναμαι ἰάσασθαι.

1041. Ὦ παῖ, παῖ] αἰσθάνεται τῆς τοῦ παιδὸς φωνῆς ὁ Ἡρακλῆς.

1045. Θρώσκει] ἀναζωπυρεῖται.

1046. Δειλαία] δειλοποιός.

1047. Ἀποτίβατος] ἀπροσπέλαστος.

1048. Ἰὼ Παλλὰς] ἐπικαλεῖται τὴν Ἀθηνᾶν εἰς βοήθειαν.

1049. Ἰὼ παῖ] κἂν σὺ, ὦ παῖ, τὸν φύσαντα οἰκτείρας, ἐπίσπασαί μοι ξίφος ἀνιμίαντον, ἐφ' ᾧ οὐδείς σε μίμψεται ὡς πατροκτονεῖν.

1053. Ὦ

Παῖσον ἐμᾶς ὑπὸ κληῖδος.
Ἀκῦ δ' ἄχος, ᾧ μ' ἐχόλωσε *
Σὰ μάτηρ ἄθεος,
Ἂν ὧδ' ἐπίδοιμι πεσοῦσαν,
Αὕτως ὧδ' αὕτως, ὥς μ' ὤλεσεν.
Ὦ Διὸς αὐθαίμων,
Ὦ γλυκὺς Ἀΐδας,
Εὔνασον, εὔνασον † ὠκυπέτᾳ ‡ μόρῳ
Τὸν μέλεον φθίσας.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Κλύσσ' ἔφριξα τάσδε συμφορὰς, φίλαι,
Ἄνακτος, οἵαις οἷος ὢν ἐλαύνεται.
ΗΡΑ. Ὦ πολλὰ δὴ καὶ θερμὰ, καὶ λόγῳ κακὰ,
Καὶ χερσὶ § καὶ νώτοισι μοχθήσας ἐγώ.
Κἄπτ τοιοῦτον ἦτ' ἄκοιτις ἡ Διὸς
Πρόθηκεν, ἅθ' ὁ ξυγνὸς Εὐρυσθεὺς ἐμοὶ,
Οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
Καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἑρμιννύων
Ὑφαντὸν ἀμφίβληστρον, ᾧ διόλλυμαι.
Πλευραῖσι γὰρ προσμαχθὲν, ἐκ μὲν ἐσχάτας
Βέβρωκε σάρκας, πνεύμονός ‖ τ' ἀρτηρίας
Ῥοφεῖ ξυνοικῶν· ἐκ δὲ χλωρὸν αἷμά μυ

* Turn. in marg. ἐχόλησε. † Ald. Εὔνασον, μ' εὔνασον.
‡ Ald. ὠκυπίτᾳ. rectè. § Ald. χειρὶ. ‖ Turn. πνεύμονός. rectè.

1053. Ὧ μ' ἐχόλωσε] γράφεται ἐχόλησεν οἷον, χολῇ ἔχεσι τὸν χιτῶνα.
1055. Ἂν ὧδ' ἐπίδοιμι] ἢν ἴδοιμι τῷ αὐτῷ νοήματι περιπεσοῦσαν.
1057. Ὦ Διὸς αὐθαίμων] ὦ τοῦ Διὸς ἀδελφὲ Ἀΐδωνεῦ.
1066. Οὐθ' ὁ ξυγνὸς] ξυγνοποιὸς διὰ τὰς ἄλλων προστάξεις.
1069. Ἀμφίβληστρον] τὸν χιτῶνα ὡς ἀμφίβληστρον.
1070. Προσμαχθὲν] προσκολληθέν.
1071. Ἀρτηρίας] τὰς φλέβας.
1072. Ῥοφεῖ] ἐκπίνει.
Ib. Ἐκ δὲ χλωρὸν] νῦν, ἢ νεκρόν.

1074. Ἀμφάσ-

Πέπωκεν * ἤδη, καὶ διέφθαρμαι δέμας
Τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πόδῃ.
Κἀ ταῦτα λόγχῃ πεδιὰς, ὅθ' ὁ γηγενὴς
Στρατὸς γιγάντων, ὅτε θήρειος βία,
Οὔθ' Ἕλλας, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
Γαῖαν καθαίρων ἵκόμην, ἔδρασέ πω.
Γυνὴ δὲ, θῆλυς ὅσα κἀκ ἀνδρὸς φύσιν,
Μόνη με δὴ καθεῖλε Φασγάνῳ δίχα.
Ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγὼς,
Καὶ μὴ τὸ μητρὸς ὄνομα προσθεύσῃς πλέον.
Δός μοι χεροῖν σαῖν αὐτὸς ἐξ οἴκων λαβὼν
Εἰς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα
Εἰ τἀμὸν ἀλγεῖς μᾶλλον ἢ κείνης, ὁρῶν
Λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
Ἴθ', ὦ τέκνον, τόλμησον· οἰκτειρόν τέ με
Πολλοῖσιν οἰκτρὸν, ὅσις, ὥσπερ παρθένος,
Βέβρυχα κλαίων· καὶ τόδ' ἀδ' ἂν εἷς ποτὲ
Γόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα·
Ἀλλ' ἀσθενακτος αἰὲν ἐσπόμην κακοῖς·

* Aldus, Πίπτωκεν.

1074. Ἀφράστῳ τῇδε] ἀπροσδοκήτῳ, ἀνηκούστῳ, ἢ ἀλέκτῳ. ἢ περὶ ἧς οὐκ ἔχει τὶς φράσασθαι, τίς ἐστὶν τὴν φύσιν.

1075. Λόγχῃ πεδιὰς] ἡ ἐν πεζομαχίᾳ· δῆλον γὰρ εἰπεῖν, ὅτι ὅτε παρατάττόμενος οἷον περὶ Λαομέδοντα, ὅτε πρὸς Αὐγείαν, ἢ Κενταύρους.

Ib. Ἄλλως· Λόγχῃ πεδιὰς] ἡ ἐν τῷ πεδίῳ βαλλομένη, ἢ ἐπὶ ἐν τῷ Θεσσαλικῷ πεδίῳ ἐμαχέσατο πρὸς Κενταύρους.

1076. Θήρειος βία] λέοντος, Τέρας, Κερβέρου καὶ λοιπῶν.

1077. Οὔτ' ἄγλωσσος] κακόγλωσσος, βάρβαρος, ἢ ἀλλόγλωσσος.

1079. Οὐκ ἀνδρὸς φύσιν] λείπει ἔχουσα.

1081. Ὦ παῖ] ὦ Ὕλλε, δεῖξον τοῖς ἔργοις, ὅτι ἀληθῶς ἐς Ἡρακλέους ἔχεις τὸ γένος, καὶ μὴ μοι προκρίνῃς τὴν Δηϊάνειραν, ἀλλὰ ταῖς σαῖς χερσὶ τῆς οἰκίας αὐτὴν ἔξαγε καὶ παράδος μοι· ταῦτα δὲ, ἀγνοῶν ὅτι τέθνηκε, λέγει.

1084. Ὡς εἰδῶ σάφα] ἵνα μάθω πότερον ὑπὲρ ἐμοῦ νοσοῦντος λυπῇ, ὅταν ἴδῃς τὸ σῶμα τῆς Δηϊανείρας παρ' ἐμοῦ βλαπτόμενον καὶ ἀναιτίως καταπονούμενον.

1088. Ὅσις, ὥσπερ παρθένος] Ὁμηρος—ἠΰτε κούρη Νηπίη, ἥθ' ἅμα μητρὶ θέλῃ νοήμονι ἐπιλέσθαι ἀνώγει.

1091. Ἀλλ' ἀσθενακτος αἰὲν ἐσπόμην κακοῖς] ἤγουν, ὑπήφερον πᾶν κακόν.

1092. Νῦν

Νῦν δ' ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
Καὶ νῦν προσελθὼν σῆθι πλησίον πατρός·
Σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
Πέπονθα· δείξω γὰρ τάδ' ἐκ καλυμμάτων.
Ἰδού, θεασθε, πάντες, ἄθλιον δέμας·
Ὁρᾶτε τὸν δύστηνον ὡς οἰκτρῶς ἔχω.
Αἴ, αἴ, ὦ τάλας· ἒ, ἒ.
Ἔβαλψεν ἄτης σπασμὸς ἀρτίως· ὁ δ' αὖ
Διῆξε πλευρῶν· ὠδ' ἀγύμναστόν μ' ἑᾷν
Ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
Ὦ ναῦ Ἀΐδη, δέξαί μ'· ὦ Διὸς ἀκτίς, παῖσον.
Ἔνσεισον, ὦ ναῦ, ἐγκαλάσκηψον βέλος,
Πάτερ κεραυνῷ· δαίνυται γὰρ αὖ πάλιν·
Ἠνθηκεν, ἐξώρμηκεν. Ὦ χέρες, χέρες·
Ὦ νῶτα, καὶ σέρν'· ὦ φίλοι βραχίονες,
Ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ', οἵ ποτε
Νεμέας ἐνοικον βυκόλων ἀλάστορα
Λέοντ', ἄπλατον θρέμμα κἀπροσήγορον,
Βίᾳ καὶ ἐργάσασθε, Λερναίαν θ' Ὕδραν,
Διφυῆ τ' ἄμικτον ἱπποβάμονα στρατὸν

1092. Νῦν δ' ἐκ τοιούτου] ἐξ ἰσχυρᾶς γέγονα ἀσθενής. ἢ ἀπὸ τοιούτου κακοῦ.

1095. Ἰδού, θεᾶσθε] ὁ λόγος ἐστὶ πρὸς τοὺς περιεστῶτας.

1098. Αἴ, αἴ] ἀδυνάμενος ἀναβοᾶν.

1099. Ἔβαλψεν ἄτης] πάλιν ἐξεπύρωσέ με ὁ τῆς νόσου σπασμός.

1100. Οὐδ' ἀγύμναστόν μ'] ἐκ ὀδύνης ἀπείρατον, ἐκ ἄγνωτον ὀδυνῶν· ἀντὶ τοῦ, ἐκ ἐνδιδωσί μοι.

1101. Ἐγκαλάσκηψον βέλος] τάξευσον κατ' ἐμοῦ τὸν κεραυνόν.

1104. Δαίνυται] ἰσθίει με, ἡ νόσος ὀηλονότι. τὸ δὲ, ὦ πάτερ κεραυνῷ, ἀντὶ τοῦ, ὦ κεραυνέ, μάθε με κάλλιον.

1105. Ὦ χέρες, χέρες] ἀπορῶν οἷς ἔν ἔκαιον τῶν αὐτοῦ μελῶν, δυσφορεῖ, ὅτι οἷόν γέγονεν αὐτοῦ τὸ σῶμα· ἀριθμεῖ δὲ τοὺς ἄθλους, οὓς Εὐρυσθεῖ τετέλεκεν.

1107. Ὑμεῖς ἐκεῖνοι δὴ] ἆρα ὑμεῖς ἐστὶ οἱ τὸν Νεμαῖον χειρωσάμενοι λέοντα, τὸν τὴν Νεμέαν λυμαινόμενον.

1109. Λέοντ', ἄπλατον θρέμμα] ἀπρόσιτον. ἀπροσήγορον καὶ ἀναγέρυλλον, ἀξιήγητον· ἢ φαῦλον, καὶ μεμισημένον, ὃ ἐκ ἄν τις προσοφθείη, ξαίτο.

1111. Διφυῆ τ' ἄμικτον] τὸν τῶν Κενταύρων, ἱπποσπέλαστον, ᾧ οὐκ ἦν συμμίξαι καὶ συμβαλεῖν.

1112. Ὑπέρτονον

Θηρῶν, ὑβριστὴν, ἄνομον, ὑπέρογκον βίαν·
Ἐρυμάνθιόν τε θῆρα· τόνθ' * ὑπὸ χθονὸς
Ἅδε τρίκρανον σκύλακ', ἀπρόσμαχον τέρας·
Δεινῆς ἐχίδνης θρέμμα· τόν τε † χρυσέων
Δράκοντα μήλων φύλακ' ἐπ' ἐσχάτοις τόποις.
Ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
Κἀδεὶς τρόπαι' ἔστησε τῶν ἐμῶν χερῶν.
Νῦν δ' ὧδ' ἄναρθρος καὶ κατερράκωμένος
Τυφλῆς ὑπ' ἀτης ἐκπεπόρθημαι τάλας,
Ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
Ὁ τῇ κατ' ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
Ἀλλ' εὖγέ τοι τόδ' ἴσε, κἂν τὸ μηδὲν ὦ,
Κἂν μηδὲν ἕρπω ‡, τήν γε δράσασαν τάδε
Χειρώσομαι· κἀκ' τῶνδε πρόσμολοι μόνον,
Ἵν' ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν ὅτι
Καὶ ζῶν κακὸς γε καὶ θανὼν ἐτισάμην.

ΧΟΡ. Ὦ τλῆμον Ἑλλὰς, πένθος οἷον εἰσορῶ
Ἕξουσαν, ἀνδρὸς τῇδέ γ' εἰ σφαλήσεται.

ΥΛΛ. Ἐπεὶ παρέσχες ἀντιφωνῆσαι, πάτερ,
Σιγὴν παρασχὼν, κλῦθί μ' ἐσθλῶν ὅμως.

* Ald. τόνδ'. † Ald. τόν τι. ‡ Turn. in marg. ἕρπων.

1112. Ὑπέρογκον βίαν] ὑπερέγκοπτα κατὰ τὴν ὀξύτητα. ὑβριστὴν δὲ, μάχιμον, ὠμὸν, κ σάρκινα, διὰ τὸν Νίσσον, καὶ τὸν Πειριθῶ γάμον.

1114. Ἅδε τρίκρανον σκύλακ'] τὸν Κέρβερον, ὃν Ἡσίοδος πεντηκοντακέφαλόν φησιν εἶναι. ὅτος δὲ τρίκρανον.

1115. Τόν τε χρυσέων δράκοντα] φασὶ τὸν Ἄτλαντα τῷ Ἡρακλεῖ κεκομικέναι τὰ μῆλ ὅτι καὶ αὐτὸς διαδεξάμενος τὸ οὐρανὸν ἐσ στασιν.

1116. Ἐπ' ἰσχάτοις τόποις] τοῖς τῆς Λι ζύης.

1117. Ἐγευσάμην] ἐπειρ[illegible]θην, πεῖραν ἔσχον.

1119. Ἄναρθρος] οὐκ ἔχων τὰ ἄρθρα τῶν μελῶν, διὰ τὸ σισῆ θαι αὐτὰ κα[illegible]κωμένος δὲ, τὰς σάρκας σαπὶς, καὶ ἔχων αὐτὰς κρεμαμένας ὡς ῥάκη.

1120. Τυφλῆς ὑπ' ἄτης] ὑπὸ νόσου ἐφαιτῆς καὶ ἀκαταλήπτου, ἣν οὐκ ἔχειν ἔδει.

1123, 1124. Κἂν τὸ μηδὲν ὦ, κἂν μηδὲν [illegible]ντι τῷ, ὦ παρόντες, κἂν μηδὲν ὦ πων, καὶ οὕτως ἔχων, καὶ οὕτω διακείμενος.

1129. Εἰ σφαλήσεται] εἰ ἀπολεῖ ξεῖται τύτω.

1131. Σιγὴν παρασχὼν] ἀντὶ τῦ σιωπήσας καὶ ἡσυχάσας.

Αἰτήσομαι γάρ σ' ὧν δίκαια τυγχάνειν.
Δός μοι σεαυτὸν, μὴ τοιῦτον * ὡς δάκνῃ
Θυμῷ δύσοργος· ἐ γὰρ ἂν γνοίης ἐν οἷς
Χαίρειν προθυμῇ, κἀν ὅτοις ἀλγεῖς μάτην.
ΗΡΑ. Εἰπὼν ὃ χρῄζεις, λῆξον· ὡς ἐγὼ νοσῶν
Οὐδὲν ξυνήμι, ὧν σὺ ποικίλλεις πάλαι.
ΤΛΑ. Τῆς μητρὸς ἥκω τῆς ἐμῆς Φράσων, ἐν οἷς
Νῦν ἐστὶν, οἷς θ' ἥμαρτεν ἐχ ἑκουσία.
ΗΡΑ. Ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
Τῆς πατροφόντου μητρὸς ὡς κλύειν ἐμέ;
ΤΛΑ. Ἔχει γὰρ ὅτως, ὥστε μὴ σιγᾶν πρέπειν.
ΗΡΑ. Οὐ δῆτα τοῖσγε πρόσθεν ἡμαρτημένοις;
ΤΛΑ. Ἀλλ' ὧδε μὲν δὴ τοῖσδ' † ἐφ' ἡμέραν ἐρεῖς.
ΗΡΑ. Λέγ'· εὐλαβοῦ δὲ μὴ φανῇς κακὸς γεγώς.
ΤΛΑ. Λέγω· τέθνηκεν ἀρτίως νεοσφαγής.
ΗΡΑ. Πρὸς τοῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.
ΤΛΑ. Αὐτὴ πρὸς αὑτῆς, ὀδενὸς πρὸς ἐκτόπου.
ΗΡΑ. Οἴμοι· πρὶν ὡς χρῆν σφ' ἐξ ἐμῆς θανεῖν χερός!
ΤΛΑ. Κἀν σε σταφείη ‡ θυμὸς, εἰ τὸ πᾶν μάθοις.
ΗΡΑ. Δεινοῦ λόγου κατῆρξας, εἰπὲ δ' ἢ νοεῖς.

* Ald. Turn. τοσοῦτον. † Ald. Turn. τοῖσγ'. ‡ Ald. σταφίν.

1134. Οὐ γὰρ ἂν γνοίης] τοῦτέστιν, ἐὰν μὴ σοῦ θυμῷ πάσῃ πρότερον, εἰ δυνήσῃ γνῶναι ὑπὸ τῆς ὀργῆς σκοτόμενος, ὅτι ἀδίκως αὐτὴν ἀνελεῖν βούλει, ὅπερ σοι ἐς μηδὲν χαρά. δεῖ δ' ὅτι μάτην ἀλγεῖς τὴν ψυχὴν, νεμεσῶν τὴν δοκοῦσαν ἀδικῆσασαν. ἢ μάτην ἀλγεῖς ἀνελεῖν αὐτὴν βουλόμενος.

1137. Ὧν σὺ ποικίλλεις] σοφίζεις, καὶ καλλωπίζεις τῷ λόγῳ.

1140. Ὦ παγκάκιστε] αὕτη τῶν μίσους ἐπίτασις, ὅτι καὶ μνήμην τῆς μητρὸς ἐποήσατο. καὶ ἓ τοῦτο μόνον, ἀλλὰ καὶ Ἡρακλῆς ἀκούστος.

1142. Ἔχει γὰρ ὅτως] τὸ γὰρ κατ' αὐτὴν (φησὶ) πρᾶγμα, ἐκτός ἐστιν ἀδικίας, ὡς μηδὲ εἶναι τοῦτο σιωπῇ παραδοῦναι.

1145. Λέγ'· εὐλαβοῦ δὲ] εὐλαβοῦ μὴ δι' ὧν ὑπὲρ τῆς μητρὸς λέγεις, περὶ ἐμὲ φαῦλος ἐξελεγχθῇς.

1147. Πρὸς τοῦ; τέρας τοι] πρὸς τίνος; ἄπιστον γὰρ διὰ δυσφημιῶν ὅσπερ ἐμαντεύσω, τοῦτέστιν, ἄπιστον λέγεις ὅτι ἑαυτὴν ἀπέκτεινε, εἰ μὴ ἄρα μανίκης μεθέχων τοῦτο ἔγνως ὡς μάντευμα ἄπιστον· τοῦτο δὲ εἶπεν, ἐπειδὴ πολλάκις τὰ μὴ προσδοκώμενα μαίνεσθαι.

1148. Οὐδενὸς πρὸς ἐκτόπου] ἀντὶ τοῦ, ὑπὸ ἄλλου ξένου.

1151. Ἅπαν

ΥΛΛ. Ἅπαν τὸ χρῆμ' ἥμαρτε, χρησὰ μνωμένη *.
ΗΡΑ. Χρήσ', ὦ κάκιστε, πατέρα σὸν κτείνασα δρᾷ;
ΥΛΛ. Στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν,
Ἀπήμπλαχ', ὡς προσεῖδε τὰς ἔνδον γάμους.
ΗΡΑ. Καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;
ΥΛΛ. Νέσσος πάλαι Κένταυρος ἐξέπεισέ νιν
Τοιῷδε φίλτρῳ τὸν σὸν ἐκμῆναι πόθον.
ΗΡΑ. Ἰὲ, ἰὲ δύστηνος, οἴχομαι τάλας.
Ὄλωλ', ὄλωλα, φέγγος ἀκέτ' ἐσί μοι.
Οἴμοι· φρονῶ δὴ ξυμφορᾶς ἵν' ἔσαμεν.
Ἰθ', ὦ τέκνον· πατὴρ γὰρ ἀκέτ' ἐσί σοι·
Κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων·
Κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
Μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
Φήμην πύθησθε θεσφάτων, ὅσ' οἶδ' ἐγώ.
ΥΛΛ. Ἀλλ' ὅτε μήτηρ ἐνθάδ', ἀλλ' ἐπακτίᾳ
Τίρυνθι συμβέβηκεν, ὥστ' ἔχειν ἔδραν.
Παίδων δὲ τοὺς μὲν ξυλλαβοῦσ' αὐτὴ τρέφει,
Τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις
Ἡμεῖς δ' ὅσοι πάρεσμεν, εἴ τι χρὴ, πάτερ,
Πράττειν, κλύοντες ἐξυπηρετήσομεν.
ΗΡΑ. Σὺ δ' ἔν † ἄκος τόδ' ἔργον· ἐξήκεις δ' ἵνα

* ALD. TURN. μνωμένη. † TURN. in marg. Σὺ δὲ νῦν.

1151. Δεινῶ λόγω] θαυμαστὸν ἔπιζον γὰρ οὐ παύσομαι τῆς ὀργῆς· ὅμως ἰδέ.
1152. Ἅπαν τὸ χρῆμ' ἥμαρτε] ζητοῦσα (φησὶ) χρηστόν τι διαπράξασθαι, τοῦ ὅλου πράγματος ἥμαρτεν.
1159. Ἰὼ, ἰὼ] ἀναμιμνησκόμενος τῆς ἀπὸ Δωδώνης μαντείας, ταῦτα λέγει, ἀριθμήσας τὸν χρόνον. ἀρτίως γὰρ (φησὶν) ἔγνων ὅτι εἰς ἔσχατον ἦλθον συμφοράς.
1163. Τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων] αὐτοὶ τοῦ, πάντας τοὺς σοὺς ἀδελφούς.
1165. Μάτην ἄκοιτιν] τὴν Ἀλκμήνην. τοῦτο δέ φησιν ὡς ἀνάξια πάσχων.
Ib. Ὡς τελευταίαν ἐμοῦ] ἵνα τὴν περὶ τῆς τελευτῆς μου φήμην μάθητε.
1167. Ἀλλ' ἐπακτίᾳ] παραθαλατλίᾳ.
1168. Ἔδραν] διατριβήν.
1173. Ἐξήκεις] εἰς ἡλικίαν ἥκεις.
Ib. 1174. Ἵνα φανῆς ἐποῖος] ἵνα φανῆς ἄξια πράτων, παῖς ἐμὸς ὤν.

Φανῇς ὁποῖος ὢν ἀνὴρ, ἐμὰς καλῇ.
Ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι,
Πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν ὑπὸ *,
Ἀλλ' ὅστις ἄδε φθίμενος οἰκήτωρ πέλει·
Ὅδ' ἦν ὁ θὴρ Κένταυρος, ὡς τὸ θεῖον ἦν
Πρόφαντον, ὕτω ζῶντά μ' ἔκτανεν θανών.
Φανῶ δ' ἐγὼ τούτοισι συμβαίνουτ' ἴσα
Μαντεῖα κεινὰ τοῖς πάλαι ξυνήγορα,
Ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ
Σελλῶν ἐσελθὼν † ἄλσος εἰσεγραψάμην
Πρὸς τῆς πατρῴας καὶ πολυγλώσσε δρυός·
Ἦ μοι χρόνῳ τῷ ζῶντι καὶ παρόντι νῦν,
Ἔφασκε μόχθων τῶν ἐφεστώτων ἐμοὶ
Λύσιν τελεῖσθαι· καὐδόκων πράξειν καλῶς.

* Turn. Θανεῖν ὕπο. † Turn. in marg. Ἑλλῶν προσελθὼν.

1175. Ἐμοὶ γὰρ ἦν πρόφαντον] προμεμαντευμένον. προμεμηνυμένον ὑπὸ τοῦ Διός. ὕτα δὲ διὰ τοῦ σ, ἐν τῇ τραγικῇ λέξει.

1176. Πρὸς τῶν πνεόντων] τῶν ζώντων· πνεῦμα γὰρ ἡ ψυχή. Ὅμηρος·

——" ἀπὸ δὲ ψυχὴν ἐκάπυσε."

Καὶ,

" Ὅσσά τε γαῖαν ἐπικνίδει τε καὶ ἕρπει."

1180. Φανῶ δ' ἐγὼ] ἐρῶ σοι ἄλλην μαντείαν νεωτέραν, συμφωνοῦσαν τῇ πρατέρᾳ.

1183. Σελλῶν ἐσελθὼν] ἀκούσας ἔγραψα· ἔθος γὰρ τοὺς χρησμὸν δεχομένους, παραχρῆμα γράφειν, ἵνα μὴ ἐπιλάθωνται· ἔνιοι δὲ χωρὶς τοῦ σ γράφουσιν, Ἑλλῶς ἀποδεχόμενοι· καὶ Ἑλλοπίαν τὴν Δωδώνην νομίζουσιν εἶναι· τὴν γὰρ χώραν ὕτως Ἡσίοδος ὀνομάζει ἐν Ἠοίαις λέγων ὕτως·

" Ἔστι τις Ἑλλοπίη πολυλήϊος ἠδ' εὐλείμων,
" Ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν
" Ἔν δ' ἀνδρες ναίουσιν πολύρρηνες πολυ-
" ῦται,
" Πολλοὶ ἀπειρέσιοι, φῦλα θνητῶν ἀνθρώ-
" πων.
" Ἔνθά τε Δωδώνη τις ἐπ' ἰτχατιῇ τε-
" πόλισται.
" Τήνδε Ζεὺς ἱλίλησι, ἢ ὃν χρηστήριον εἶπαι,
" Τίμιον ἀνθρώποις· ναίων δ' ἐν πυθμέν
" φηγοῦ.

" Ἔνθεν ἐπιχθόνιοι μαντήϊα φάνλα φέρον
" ται.
" Ὃς δὴ καῖθι μολὼν θεὸν ἄμβροτον ἱξε-
" μενίῃ,
" Ὥρα φέρων ἔλθῃσι σὺν οἰωνοῖς ἀγαθοῖ-
" σιν".

ἐνταῦθα δὲ λέγουσιν εἶναι Ἑλλεπιεῖς, καὶ τοὺς ἐν Εὐβοίᾳ οἰκίσαντας.

1184. Καὶ πολυγλώσσου δρυὸς] ἦτοι πολλὰ μαντευομένης, καὶ διὰ τοῦτο πολλὰ φθεγγομένης· ἢ τῆς διαφόρους διαλέκτους χρησμῳδούσης, καὶ κατὰ τὴν ἑκάστου τῶν μαντευομένων γλῶσσαν.

1185. Χρόνῳ τῷ ζῶντι] ἤτοι, τῷ ὑφιστῶτι καὶ παρόντι νῦν· ὁ γὰρ παρελθὼν, οἱονεὶ διέφθαρται

Τὸ δ' ἦν ἄρ' ὀδὲν ἄλλο πλὴν θανεῖν ἐμέ.
" Τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίνεται."
Ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον,
Δεῖ σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ ξύμμαχον,
Καὶ μὴ 'πιμεῖναι τὴμὸν ἐξῦναι σόμα,
Ἀλλ' αὐτὸν εἰκάθοντα συμπράσσειν, νόμον
Κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.
ΥΛΛ. Ἀλλ', ὦ πάτερ, ταρβῶ μὲν εἰς λόγ' ἐλθεῖν σ' ἐμοί,
Τοιάνδ' ἐπελθὼν· πείσομαι δ' ἃ σοὶ δοκεῖ.
ΗΡΑ. Ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι.
ΥΛΛ. Ὡς πρὸς τί πίστιν τήνδ' ἄγαν ἐπισπέφεις;
ΗΡΑ. Οὐ θᾶσσον οἴσεις, μηδ' ἀπισήσεις ἐμοί;
ΥΛΛ. Ἰδοὺ προτείνω, κοὐδὲν ἀντειρήσεται.
ΗΡΑ. Ὄμνυ Διὸς νῦν τἄ με Φύσαντος κάρα.
ΥΛΛ. Ἦ μὴν τί δράσειν; καὶ τόδ' * ἐξειρήσεται.
ΗΡΑ. Ἦ μὲν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.
ΥΛΛ. Ὄμνυμ' ἔγωγε Ζῆν' ἔχων ἐπώμοτον.
ΗΡΑ. Εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.
ΥΛΛ. Οὐ μὴ λάβω· δράσω γὰρ· εὔχομαι δ' ὅμως.
ΗΡΑ. Οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;

* Turn. in marg. τότ'.

φάσκει καὶ πίστεις· ὁ δὲ μίλλων, πάλιν ἄλλος.

1190. Ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ] φανερὰ, σαφῆ, πρόδηλα, ἐπεὶ οὖν (φησὶν) ὁ χρησμὸς ἀπίθη, δεῖ σε γενέσθαι σύμμαχον ἐμοί.

1192. Καὶ μὴ 'πιμεῖναι] καὶ μὴ ἀπιθήσας μοι παροξύνῃς με εἰς λοιδορίαν κατὰ σοῦ.

1193. Ἀλλ' αὐτὸν εἰκάθοντα] ἀπὸ κοινοῦ τὸ, δεῖ δέ σε, εἰκόντα τῇ ἐμῇ προσλάξει, πράττειν ὃ βέλομαι· τὸ γὰρ τοῖς γονεῦσι πείθεσθαι, νόμος ἐστὶ κάλλιστος καὶ εὐκλεὴς παρὰ πᾶσι.

1195. Ταρβῶ μὲν εἰς λόγ' ἐλθεῖν] περιφραστικῶς εἰς λόγης· εὐλαβοῦμαι μὲν εἰς τοιαύτην ὁμιλίαν ἐλθεῖν, μὴ οὐχ αἱρετά μοι προτείνῃς· πράξω δὲ ὅμως, κἂν δεινὰ ᾖ.

1199. Μηδ' ἀπισήσεις ἐμοί] γράφεται, προστήσεις ἐμοὶ, ἐναντιωθήσῃ, ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ βρώσει ψωμῶν προσιγαμένων.

1204. Ἐπώμοτον] ὄρκιον.

1205. Εἰ δ' ἐκτὸς ἔλθοις] εἰ παραβαίνῃς τοὺς ὅρκους.

1206 Οὐ μὴ λάβω] οὐ χρὴ λαβεῖν με, πημονὰς ἐπιλούτῳ· ποιήσω γὰρ ἃ προσλάξεις μοι· ἢ ποιήσω δὲ, εἰ βέλει σύ.

1207. Οἴτης Ζηνὸς ὕψιστον πάγον] ὑψηλὸν ὄρος τῆς Οἴτης· τῶν δὲ ὀρέων ὄρος τὸ Διὸς ὀνομάζεται· ἐπεὶ (φασὶν) ὑψίστῳ ὄντι τῷ Διῒ, ἐν ὕψει δεῖ τὰς θυσίας ποιεῖσθαι τὰς πρὸς αὐτόν.

1210. Αὐτόχειρα.

ΥΛΛ. Οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ παθεὶς ἄνω.
ΗΡΑ. Ἐνταῦθα νῦν χρὴ τἀμὸν ἐξάραντά σε
Σῶμ' αὐτόχειρα· καὶ ξὺν οἷς χρῄζεις φίλων,
Πολλὴν μὲν ὕλην τῆς βαθυῤῥίζου δρυὸς
Κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
Ἄγριον ἔλαιον, σῶμα τἀμὸν ἐμβαλεῖν·
Καὶ πευκίνης λαβόντα λαμπάδος σέλας,
Πρῆσαι· γόᾳ δὲ μηδὲν εἰσίτω δάκρυ,
Ἀλλ' ἀσθενακ[τος κἀδάκρυτος, εἴπερ εἶ
Τῶδ' ἀνδρὸς, ἔρξον· εἰ δὲ μή, μενῶ σ' ἐγὼ,
Καὶ νέρθεν ὢν, ἀραῖος εἰσαεὶ βαρύς.
ΥΛΛ. Οἴμοι πάτερ, τίν' εἶπας; οἷά μ' εἴργασαι;
ΗΡΑ. Ὁποῖα δρασ[ἐστίν· εἰ δὲ μή, πατρὸς
Ἄλλα γενοῦ τε, μηδ' ἐμὸς κληθῇς ἔτι.
ΥΛΛ. Οἴμοι μάλ' αὖθις· οἷά μ' ἐκκαλῇ πάτερ,
Φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν!
ΗΡΑ. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' ὧν ἔχω παιώνιον
Καὶ μόνον ἰατῆρα τῶν ἐμῶν κακῶν.
ΥΛΛ. Καὶ πῶς ὑπαίθων, σῶμ' ἂν ἰώμην τὸ σόν;
ΗΡΑ. Ἀλλ' εἰ φοβῇ πρὸς τοῦτο, τἄλλά γ' ἔργασαι.
ΥΛΛ. Φορᾶς γέ τοι φθόνησις οὐ γενήσεται.
ΗΡΑ. Ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;

1210. Αὐτόχειρα· καὶ] ταῖς σαυτοῦ χερσὶ καὶ μεθ' ὧν θέλεις φίλων· οὐ γὰρ μόνος δεύσῃ φέρειν αὐτόν.

1217. Εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ] εἰ δὲ μὴ ταῦτα ποιήσεις, διαβελίσω ταῖς κατάραις καὶ κακῶδ' ἄδειν βακχῶν σε.

1218. Ἄν, ἀραῖος] ἐπάρατος, τιμωρὸς δαίμων.

1219. Οἷά μ' εἴργασαι] οἷα θέλεις ἐργάσασθαι κατ' ἐμοῦ, παιζοφόλην γενέσθαι παραπεπλημμελημένος.

1220. Ὁποῖα δρασ[ἐστίν] τοιαῦτά σοι παρασκευάζομαι, οἷα ἐρᾶσαι ἐφέλκεις· ἐνεργεῖσαις γάρ με.

Ib. Εἰ δὲ μὴ, πατρὸς ἄλλα] ξένος, ἀλλ' οὐκ ἐμὸς ὢν υἱός.

1227. Ἀλλ' εἰ φοβῇ] ἀλλ' εἰ παραιτῇ τὸ ἀνελεῖν με, τἀ ἄλλα ποίησον· τυπίς, τὴν ὕλην συνάγαγε.

1229. Ἦ καὶ πυρᾶς πλήρωμα] ὄντως ὃν πληρώσεις τὴν πυρὰν τῆς ὕλης;

1230. Ὅσην

ΥΛΛ. Ὅσον γ' ἂν αὐτὸς μήποτε ψαύω * χεροῖν· 1230
Τὰ δ' ἄλλα πράξω, κἀ καμῇ τἀμὸν μέρος.
ΗΡΑ. Ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δέ μοι
Χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδύς.
ΥΛΛ. Εἰ καὶ μακρὰ κάρτ' ἐστὶν, ἐργασθήσεται.
ΗΡΑ. Τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον; 1235
ΥΛΛ. Ἰόλην ἔλεξας, ὡς ἐπεικάζειν ἐμέ.
ΗΡΑ. Ἔγνως· τοσοῦτον δή σ' ἐπισκήπτω, τέκνον,
Ταύτην, ἐμοῦ θανόντος, (εἴπερ εὐσεβεῖν
Βέλει) πατρῴων ὁρκίων μεμνημένος,
Πρόσθε δάμαρτα, μηδ' ἀπιστήσῃς πατρί· 1240
Μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
Κλιθεῖσαν αὐτὴν, ἀντὶ σοῦ λάβοι ποτέ·
Ἀλλ' αὐτὸς, ὦ παῖ, τοῦτο κήδευσον λέχος.
Πείθῃ· "τὸ γὰρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ,
"Σμικροῖς ἀπιστεῖν, τὴν πάρος συγχεῖ χάριν." 1246
ΥΛΛ. Οἴμοι· τὸ μὲν νοσοῦντι θυμοῦσθαι, κακόν.
Τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα τίς ποτ' ἂν φέροι;
ΗΡΑ. Ὡς ἐργασείων ὠδὲν, ὧν λέγω, θροεῖς.
ΥΛΛ. Τίς γάρ ποθ', ἥ μοι μητρὶ μὲν θανεῖν μόνῃ
Μεταίτιος, σοί τ' αὖθις ὡς ἔχεις ἔχειν, 1250

* Ald. Turn. in marg. ψαύων.

1230. Ὅσον γ' ἂν αὐτὸς] πάντα (φησὶ) πείσω, πλὴν τοῦ σώματος οὗ ἅψεσθαι.

1232. Ἀλλ' ἀρκέσει καὶ ταῦτα] καὶ ταῦτα μὲν ἀρκέσει· βραχὺ δὲ τούτοις πρόσθες, οἷον, τοὺς ἄλλοις εὐεργεσίαις καὶ ἑτέραν βραχεῖαν χάριν πρόσθες, γήμας τὴν Ἰόλην.

1237. Ἐπισκήπτω] ἐντέλλομαί σοι, παραγγέλλω.

1240. Πρόσθε δάμαρτα] γυναῖκα ποίησον.

1241. Μηδ' ἄλλος ἀνδρῶν] ἄτοπον γὰρ (φησὶν) ἕπαξ συναναπεσόντα σοι, ἑτέρῳ ἀνδρὶ ζῶν παρακαθεύδειν.

1243. Κλιθεῖσαν λέχος] εἰκείσασαι.

1246. Οἴμοι· τὸ μὲν νοσοῦντι] τὸ θυμοῦσθαι, εἰ μὴ πειθοίην αὐτῷ, καὶ τὸ πείθεσθαι ὧδε φρονοῦντι, δυσχερές.

1248. Ὡς ἐργασείων ὠδὲν] οὕτω λαλεῖς, ὡς μηδὲν πράξων ὧν λέγω.

1249. Τίς γάρ ποθ', ἥ μοι] τὸ τίς δὲ ἑαυτῇ ἔθηκεν· ἀντὶ τοῦ, πῶς ἂν ἐγὼ ἐλοίμην γῆμαι αὐτὴν, τὴν τῶν κακῶν αἰτίαν οὖσαν σοί τε καὶ τῇ ἐμῇ μητρί;

1251. Τίς

Τίς ταῦτ' ἂν ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ,
Ἔλοιτο; κρεῖσσον κἀμέγ', ὦ πάτερ, θανεῖν,
Ἢ τοῖσιν ἐχθίστοισι συννοίσειν ὁμῶ.

ΗΡΑ. Ἀνὴρ ὅδ', ὡς ἔοικεν, ὃ νέμει γ' ἐμοὶ *
Φθίνοντι μοῖραν· ἀλλά τοι θεῶν ἀρὰ
Μενεῖ σ' ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις.

ΥΛΛ. Οἴμοι· τάχ', ὡς ἔοικας, ὡς νοσεῖς φράσεις.

ΗΡΑ. Σὺ γάρ μ' ἀπευνασθέντος ἐκκινεῖς κακῶ.

ΥΛΛ. Δείλαιος, ὡς ἐς πολλά γ' ἐπαπορεῖν ἔχω!

ΗΡΑ. Οὐ γὰρ δικαιοῖς τῷ φυτεύσαντί κλύειν.

ΥΛΛ. Ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν, πάτερ;

ΗΡΑ. Οὐ δυσσέβεια τἄμὸν εἰ τέρψεις κέαρ.

ΥΛΛ. Πράσσειν ἄνωγας ἦν με πανδίκως τάδε;

ΗΡΑ. Ἔγωγε· τῶνδε μάρτυρας καλῶ θεούς.

ΥΛΛ. Τοιγὰρ ποιήσω, κοὐκ ἀπώσομαι, τὸ σὸν
Θεοῖσι δεικνὺς ἔργον· ὃ γὰρ ἄν ποτε
Κακὸς φανείην σοί γε πιστεύσας, πάτερ.

ΗΡΑ. Καλῶς τελευτᾷς, κἀπὶ τοῖσδε τὴν χάριν
Ταχεῖαν, ὦ παῖ, πρόσθες· ὡς, πρὶν ἐμπεσεῖν
Σπαραγμὸν, ἤ τιν' οἶστρον, ἐς πυράν με θῇς.

* Aldus, ὃ νέμειν ἐμοί.

1251. Τίς ταῦτ', ἂν ὅστις] τίς ἂν ταῦτα πράττειν ἕλοιτο ἐκτὸς ἂν μανίας καὶ θηλασίας; ἀντὶ τοῦ, ὅτι ἂν ἐλοίμην εἰ μὴ μαινοίμην.

1254. Οὐ νέμει γ' ἐμοὶ φθίνοντι μοῖραν] ἀντὶ τοῦ, μέρος εὐτονίας οὐ νέμει μοι φθειρομένῳ.

1257. Οἴμοι· τάχ', ὡς ἔοικας, ὡς νοσεῖς] ὡς φανερὸς εἶ νοσῶν καλεπῶς, οὕτω καὶ καλεπὰς διαλεγόμενος.

1258. Σὺ γάρ μ' ἀπευνασθέντος] σύ με (φησὶν) ἀναλαράτλιες ἀπὸ τοῦ καθαπραΰνοντος κακῶ, μὴ πειθόμενος.

1259. Ὡς εἰς πολλά γ' ἐπαπορεῖν ἔχω] ἀπορον γὰρ καὶ ἐναντιοῦσθαι καὶ πείθεσθαι· ἀπὸ ἀπορῶ.

1260. Δικαιοῖς] δίκαιον νομίζεις.

1261. Ἀλλ' ἐκδιδαχθῶ δῆτα] τοῦτο κατ' εἰρωνείαν. δίκαιόν σοι τοῦτο φαίνεται, τὸ συναφθῆναί με τῇ Ἴόλῃ;

1265. Τοιγὰρ ποιήσω] ὅτι οὐκ ἄδικον τοῦτο ἡγοῦμαι, ἀλλ' εὐσεβές, τὸ πειθαρχεῖν τῷ πατρὶ ἀναμαιτυρόμενος δὴ τοὺς θεούς, γαμήσω τὴν Ἴόλην.

1268. Καλῶς τελευτᾷς] ἀντὶ τοῦ, καλῶς τὸν λόγον ἐπεραίωσας.

1269. Ὡς πρὶν ἐμπεσεῖν] ἵνα εἰς πυράν με πρὶν ταραχθῆναι ὑπὸ τῆς νόσου.

1271. Ἀγ'

Ἄγ', ἐγκονεῖτ', αἴρεσθε· παῦλά τοι κακῶν
Αὕτη, τελευτὴ τῇδε τἀνδρὸς ὑστάτη.
ΥΛΛ. Ἀλλ' οὐδὲν εἴργει σοὶ τελεῖσθαι τάδε,
Ἐπεὶ κελεύεις κἀξαναγκάζεις, πάτερ.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΗΡΑ. Ἄγε νῦν, πρὶν τήνδ' ἀνακινῆσαι
Νόσον, ὦ ψυχὴ σκληρὰ, χάλυβος
Λιθοκόλλητον τόμιον παρέχε-
σ', ἀνάπαυε βοήν, ὡς ἐπίχαρτον
Τελέως ἀεκούσιον ἔργον.
ΥΛΛ. Αἴρετ', ὀπαδοὶ, μεγάλην μὲν ἐμοὶ
Τούτων θέμενοι συγγνωμοσύνην,
Μεγάλην δὲ θεοῖς * ἀγνωμοσύνην
Εἰδότες ἔργων τῶν πρασσομένων·
Οἳ φύσαντες καὶ κληζόμενοι
Πατέρες, τοιαῦτ' ἐφορῶσι πάθη.
Τὰ μὲν ἓν μέλλοντ' οὐδεὶς ἐφορᾷ.

* ALDUS, θεῶν.

1271. Ἄγ', ἐγκονεῖτ'] ἐνεργεῖτε, καὶ ἀνακινεῖσατε.

Ib. Παῦλά τοι κακῶν] μόνη αὕτη ἀνάπαυσίς ἐστιν τῶν κακῶν (φησὶ) τὸ παραθεῖναί μοι τῷ πυρὶ, καὶ τοιαύτῃ τελευτῇ χρήσασθαι.

1275. Ἄγε νῦν πρὶν τήνδε] ἑαυτὸν παραβαλλόμενος, ὥστε μὴ βοᾶν κομιζόμενον εἰς τὴν πυρὰν· ἄγε δὴ (φησὶν) ὦ σκληρὰ ψυχὴ, ὡς ἀπὸ χαλυβικῆς σιδήρου πεποιημένη, πρὶν τήνδε ἀνακινῆσαι τόσον, ἐνεῖσα τὸ σεαυτῆς σῶμα ἐμφραγῆναι, (ὡσανεὶ σῶμα φρίκτος, λίθῳ κεκολλημένον, πρὸς τὸ μηκέτι ὕδωρ ἀνιμᾶσθαι.) ἀνάπαυε τὴν βοήν. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ, ὡς ἀπὸ χάλυβος γεγομένη. ἢ λιθοκόλλητον τόμιον ἀντὶ τοῦ λίθινον καὶ σκληρὸν χαλκὴν σαυτῇ ἐπιβαλοῦσα.

1278. Ἀνάπαυε βοήν] ἀνάπαυσον τὴν βοὴν ὡς εἰς ἐπίχαρτον ἅμα καὶ ἀκούσιον πρᾶγμα χωροῦσα, τὴν πυράν. πῶς δὲ ἐπίχαρτον ἅμα καὶ ἀκούσιον; ἐπίχαρτον μὲν, ὅτι ἀπαλλάττεται τῆς νόσου, ἀκούσιον δὲ ὅτι λυπεῖ φύοντος ἡ ἀποξέρησις τοῦ βίου. παρὰ τὸ, Ἐκὼν ἀέκοντί γε θυμῷ.

1280. Αἴρετ', ὀπαδοὶ] ὀπαδοὺς οὐκ οἰκείους ἀλλὰ τοὺς ἀκολουθοῦντας αὐτῷ ἐξ Εὐβοίας φησί.

1281. Συγγνωμοσύνην] ἀντὶ τοῦ συγγνώμην, ὅτι κατὰ γνώμην πατρῴαν τοῦτο ποιῶ.

1284. Οἳ φύσαντες] εἰς τὸν Δία ἡ ἀπόστασις τῷ λόγῳ· ἐκείνης (φησὶν) ἀγνώμονας ἡγεῖσθε, οἵτινες γεννήσαντες αὐτὸν, τηλικοῦτοι τοιαῦτα πάσχοντα.

1286. Ἐφορᾷ] περιττὴ ἡ πρόθεσις.

Τὰ δὲ νῦν ἑστῶτ', οἰκτρὰ μὲν ἡμῖν,
Αἰσχρὰ δ' ἐκείνοις·
Χαλεπώταλα δ' ἔν ἀνδρῶν πάντων,
Τῷ τήνδ' ἄτην ὑπέχουσι.
ΧΟΡ. Λείπε μηδὲ σὺ, παρθέν', ἀπ' * οἴκων,
Μεγάλας μὲν ἰδοῦσα νέας θανάτας,
Πολλὰ δὲ πήματα καινοπαθῆ·
Κεδὲν τούτων ὅ,τι μὴ Ζεύς.

TURN. in marg. ια'.

1291. Λείπε μηδὲ σύ] αἱ τῇ Χορῷ πρὸς παυτὸς τοῦτο φασί. ἡ δ' Ὕλλος· ἔοικε γὰρ ὁ ποιητὴς τοῦτο φασὶ. ἡ δ' ἀπεικονισὰς ταῖς ἀπὸ τῆ Χορῆ λεγει μὴ ἀπολιμπανεσθαι τῶν οἴκων, ἕως ἂν ἐπέλθωσιν ἀπὸ τῆς τουρῆς.

Ib. Ἀπ' οἴκων] γράφεται, ἐπ' οἴκων. τοῦτο, μηδὲ ὑμεῖς περιλείπεσθε ἐνταῦθα ἐπὶ τῶν οἴκων, ἀλλ' ἀκολουθήσατε.

1294. Κεδὲν τούτων] λείπει ἐπαίρσε. διὰ τὶ εἰ μεμφῶνται, ἤτις κακῶν κηδὲ ἀγαθῶν ἐςιν αἰτία. Ἄλλως· κεδὲν τούτων ὅ, τι μὴ Ζεύς. οὐδὲν τούτων οὐδεὶς ἐπραξεν, εἰ μὴ μόνος ὁ Ζεύς.

BRITISH MUSEUM 28 JAN 1915

ΣΟΦΟΚΛΕΟΥΣ

ΦΙΛΟΚΤΗΤΗΣ.

ΥΠΟΘΕΣΙΣ

ΦΙΛΟΚΤΗΤΟΥ.

Ἀπαγωγὴ Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ Ὀδυσσέως καθ' Ἑλένου μαντείαν, ὃς κατὰ μαντείαν Κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελεῖντας πρὸς τὴν τῆς Τροίας ἅλωσιν, ὑπὸ Ὀδυσσέως νύκτωρ ἐνεδρευθείς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν· ἡ δὲ σκηνὴ, ἐν Λήμνῳ· ὁ δὲ Χορὸς ἐκ γερόντων τῶν τῷ Νεοπτολέμῳ συμπλεόντων· κεῖται καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιία· ἐδιδάχθη ἐπὶ Γλαυκίππου· πρῶτος ἦν Σοφοκλῆς.

ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.

Ἐν Χρύσῃ Ἀθηνᾶς βωμὸν ἐπικεχωσμένον,
Ἐφ' ὅπερ Ἀχαιοῖς χρησθὲν ἦν θύσαι μόνοις,
Ποίαντος ἥδει παῖς ποθ' Ἡρακλεῖ συνών·
Ζητῶν δὲ τοῦτο ναυάτῃ δεῖξαι σόλῳ,
Πληγεὶς ὑπ' ἔχεως, ἐλίπετ' ἐν Λήμνῳ νοσῶν·
Ἕλενος δ' Ἀχαιοῖς εἶφ' ἁλώσεσθ' Ἴλιον
Τοῖς Ἡρακλέους τόξοισι, παιδί τ' Ἀχιλλέως·
Τὰ τόξ' ὑπῆρχε παρὰ Φιλοκτήτῃ μόνῳ·
Πεμφθεὶς δ' Ὀδυσσεὺς ἀμφοτέρους συνήγαγεν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΔΥΣΣΕΥΣ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ΧΟΡΟΣ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ΕΜΠΟΡΟΣ, Ἢ ΑΓΓΕΛΟΣ.

ΗΡΑΚΛΗΣ, ΕΠΙΦΑΙΝΟΜΕΝΟΣ.

Προλογίζει δὲ ὁ ΟΔΥΣΣΕΥΣ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ΙΑΜΒΟΙ.

ΟΔΥ. Ἀκτὴ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστειπτος, ἐρῆμος·
Ἔνθ', ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε,
Ταχθεὶς τόδ' ἔρδειν τῶν ἀνασσόντων ὕπο,
Νόσῳ κατασάζοντα διαβόρῳ πόδα.
Ὅτ' ὔτε λοιβῆς ἡμῖν, ὔτε θυμάτων
Παρῆν ἑκήλοις προσθιγεῖν. ἀλλ' ἀγρίαις
Κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις
Βοῶν, στενάζων· ἀλλὰ ταῦτα μὲν τί δεῖ
Λέγειν; ἀκμὴ γὰρ ἀ μακρῶν ἡμῖν λόγων.
Μὴ καὶ μάθῃ μ' ἥκοντα, κἀκχέω τὸ πᾶν
Σόφισμα, τῷ νιν αὐτίχ' αἱρήσειν δοκῶ.
Ἀλλ' ἔργον ἤδη σὸν, τὰ λοίφ' ὑπηρετεῖν,

1. Ἀκτὴ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς] καὶ πρὸς τοῦτο προλογίζει ὁ Ὀδυσσεύς, καθάπερ καὶ παρ' Εὐριπίδῃ. ἐκεῖνο μέντοι διαφέρει πως· ὅσον ὁ μὲν Εὐριπίδης πάντα τῷ Ὀδυσσεῖ περιλίθησιν. ὅτος δὲ τὸν Νεοπτόλεμον προμηνύων, διὰ τοῦτο πάντα εἰκαιολογεῖ· τὸ δὲ ἀκτὴ, διὰ τὸ εἶναι αὐτὴν νῆσον.

2. Λήμνου, βροτοῖς ἄστειπτος] ἐν ἐρήμῳ γὰρ μέρει τῆς Λήμνου ἐξετέθη ὑπὸ τῶν Ἑλλήνων, ἡ ἄστειπτος, ἀπάτητος, ἀδιόδευτος. ἐν ἐρήμῳ γὰρ τόπῳ τῆς νήσου ἦν ἐκτεθείς.

3. Ἔνθ', ὦ κρατίστου πατρὸς] τραφεὶς ἐκ πατρὸς Ἑλλήνων κρατίστου. λείπει δὲ ἡ Ἐξ· τὸ δὲ ἐξῆς, ἔνθα ποτὲ ἐγὼ ἐξέθηκα τὸν Μηλιᾶ Ποίαντος υἱὸν, ὦ Νεοπτόλεμε παῖ Ἀχιλλέως.

4. Τὸν Μηλιᾶ] τὸν Θεσσαλὸν· ἀπὸ πόλεως, Ἀττικὸν δὲ τὸ Μηλιᾶ.

7. Κατασάζοντα] οἷον, καταῤῥίσοντα, τηκόμενον, λυόμενον.

1b. Διαβόρῳ] τῇ τὸν πόδα ἐσθιούσῃ, σηπεδόνι, τῇ διαβιβρωσκούσῃ, τῇ καλουμένῃ φαγεδαίνῃ. κάθος δὲ τοῦτό ἐστιν ὕτω λεγόμενον παρὰ τοῖς ἰατροῖς.

13. Κἀκχέω τὸ πᾶν] ταράξω· ἀπὸ μεταφορᾶς τῶν ἀμελγόντων.

17. Ἵν'

Σκοπεῖν θ' ὅπᾳ 'ς' ἐνταῦθα δίσομος πέτρα
Τοιάδ', ἵν' ἐν ψύχει μὲν ἡλίᾳ διπλῇ
Πάρεστιν ἐνθάκησις, ἐν θέρει δ' ὕπνον
Δι' ἀμφιτρῆτος αὐλίᾳ πέμπει πνοή.
Βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς τάχ' ἂν
Ἰδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ ζῶν.
Ἃ μοι προσελθὼν σῖγα σήμαιν', εἴτ' ἔχει
Χῶρον πρὸς αὐτὸν τόνδέ γ', εἴτ' ἄλλῃ κυρεῖ.
Ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύοις,
Ἐγὼ δὲ φράζω· κοινὰ δ' ἐξ ἀμφοῖν εἴη.

ΝΕΟ. Ἄναξ Ὀδυσσεῦ, τἄργον ἃ μακρὰν λέγεις·
Δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.

ΟΔΥ. Ἄνωθεν, ἢ κάτωθεν; ἃ γὰρ ἐννοῶ.

ΝΕΟ. Τόδ' ἐξύπερθε· καὶ σίδᾳ γ' * ἀδεὲς τύπος.

ΟΔΥ. Ὅρα καθ' ὕπνον μὴ καλακλιθεὶς κυρῇ.

ΝΕΟ. Ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.

ΟΔΥ. Οὐδ' ἔνδον οἰκοποιὸς ἐστί τις τροφή;

ΝΕΟ. Στειπ[τ]ή γε φυλλὰς ὡς ἐναυλίζονλί τῳ.

ΟΔΥ. Τὰ δ' ἄλλ' ἔρημα, κὐδὲν ἐσθ' ὑπόστεγον;

ΝΕΟ. Αὐτόξυλόν γ' ἔκπωμα, φαυλέργᾳ τινὸς

* Aldus, τ'.

17. Ἵν' ἐν ψύχει μὲν] ἐν χειμῶνι μὲν, ἐν καύσει, πάρεστι θερμαίνεσθαι, τῆς ἀκτῖνος τὸ ἡλίᾳ ἐκπεύθεν προσπαλλόσης· ἐκ ἐν ταὐτῷ, ἀλλ' ὅτε μὲν κατὰ τὸ ἀνατολικὸν μέρος ἐλαύνει ὁ ἥλιος, διὰ τῆ ἀνατολικῆ σόμιτος· ὅτε δὲ εἰ, τὸ δυτικὸν, ὁμοίως· ἐν δὲ θέρει τῆς πνοῆς ἀπολαύειν.

Ib. 18. Διπλῆ πάρεστιν ἐνθάκησις] διπλῆ καθέδρα πρὸς ἥλιον θερμαινομένη.

19. Δι' ἀμφιτρῆτος] τῆ ἀμφοτέρωθεν τετρημένη.

25. Κοινὰ δ' ἐξ ἀμφοῖν εἴη] πονοῖτο, διαγύοιτο, προβαίνοι, ἢ εἴη. οἱ τραγικοὶ γὰρ τῇ Εἰ διφθόγγῳ χρῶνται ἀντὶ βραχείας κατὰ κοινὴ συλλαβήν.

26. Τἄργον ἃ μακρὰν] ἃ μικρῆ πάνυ εἰσμενον· ἦδη γὰρ εἰσειδεν τὸ ἄντρον ὃ λέγεις.

28. Ἄνωθεν, ἢ κάτωθεν;] ταπεινὸν ἢ ὑψηλόν;

32. Οἰκοποιὸς] οἰκητοιὸς λέγεται ἡ ἐν οἴκῳ γινομένη τροφή.

33. Στειπτή γε φυλλὰς] χαμαιστρασία ἐκ φύλλων, ὑπεσμένη καὶ παλυμένη, ὡς κοιμωμένου ἐπ' αὐτῆ τινός.

34. Ὑπόστεγον] ὑπὸ τῇ στέγῃ.

35. Αὐτόξυλόν γ' ἔκπωμα] ποτήριον μονόξυλον

Τεχνήματ' ἀνδρὸς, καὶ πυρεῖ' ὁμῶ τάδε.
ΟΔΥ. Κείνε τὸ θησαύρισμα σημαίνεις τόδε.
ΝΕΟ. Ἰὼ, ἰώ· καὶ ταῦτά γ' ἄλλα θάλπεται
Ῥάκη, βωρείας τε νοσηλείας πλέα.
ΟΔΥ. Ἀνὴρ καλοικεῖ τέσδε τὰς τόπες σαφῶς.
Κᾆτ' ἐχ ἑκάς πε· πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
Κῶλον παλαιᾷ κηρὶ, προσβαίη μακράν;
Ἀλλ' ἢ πὶ Φορβῆς νόσον ἐξελήλυθεν,
Ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ πε.
Τὸν ὃν παρόντα πέμψον εἰς καλασκοπὴν,
Μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
Ἕλοιτό μ' ἢ τὰς πάντας Ἀργείας λαβεῖν *.
ΝΕΟ. Ἀλλ' ἔρχεταί τε, καὶ φυλάξεται τίβος.
Σὺ δ' εἴ τι χρῄζεις, φράζε δευτέρῳ λόγῳ.
ΟΔΥ. Ἀχιλλέως παῖ, δεῖ σ', ἐφ' οἷς ἐλήλυθας,
Γενναῖον εἶναι μὴ μόνον τῷ σώματι,
Ἀλλ' ἤν τι καινὸν ὧν πρὶν ἐκ ἀκήκοας,
Κλύῃς, ὑπάργειν, ὡς ὑπηρέτης πάρει.
ΝΕΟ. Τί δῆτ' ἄνωγας;
ΟΔΥ. Τὴν Φιλοκτήτε σὲ δεῖ
Ψυχὴν ὅπως λόγοισιν ἐκκλέψῃς λέγων,
Ὅτάν σ' ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,

* Ald. Turn. in marg. μολεῖν.

ξυλον, τέχνημα ἀσθενὸς φαύλως ἐργαζομένε, ὃ ἐστιν ἰδιώτε καὶ ὁ τεχνίτης.

36. Πυρεῖ' ὁμῶ] πυρόβολα.

38. Ἰὼ, ἰώ] ὁρᾷ τὰ ῥάκη τὰ τραύματος τὸ Φιλοκτήτε ξηραινόμενα ἐν ἡλίῳ, καὶ ἐκπλήττεται ὡς βαρέως αὐτὰ νοσοῦντος.

39. Βωρείας τῶ νοσηλείας] νόσε βαρείας πεπληρωμένα, ἢ νοσοκομίας, ἢ σῆς ἐκ νόσε ἀκηθιαρσίας.

42. Κῶλον] πόδα.

Ib. Κηρὶ] νόσῳ.

43. Νόσον] ὀδύνην.

44. Νώδυνον] βοτάνην τινὰ παυσώδυνον.

45. Τὸν ὃν παρόντα] ὡς τινὸς παριστάμενε αὐτῷ.

46. Προσπεσών] ἐπαντήσας, ἐπιπεσών.

48. Ἀλλ' ἔρχεται] ἀπέρχεται, φησὶν, ὁ Θεραπὼν εἰς κατασκοπήν.

Ib. Φυλάξεται] φυλαχθήσεται παρ' ἡμῶν ἡ ὁδὸς αὐτῆ.

56. Λόγοισιν ἐκκλέψῃς] ἤγουν, ἀπατήσῃς.

58. Τῶν

Λέγειν, Ἀχιλλέως παῖς· τόδ' οὐχὶ κλεπτέον.
Πλεῖς δ' ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν
Στράτευμ' Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
Οἵ σ' ἐν λιταῖς σείλαντες ἐξ οἴκου * μολεῖν,
Μόνην δ' ἔχοντες τήνδ' ἅλωσιν Ἰλίου,
Οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων,
Ἑλθόντι δῶναι κυρίως αἰτουμένῳ,
Ἀλλ' αὖτ' Ὀδυσσεῖ παρέδοσαν· λέγων, ὅσ' ἂν
Θέλῃς, καθ' ἡμῶν ἔσχατ' ἐσχάτων κακά.
Τούτων γὰρ οὐδέν μ' ἀλγυνεῖς· εἰ δ' ἐργάσῃ
Μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς.
Εἰ γὰρ τὰ τῆδε τόξα μὴ λῃφθήσεται,
Οὐκ ἔστι πέρσαι σοὶ τὸ Δαρδάνου πέδον.
Ὡς δ' ἔστ' ἐμοὶ μὲν οὐχί, σοὶ δ' ὁμιλία
Πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
Σὺ μὲν πέπλευκας, οὔτ' ἔνορκος οὐδενί,
Οὔτ' ἐξ ἀνάγκης, οὔτε τῷ πρώτου κόλῳ·
Ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον.
Ὡς εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
Ὄλωλα· καὶ σὲ προσδιαφθερῶ ξυνών.
Ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεύς
Ὅπως γενήσῃ τῶν ἀνικήτων ὅπλων.
Ἐξοιδα καὶ φύσει σὲ μὴ πεφυκότα

* Ald. Turn. οἴκων μολεῖν.

58. Τόδ' οὐχὶ κλεπτέον] τοῦτο γὰρ οὐχὶ ψευσόμεθα.

60. Ἔχθος ἐχθήρας] οἱ γὰρ ἐξ ἑνὸς ἠδικημένοι, φιλοῦσιν ἀλλήλους.

61. Στείλαντες] καλέσαντες.

62. Τήνδ' ἅλωσιν] τὸ σὲ ἑλθεῖν εἰς Ἴλιον.

63. Οὐκ ἠξίωσαν] οὐκ ἄξιον ἡγήσαντο.

66. Ἔσχατ' ἐσχάτων κακά] αἰσχρότατα.

69. Εἰ γὰρ τὰ τῆδε τόξα] προτρεπτικῶς εἰς τὴν συμμαχίαν, οὐ τὸν ἄνδρα, ἀλλὰ φιλίας τὰ τόξα ὠνόμασεν· εἰς δὲ τὴν πόρθησιν, τὸν Ναπτόλεμον.

73. Οὔτ' ἔνορκος] ὤμοσαν γὰρ τῷ Τυνδάρεῳ πάντες οἱ Ἕλληνες συνελθεῖν, ἐὰν ἁρπασθῇ ἡ Ἑλένη.

95. Βούλεται

Τοιαῦτα φωνεῖν, μηδὲ τεχνᾶσθαι κακά.
Ἀλλ' ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν.
Τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα.
Νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
Δός μοι σεαυτόν· κἄπειτα τὸν λοιπὸν χρόνον
Κέκλησο πάντων εὐσεβέσταλος βροτῶν.-----

ΝΕΟ. Ἐγὼ μὲν ὃς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τόσδε καὶ πράσσειν συγῶ.
Ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
Οὔτ' αὐτὸς, οὔθ' (ὡς φασιν) οὐκφύσας ἐμέ.
Ἀλλ' εἶμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν,
Καὶ μὴ δόλοισιν· οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
Ἡμῶς τοσόσδε πρὸς βίαν χειρώσεται.
Πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης, οἰκνῶ
Προδότης καλεῖσθαι· "Βέλομαι δ', ἄναξ, καλῶς
"Δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς."

ΟΔΥ. Ἐσθλὲ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ,
"Γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν·
"Νῦν δ' εἰς ἔλεγχον ἐξιὼν, ὁρῶ βροτοῖς
"Τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγεμένην."

ΝΕΟ. Τί δῆτ' ἂν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;

ΟΔΥ. Λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν.

ΝΕΟ. Τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;

ΟΔΥ. Οὐ μὴ πίθηται· πρὸς βίαν δ' ἐκ ἂν λάβοις.

95. Βέλομαι δ' ἄναξ, καλῶς ἐρῶν] ἀντὶ τοῦ ἐλευθέριον.

96. Ἡ νικᾶν κακῶς] ἀντὶ τοῦ μετὰ ψευδολογίας· ὅ ἐστι, θέλω εἰπὼν τὰ ἀληθὲς ἀποτυχεῖν μᾶλλον, ἢ ἐξαπατῶν τὸν ἄνδρα καὶ ἐπιτυχεῖν· εἰσάγει δὲ αὐτὸν ὁ Σοφοκλῆς τὸν τοῦ πατρὸς λόγον λίγοντα, Ἐχθρὸς γάρ μοι κεῖνος ὡρᾶς ἁιδεσιμύλητος

98. Γλῶσσαν μὲν ἀργὸν] κρείσσονα τῶν ἔργων ὄσαν τὴν γλῶσσαν. διαβάλλει τὰς καθ' ἑαυτὸν ῥήτορας ὁ ποιητὴς, ὡς διὰ γλώσσης πάντα κατεργάζεσθαι.

100. Ἡγεμένην] πραγματευομένην, ἃς ἄπαντα τὴν ἀπάτην ἀνύτουσαν.

101. Τί δῆτ' ἂν μ' ἄνωγας] ἢ θέλεις κέλευε, πλὴν τοῦ ψεύδεσθαι.

ΝΕΟ. Οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;
ΟΔΥ. Ἰὼ ἀφύκτου καὶ προπέμποντος φόνον.
ΝΕΟ. Οὐκ ἄρ' ἐκείνῳ γ' ὧδε προσμίξαι θρασύ;
ΟΔΥ. Οὔ, μὴ δόλῳ λαβόντα γ', ὡς ἐγὼ λέγω.
ΝΕΟ. Οὐκ, αἰσχρὸν ἡγῇ δῆτα τὰ ψευδῆ λέγειν;
ΟΔΥ. Οὐκ, εἰ. τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
ΝΕΟ. Πῶς ἂν βλέπων τις ταῦτα τολμήσει λαλεῖν;
ΟΔΥ. Ὅταν τι δρᾷς ἐς κέρδος *, ὃν οἰκεῖν πρέπει.
ΝΕΟ. Κέρδος δέ μοι τί τῶνδ' ἐς Τροίαν μολεῖν;
ΟΔΥ. Αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
ΝΕΟ. Οὐκ ἄρ' ὁ πέρσων, ὡς ἐφάσκετ', εἶμ' † ἐγὼ;
ΟΔΥ. Οὔτ' ἂν σὺ κείνων χωρὶς, οὔτ' ἐκεῖνά σε ‡.
ΝΕΟ. Θηρατὲ' ἂν γένοιτ' ἂν §, εἴπερ ὧδ' ἔχει.
ΟΔΥ. Ὡς τοῦτό γ' ἔρξας, δύο φέρῃ δωρήματα.
ΝΕΟ. Ποίω; μαθὼν γὰρ οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
ΟΔΥ. Σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα ‖.
ΝΕΟ. Ἴτω· ποιήσω πᾶσαν αἰσχύνην ἀφείς.
ΟΔΥ. Ἡ μνημονεύεις ἔν ἄ σοι παρῄνεσα;
ΝΕΟ. Σάφ' ἴσθ'· ἐπείπερ εἰσάπαξ ξυνήνεσα.

* Turn. in marg. πρὸς κέρδος. † Ald. εἶμ'. ‡ Ald. ἐκεῖνα, σῦ.
§ Ald. Θηρατέα γίγνοιτ' ἂν. ‖ Ald. κικλῃσ' ἅμα. rectè.

106. Ἰὼ ἀφύκτου;] ἄφυκτα γὰρ ἦν τὰ Ἡφαίστεια βέλη, καὶ τὸν σκοπὸν μὴ ἀποτυγχάνοντα, ἢ ἐπανερχόμενα εἰς ἑαυτόν. Πρὸς ὃ ἐκάγει.

107. Οὐκ ἄρ' ἐκείνῳ;] ὡκῶν ὢν προσελθεῖν ἑαυτῷ καὶ πλησιάσαι, εὐθαρσὴς εἶ καὶ ἀσφαλής.

110. Εἰ τὸ σωθῆναι;] εἰ σωτηρία ἐξ αὐτοῦ προσγίγνεται.

111. Πῶς ἂν βλέπων;] ἤγουν, νοῶν, λογισμὸν ἔχων· καὶ ἔστι ἡ σύνταξις, πῶς ἂν ἀποβλέπων τις εἰς τὸ ψεῦδος, ἐρεῖ αὐτό.

114. Αἱρεῖ] ποριθῇ.

117. Θηρατὲ'] ληπτέα, ἄξια τοῦ θηρᾶσθαι.

118. Δύο φέρῃ δωρήματα] δύο τιμήματα ἀποφέρῃ.

119. Ποίω; μαθὼν] ἀντὶ τοῦ ποῖα, δυϊκῶς.

120. Σοφός τ' ἂν] σοφὸς μὲν διὰ τὸ κλέψαι· ἀγαθὸς δὲ, διὰ τὸ σωθῆναι. ἢ σοφὸν μὲν ὄντος καθόλου τοῦ δόλῳ σῶσαι δυναμένου, τῶν δὲ καὶ τοῦ ὅλως ἀγαθοῦ ὄντος.

Ib. Κικλῇ' ἅμα] ἀντὶ τοῦ κικλημένος εἶης.

123. Συνήνεσα] συνεθέμην.

126. Καὶ

ΟΔΥ. Σὺ μὲν μέντων νῦν κεῖνον ἐνθάδ' ἐκδέχου.
Ἐγὼ δ' ἄπειμι, μὴ καλοπτευθῶ παρών.
Καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
Καὶ δεῦρ', ἐάν μοι τῆ χρόνῳ δοκῆτ' ἔτι
Καλασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
Τῆτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρῳ τρόπον *
Μορφὴν δολώσας, ὡς ἂν ἀγνοίᾳ πρόσω·
Οὗ δῆτα, τέκνον, ποικίλως αὐδωμένῳ,
Δέχου τὰ συμφέροντα τῶν αἰεὶ λόγων·
Ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε.
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν,
Νίκη τ' Ἀθηνᾶ πολιὰς, † ἣ σώζει μ' ἀεί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Τί χρὴ, τί χρή με, δέσποτ', ἐν ξένᾳ ‡ ξένον
Στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑποπτον;
Φράζε μοι· "τέχνα γὰρ
"Τέχνας ἑτέρας πρόσχει,
"Καὶ γνώμας §, παρ' ὅτῳ τὸ θεῖον
"Διὸς σκῆπτρον ἀνάσσεται."

* Ald. τρόποις. recte. † Turn. in marg. Ἀθηνᾶ Παλλὰς.
‡ Ald. τί χρὴ δέσποτά μ' ἐν ξένᾳ. § Ald. γνώμα.

126. Καὶ τὸν σκοπὸν] τὸν σκοπὸν τοῦτον πρὸς τὴν ναῦν ἀποπέμψω, καὶ πάλιν, ἐὰν καιρὸς καλῇ, ἐνταῦθα, ἐάν μοι δόξητε βραδύνειν.

130. Μορφὴν δολώσας] ἵνα μὴ γνωσθῇ.

131. Οὗ δῆτα, τέκνον] ἢ τῆ Φιλοκτήτου ἀπατωμένῃ, ἢ τῆ ναυκλήρῳ δύλιά σοι διαλεγομένῃ, καὶ ἀσυμφανῆ.

135. Πολιὰς] πολιοῦχος. ὕτως ἡ πολιοῦχος Ἀθηνᾶ νίκη καλεῖται ἐν τῇ Ἀττικῇ.

137. Στέγειν] κρύπτειν.

Ib. Ἀνδρ' ὑποπτον] ἀντὶ τοῦ, ἐμὲ φανερὸν γεγονότα, καὶ ἐλθόντα εἰς ὄψιν ἢ τὸν Φιλοκτήτην τὸν ὑφ' ἡμῶν κατασκοπούμενον. Ἄλλως, πρὸς τὸν ὑποφαίνοντα ἡμῖν ἄνδρα τί δεῖ λέγειν, ἢ σιωπᾶν.

138. Τέχνα γὰρ τέχνας] τοῦτο ἐν τῷ καθόλου· ἡ γὰρ τέχνη (φησὶ) καὶ ἡ γνώμη τῶν βασιλείων πρόσχει τῶν ἄλλων τεχνῶν. καὶ ἐν Οἰδίποδι, Ἃ γὰρ ἐρῶσιν οἱ κρατοῦντες οὐχ ὁρῶ· καὶ Ἡσίοδος· "Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες".

140. Παρ' ὅτῳ] ἐφ' ᾧ ἐστι τὸ Διὸς σκῆπτρον.

Σοὶ δὲ, τέκνον *, τόδ' ἐλήλυθε
Παῖων κράτος Ὠγύγιον· τό μοι ἔννεπε
Τί σοι χρεὼν ὑπεργεῖν.-----

ΑΝΑΠΑΙΣΤΟΙ.

ΝΕΟ. Νῦν μὲν (ἴσως γὰρ τόπον ἐσχατιᾶς
Προσιδεῖν ἐθέλεις ὄντινα κεῖται)
Δέρκου θαρσῶν· ὁπόταν δὲ μόλῃ
Δεινὸς ὀδίτης τῶνδ' ἐκ μελεόδρων,
Πρὸς ἐμὴν αἰεὶ χεῖρα τροχωρῶν,
Πειρῶ τὸ παρὸν θεραπεύειν.-----

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Μέλον πάλαι μελήμαθ' ἅττ' λέγεις, ἄναξ,
Φρερεῖν ὅμμ' ἐπὶ σῷ μέλισσα καιρῷ.
Νῦν δέ μοι λέγ' αὐλᾶς
Ἱδίας ἕνεδρος ναίει,
Καὶ χώρων τίν' ἔχει· τὸ γάρ μοι
Μαθεῖν, ἐκ ἀποκαίριον,
Μή με λάθῃ προσπεσοῦν πόθεν.

* Aldus, Σὶ δ', ἃ τίκτων.

142. Τόδ' ἐλήλυθε] τοῦτο τὸ ἀξίωμα ἐκ προγόνων ἦλθεν εἰς σέ. δίκαιον δὴ σοι πείθεσθαι.

143. Παῖων κράτος Ὠγύγιον] τὸ ἐξ ἀρχῆς τιθέμενον κράτος.

144. Ὑπεργεῖν] συνεργεῖν.

145. Νῦν μὲν ἴσως γὰρ] νῦν μὲν (φησὶν) εἰσελθών, ὥρα τὸν τόπον· ἐπὰν δὲ ἔλθῃ, τότε σὺ τῶν μελιάδρων ἀποσὰς, ὑπηρέτει μοι πρὸς τὴν παρόσαν χρείαν.

148. Τόπον ἰσχατιᾶς] τὸν ἐπὶ τῇ ἰσχάτῃ σπιλάδι.

149. Προχωρῶν] ὥσπερ ἐγὼ προχωρῶ, ὥστε ἀκολουθῶν πειρῶ με θεραπεύειν ἀεί. κυρίως δὲ ἐστιν ἀκολουθεῖν τὸ προχωρεῖν, οἷον, ὡς ἂν ἐγὼ προστάσσω, τοῦτον τὸν τρόπον ποιῶν.

151. Μέλον πάλαι] ἀντὶ τοῦ, πρᾶγμά μοι λέγεις, ἐκ πολλοῦ μοι μεμελημένον, τὸ φρερεῖν τὸ σὸν ὄμμα, καὶ τὴν ἀπὸ σοῦ εὐκαιρίαν.

152. Τὸ σὸν φρερεῖν ὄμμα] τὰ σὰ νεύματα φυλάττειν.

156. Οὐκ ἀποκαίριον] οὐκ ἄωρον. οὐκ ἄκαιρόν γάρ ἐστι τοῦτο μαθεῖν.

157. Προσπεσοῦν] προσπελάσας.

159. Ἐκπλὴξ

Τίς τόπος; ἢ τίς ἕδρα; τίν' ἔχει σίβον,
Ἔναυλον, ἢ θυραῖον;-------

ΑΝΑΠΑΙΣΤΟΙ.

ΝΕΟ. Οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
Πετρίνης κοίτης.
ΧΟΡ. Πῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστιν *;
ΝΕΟ. Δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ
Στίβον ὀγμεύει τόνδε πέλας πᾶ.
Ταύτην γὰρ ἔχειν βιοτᾶς αὐτὸν
Λόγος ἐστὶ φύσιν, θηροβολᾶντα
Πτηνοῖς ἰοῖς συγερὸν συγερῶς·
Οὐδέ τιν' αὐτῷ †
Παιῶνα κακῶν ἐπινωμᾶν.------

ΣΤΡΟΦΗ Β'.

ΧΟΡ. Οἰκτείρω νιν ἔγωγ', ὅπως
Μή τε κηδομένᾳ βροτῶν
Μηδ' αὖ σύντροφον ὄμμ' ἔχων,
Δύσανος μόνος αἰεὶ
Νοσεῖ μὲν νόσον ἀγρίαν,
Ἀλύει δ' ἐπὶ παντί τῳ

* Ald. Turn. ἄπεισι. † Turn. αὐτῷ.

159. Ἔναυλον ἢ θυραῖον] ἐντὸς, ἢ ἐκτός. ὄγγος, ἢ μακρίαν.

164. Στίβον ὀγμεύει] ὄγμος, ἡ ἐπὶ σίχου τάξις, καὶ ἡ τάξις, νῦν δὲ ἀντὶ τοῦ, ἐφεξῆς περιέρχεται.

167. Στυγερῶς] ἐπιμόνως.

168. Οὐδέ τιν' αὐτῷ] ἀντὶ τοῦ ἑαυτῷ.

169. Παιῶνα κακῶν] θεραπείαν.

Ib. Ἐπινωμᾶν] ἐξευρίσκειν.

170. Οἰκτείρω νιν] ἰλιῶ (φησὶν) αὐτὸν τῶς δύνασθαι διάγειν, μήτε συνοικῶν τινι, μήτε κτώμενόν τινα ἔχων.

171. Μή τε κηδομένᾳ] μή τινος αὐτῷ τῶν ἀνθρώπων κηδομένου.

172. Μὴ σύντροφον ὄμμα] μὴ δὲ ὁρῶν εἷς ἄνθρωπον σύνοικον.

175. Ἀλύει δὲ ἐπὶ παντὶ] ἐπὶ παντὶ τῷ ἐν χρείᾳ γιγνομένῳ ἀπορεῖ· ἢ ὁπηνίκα χρείας καλίσῃ καιρὸς, ἀδημονεῖ, διὰ τὸ πάντων ἀπορεῖν.

178. Ὦ

Χρείας ἰσαμένῳ, πῶς πολε, πῶς
Δύσμορος ἀντέχει.
Ὦ παλάμαι θνητῶν,
Ὦ δύστανα γένη * βροτῶν,
Οἷς μὴ μέτριος αἰὼν !------

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Οὗτος πρωτογόνων ἴσως
Οἴκων ἀδενὸς ὕστερος,
Πάντων ἄμμορος ἐν βίῳ
Κεῖται μόνος ἀπ' ἄλλων,
Στικτῶν ἢ λασίων μέτα
Θηρῶν· ἔν τ' ὀδύναις ὁμᾶ
Λιμῷ τ' οἰκτρὸς, ἀνήκεστα μερι-
μνήματ' ἔχων· βαρεῖ-
α δ' ἀθυρόστομος
Ἀχὼ τηλεφανὴς πικρᾶς
Οἰμωγᾶς ὑπόκειται.------

ΑΝΑΠΑΙΣΤΟΙ.

ΝΕΟ. Οὐδὲν τούτων θαυμαστὸν ἐμοί.

* Aldus, δύσταν γίνη.

178. Ὦ παλάμαι θνητῶν] ὦ τέχναι καὶ γνῶμαι. τοῦτο θαυμάζων τὸν Φιλοκτήτην, φησὶ, πῶς ἄρα μόνος ὢν ἐξευρίσκει τὰ πρὸς τὴν ζωὴν ἑαυτῷ.

180. Οἷς μὴ μέτριος αἰὼν] εἷς ὁ βίος ἐκ ἔχει τῶν κακῶν μέτρον. ἢ ἔτως, οἷς μὴ σύμμετρος ὁ βίος καὶ ἐπαρκῶν.

182. Ὕστερος] ἀντὶ τοῦ, ὑστερίζων.

183. Ἄμμορος] ἀντὶ τοῦ ἔρημος νῦν κεῖται.

185. Στικτῶν] ποικίλων καὶ δασυλρίχων.

189. Ἀθυρόστομος] πολυλάλητος, μὴ εἰργομένη τοῦ φθέγγεσθαι· ἀθυρόστομον δὲ εἶπε τὴν Ἠχὼ, ἐπεὶ πρὸς πάντας ἀντιφθέγγεται· ὁ δὲ νῦν, ἀεὶ μὲν ὀδυρομένῳ αὐτῷ, Ἠχὼ πρὸς τὸν ὀδυρμὸν ἀντιφθέγγεται.

190. Τηλεφανὴς] μήκοθεν φαινομένη διὰ τῆς φωνῆς· ἀντὶ τοῦ, οἰμώζει, καὶ τὴν φωνὴν πόῤῥωθεν ἀνιγείρει.

192. Οὐδὲν τούτων θαυμαστὸν] οὐδὲν (φησὶ) τούτων θαυμαστὸν ἐμοὶ, ὅτι κἀκὰ πάσχει ὁ Φιλοκτήτης· ἐκ Θεῶν γὰρ (ὡς οἶμαι) ταῦτα πέπονθε. καὶ τὸ πάθος ὑπέμεινε κατὰ βούλησιν τῶν Θεῶν, ἵνα μὴ τὰ βέλη εὐθέως ἐπέλθωσι, πορθήσῃ τὴν Τροίαν παρὰ τὸ εἱμαρμένον, ἀλλὰ ἐκλέξηται τὸν καιρόν.

195. Τῆς

Θεῖα γὰρ (εἴπερ κἀγώ τι φρονῶ)
Καὶ τὰ παθήματ' ἐκεῖνα πρὸς αὐτὸν
Τῆς ὠμόφρονος Χρύσης ἐπέβη·
Καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων
Οὐκ ἔστιν ὅπως * ἀ θεῶν μελέτῃ,
Τὄ μὴ πρότερον τόνδ' ἐπὶ Τροίαν †
Τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
Πρὶν ὅδ' ἐξήκοι χρόνος, ᾧ λέγεται
Χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Εὔξομ' ἔχε, παῖ.

ΝΕΟ. Τί τόδε;

ΧΟΡ. Πρὸφάνη κτύπος φωτὸς σύν-
τροφος ὡς τειρομένῳ ‡.

ΝΕΟ. Ἦ πᾳ τῇδ', ἢ τῇδε τόπων;
Βάλλει, βάλλει μ' ἐτύμα φθογγά
Τᾳ, σίβον κατ' ἀνάγκαν

* Ald. Οὐκ ἔσθ' ὅπως. † Ald. ἐπὶ Τροίᾳ.
‡ Turn. in marg. τειρομένῳ.

195. Τῆς ὠμόφρονος Χρύσης] Χρύσην, νῆσον πρὸ τῆς Λήμνου, ἔνθα διέτριβε Χρύσην τινὰ νύμφην, ἣ ἐρασθεῖσα τοῦ Φιλοκτήτου, καὶ μὴ πεισαμένη, κατηράσατο αὐτῷ· διὸ καὶ ὠμόφρονα αὐτὴν ἐκάλεσεν.

Ib. Εἰς τὸ αὐτό. Τῆς ὠμόφρονος Χρύσης] Χρύσης Ἀθηνᾶς ἄγαλμα οὕτω καλεῖται. ἔστι δὲ καὶ πόλις Χρύση πλησίον Λήμνου, ἔνθα ὑπὸ τοῦ ἐρίου ἐδήχθη, τὸν βωμὸν ζητῶν, ἐν ᾧ ἔθυσεν Ἡρακλῆς, νικήσας κατὰ Τροίας στρατεύσας.

199. Ἀμάχητα] ἀνίκητα.

200. Πρὶν ὅδ' ἐξήκοι χρόνος] Πρὶν αὐτὴν τὴν Τροίαν εἰς τὸν εἱμαρμένον ἐλθεῖν χρόνον, ἐν ᾧ εἵμαρται αὐτὴν πορθηθῆναι.

Ib. Ὧ λέγεται] ᾧ χρόνῳ.

201. Ὑπὸ τῶνδε] τῶν βελῶν δηλονότι.

202. Εὔξομ' ἔχε, παῖ] εἰώθασιν οὕτω λέγειν, ἀντὶ τοῦ σιώπα. Τὸ δὲ τοιοῦτο κεχίασται, ὅτι Ἑλλανικὸς πάτερ ἀναγινώσκων τὰ Ἡροδότου, ἔλεγε, Περὶ δὲ τῶνδέ μοι εὔξομαι εἰσθῶ. ἢ διαιρῶν εἰς δύο λέξεις, ἀλλ' ὡς ἂν τις εἴποι, ταῦτα ἔχω εὔξομαι. τοῦτο δὲ φησὶν ὁ Χορὸς κτύπον ἀκούσας ἐπερχομένου τῷ Φιλοκτήτῃ, καὶ ζήνοντος ἐν τῇ πορείᾳ διὰ τὸ ἄλγος.

203. Φωτὸς σύντροφος] φωνῆς τῆς συντραφείσης αὐτῷ· δῆλον δὲ ὅτι κακῆς καὶ οἰμωκτικῆς, ὡς κατὰ τὸ σύνηθες αὐτῷ τειρομένῳ.

206. Ἦ πᾳ τῇδε] ἆρα ὧδε ἢ ἐνθάδε.

207. Φθογγά τᾳ] φθογγή τινος.

208. Στίβον κατ' ἀνάγκαν] ἴζωθη πρόσω πατέον τὴν ἐπί.

210. Τρυσάνῳ]

Ἕρπουλος· ὐδέ με λάθει
Βαρεῖα τηλόθεν αὐδὰ τρυσάνωρ.
Δίασημα θροεῖ γάρ.

ΑΝΤΙΣΤΡΟΦΗ Γ.'

ΧΟΡ. Ἀλλ' ἔχε, τέκνον,----

ΝΕΟ. Λέγ' ὅ, τι.

ΧΟΡ. Φροντίδας νέας, ὡς ὐκ ἔξ-
εδρος, ἀλλ' ἔλοπος ἀνήρ·
Οὐ μολπὰν * σύριγγος ἔχων,
Ὡς ποιμὴν ἀγροβότας †, ἀλλ' ἢ
πυ ταῖων ὑπ' ἀνάγκας,
Βοᾶ τηλωπὸν ἰωὰν,
Ἢ ναὸς ἄξενον αὐγάζων ὅρμον.
Προβοᾷ γάρ τι δεινόν.

ΙΑΜΒΟΙ.

ΦΙΛ. Ἰὼ ξένοι,
Τίνες ποτ' ἐς γῆν τήνδε ναυλίλῳ πλάτῃ
Κατέσχετ', ἤτ' εὔορμον, ἤτ' οἰκουμένην;
Ποίας πάτρας ἂν ἡ γένυς ὑμᾶς ποτὲ
Τύχοιμ' ἂν εἰπών; σχῆμα μὲν γὰρ Ἑλλάδος
Στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί·
Φωνῆς δ' ἀκῆσαι βέλομαι· καὶ μή μ' ὄκνῳ

* Turn. μολπάς. † Turn. in marg. ἀγροβότης.

210. Τρυσάνωρ] ἐπίπονος, ἢ καλαπονοῦσα τὸν ἄνδρα.

211. Δίασημα] φανερά.

214. Φροντίδα νέας] τὸ ἐξῆς, ἔχε φροντίδας νέας· οἷον, καινότερόν τι βάλευσαι, ὃ πρὸς αὐτὸν ἐρεῖς.

Ib. Οὐκ ἔξεδρος] ὁ μακρὰν, ἀλλ' ἐγγὺς, καὶ ἐπὶ τόπου.

Ib. Οὐ μολπὰν σύριγγος ἔχων] ὁ βοᾷ τιμῶμενος σύριγγι ὡς ποιμήν.

217, 218. Ἀλλ' ἢ πυ ταῖων] ἀλλὰ τάχα προσπταίων, προσκόπτων ὑπὸ τῶν βαισάνων βοᾷς, ἢ δύσορμον τὸν λιμένα ἐρῶν, προσθεραπεύεις ἡμᾶς πελάζειν εἰς αὐτόν. Ὅμηρος, Λῖμενα ἁμιχθαλόεσσαν, ἤγουν, τὴν ἀπροσόρμισον.

229. Ἀτυχῶν,

Δείσαν]ες ἐκπλαγῆτ' ἀπηγριωμένον,
Ἀλλ' οἰκτίσαν]ες ἄνδρα δύστηνον, μόνον
Ἔρημον ὧδε κἀφιλον καλούμενον *,
Φωνήσατ', εἴπερ ὡς φίλοι προσήκα]ε·
Ἀλλ' ἀνταμείψασθ'· οὐ γὰρ εἰκὸς ὅτ' ἐμὲ
Ὑμῶν ἁμαρτεῖν τοῦτό γ', ὅθ' ὑμᾶς ἐμοῦ.-----
ΝΕΟ. Ἀλλ', ὦ ξέν', ἴσθι τοῦτο πρῶτον, ὕνεκα
Ἕλλήνες ἐσμέν· τοῦτο γὰρ βούλει μαθεῖν.
ΦΙΛ. Ὦ φίλτα]ον φώνημα· φεῦ, τὸ καὶ λαβεῖν
Πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς ἐν χρόνῳ μακρῷ.
Τίς σ', ὦ τέκνον, προσέσχε; τίς προσήγαγε
Χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ Φίλτα]ος †;
Γέγωνέ μοι πᾶν τοῦθ', ὅπως εἰδῶ τίς εἶ.-----
ΝΕΟ. Ἐγὼ γένος μέν εἰμι τῆς περιῤῥύτου
Σκύρου· πολέω δ' ἐς οἶκον. αὐδῶμα δὲ παῖς
Ἀχιλλέως, Νεοπτόλεμος· οἶσθ' ἤδη τὸ πᾶν.---
ΦΙΛ. Ὦ φιλτάτου παῖ πατρὸς, ὦ φίλης χθονὸς,
Ὦ τοῦ γέρο]ος θρέμμα Λυκομήδους, τίνι
Στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πολέων;
ΝΕΟ. Ἐξ Ἰλίου τοι δῆτα νῦν γε ναυ]ολῶ.
ΦΙΛ. Πῶς εἶπας; οὐ γὰρ δὴ σύγ' ἦσθα ναυβάτης
Ἡμῖν κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον]όλου.
ΝΕΟ. Ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;

* Ald. καλούμενον. † Turn. τίς δ' ἀνέμων ὁ φίλτατος.

229. Ἀπηγριωμένον] δεῖ γὰρ αὐτὸν ἐξηγριωμένον ὑπονοῆσαι φανῆναι αὐτοῖς τὴν τ. ἐφιν καὶ τὸ σχῆμα.

237. Φεῦ, καὶ τὸ λαβεῖν] Θαυμαστικὸν μετ' ἐκπλήξεως· τὸ φεῦ ἐνταῦθα· λείπει δὲ τὸ στηρίξαι.

239. Προσέσχε] προσκρούσαι ἐπέκεινα.

241. Γέγωνέ μοι] εἰπέ μοι.

Ib. Ὅπως εἰδῶ] ἵνα μάθω.

243. Αὐδῶμαι] λέγομαι.

249. Πῶς εἶπας;] Θαυμάζων φησίν. ἐπεὶ μὴ εἶδεν αὐτὸν ἐξ ἀρχῆς στρατευσάμενον.

ΦΙΛ. Ὦ τέκνον, ἐ γὰρ οἶσθά μ', ὄντιν' εἰσορᾷς;
ΝΕΟ. Πῶς γὰρ κάτοιδ' ὃν εἶδον * ἐδεπώποτε;
ΦΙΛ. Οὐδ' ἔνομ', ἐδὲν τῶν ἐμῶν κακῶν κλέος
Ἦσθε πόθ' ἐδὲν οἷς ἐγὼ διωλλύμην;
ΝΕΟ. Ὡς μηδὲν εἰδότ' ἴσθι μ' ὧν ἀνισορεῖς.
ΦΙΛ. Ὦ πόλλ' ἐγὼ μοχθηρὸς, ὦ πικρὸς θεοῖς,
Οὗ μηδὲ κληδὼν ὧδ' ἔχονος οἴκαδε,
Μηδ' Ἑλλάδος γῆς μηδαμῆ διῆλθέ πε.
Ἀλλ' οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ,
Γελῶσι σῖγ' ἔχοντες· ἦδ' ἐμὴ νόσος
Ἀεὶ τέθηλε, κἀπὶ μεῖζον ἔρχεται.
Ὦ τέκνον, ὦ παῖ πατρὸς οὐξ Ἀχιλλέως †,
Ὅδ' εἰμ' ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
Τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
Ὁ τῆ Ποίαντος παῖς Φιλοκτήτης· ὃν οἱ
Δισσοὶ στρατηγοὶ χὠ Κεφαλλήνων ἄναξ
Ἐρρίψαν αἰσχρῶς ὧδ' ἔρημον, ἀγρίᾳ
Νόσῳ καταφθίνοντα, τῆσδ' ἀνδροφθόρε
Πληγέντ' ἐχίδνης ἀγρίῳ χαράγματι·
Ξὺν ἦ μ' ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε,
Ὥχοντ', ἔρημον, ἡνίκ' ἐκ τῆς πρωτίας
Χρύσης κατέσχον δεῦρο ναυβάτη στόλῳ.
Τότ' ἄσμενοί μ' ὡς εἶδον ἐκ πολλῆ σάλῃ
Εὕδοντ' ἐπ' ἀκτῆς ἐν καλῃρεφεῖ πέτρῳ,

* Turn. ὃν εἶδον. † Ald. Ὦ παῖ πατρὸς ἐξ Ἀχιλλίως.

257. Πικρὸς θεοῖς] ἐχθρός.
260. Ἀλλ' οἱ μὲν] οἱ Ἀτρεῖδαι.
267. Χὠ Κεφαλλήνων ἄναξ] ὁ Ὀδυσσεύς.
270. Ἀγρίῳ χαράγματι] δήγματι· τὸ γὰρ δῆγμα τῷ ὄφεως μόνοι χαράσσει· λέγεται γὰρ ὡς ἐν Λήμνῳ (Χρύσῃ) βυλόμενος ἀναζῆσαι βωμὸν Ἡρακλεῖ παρὰ τὸν αἰγιαλὸν, ὑπὸ ὄφεως ἐπλήγη.
272. Ἐκ τῆς πρωτίας] τῆς παραβαλασσίας· ὅτε ἀπὸ Χρύσης ἦλθεν εἰς Λῆμνον.
274. Ἐν πολλῇ σάλῳ] κινήματος, πόνου.
278. οἵ·

Λιπόντες ὤχονθ', οἷα φωτὶ δυσμόρῳ
Ῥάκη προθέντες βαιὰ, καί τι καὶ βορᾶς
Ἐπωφέλημα σμικρόν· οἵ' αὐτοῖς τύχοι.
Σὺ δὴ, τέκνον, ποίαν μ' ἀνάσασιν δοκεῖς,
Αὐτῶν βεβώτων, ἐξ ὕπνου σῆναι τότε;
Ποῖ' ἐκδακρῦσαι; ποῖ' ἀποιμώξαι κακά;
Ὁρῶντα μὲν ναῦς, ἃς ἔχων ἐναυστόλει,
Πάσας βεβώσας, ἄνδρα δ' οὐδέν' ἔντοπον·
Οὐχ ὅστις ἀρκέσειεν, οὐδ' ὅστις νόσῳ
Κάμνοντι συλλάβοιτο· πάντα δὲ σκοπῶν,
Εὕρισκον * οὐδὲν πλὴν ἀνιᾶσθαι παρόν·
Τοῦτο δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
Ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι,
Κἄδει τι βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον
Διακονεῖσθαι· γαστρὶ μὲν τὰ σύμφορα
Τόξον τόδ' ἐξευρίσκε †, τὰς ὑποπτέρους
Βάλλον πελείας· πρὸς δὲ τοῦθ', ὅ μοι βέλοι
Νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
Εἰλυόμην δύσηνος ἐξέλκων πόδα·
Πρὸς τοῦτ' ἂν, εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
Καί που πάγου χυθέντος, οἷα χείματι,
Ξύλον τι θραῦσαι, ταῦτ' ἂν ἐξέρπων τάλας
Ἐμηχανώμην· εἶτα πῦρ ἂν ὑ πᾶρην,
Ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων, μόλις

* Ald. Turn. Εὕρισκον. † Ald. Turn. ἐξευρίσκει.

278. Οἵ' αὐτοῖς τύχοι] καταρᾶται.
279. Ἀνάσασιν] ἀνάσασιν λέγει νῦν τὴν ἐξ ὕπνου ἔγερσιν.
287. Τοῦτο δὲ] τῷ ἀνιᾶσθαι ἄδειαν καὶ εὐκαιρίαν εὕρισκον πολλήν.
289. Κἄδει] καὶ ἔδει μοι ἐμοὶ τῷ ὑπηρετεῖσθαι.
290. Σύμφορα] ἀναγκαῖα.
293. Νευροσπαδὴς] ὁ ἐπισπώμενος τὴν νευράν. διὰ γὰρ τῶν γλυφίδων ἵκεται.
294. Εἰλυόμην] ἐπορευόμην. εἴλυσις γὰρ ἡ πορεία.

Ἔφην' ἄφαντον φῶς, ὃ καὶ σώζει μ' ἀεί.
Οἰκουμένη γὰρ ἓν στέγη πυρὸς μέτα,
Πάντ' ἐκπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
Φέρ' ὦ τέκνον, νῦν καὶ τὸ τῆς νήσου μάθῃς.
Ταύτῃ πελάζει ναυβάτης ὑδὲ ἐκών.
Οὐ γάρ τις ὅρμος ἐστὶν, ὐδ' ὅποι πλέων,
Ἐξεμπολήσει κέρδος, ἢ ξενώσεται.
Οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν.
Τάχ' ἔν τις ἄκων ἔσχι· πολλὰ γὰρ τάδε
Ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ.
Οὗτοί μ' ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
Ἐλεῦσι μέν, καί που τὶ καὶ βορᾶς μέρος
Προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν.
Ἐκεῖνο δ' ὑδεὶς ἡνίκ' ἂν μνησθῶ, θέλει
Σῶσαί μ' ἐς οἴκους· ἀλλ' ἀπόλλυμαι τάλας
Ἔτος τόδ' ἤδη δέκατον ἐν λιμῷ τε καὶ
Κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
Τοιαῦτ' Ἀτρεῖδαί μ', ἦτ' Ὀδυσσέως βίᾳ
Ὦ παῖ, δεδράκασ'· οἷς Ὀλύμπιοι θεοὶ
Δοῖέν ποτ' αὐτοῖς ἀντίποινα ἐμοῦ παθεῖν.----

ΧΟΡ. Ἔοικα κἀγὼ, τοῖς ἀφιγμένοις ἴσα
Ξένοις, ἐποικτείρειν σὲ, Ποίαντος τέκνον.

ΝΕΟ. Ἐγὼ δὲ κἀυτὸς * τοῖσδε μάρτυς ἐν λόγοις †,

* Turn. καὐτὸς. † Turn. in marg. λόγῳ.

300. Ἄφαντον φῶς] ἀπροσδόκητον. καλῶς εἶπεν ἄφαντον· ὃ φαίνεται γὰρ, ἀλλὰ δυνάμει αὐτὸ ἔχει.

301. Οἰκουμένη γὰρ ἓν στέγη] ἀντὶ τοῦ, ἡ φίλια ἡ μετὰ πυρὸς ὅσα, καλῶς διοικεῖται.

306. Ἐξεμπολήσει] πωλήσει, πραγματεύσεται, ἐμπορεύσεται.

Ib. Ἢ ξενώσεται] καταχθήσεται ὡς ξένος.

314. Σῶσαί μ' ἐς οἴκους] ἀποφέρειν εἰς τὴν πατρίδα.

319. Ἀντίποινα] ἀμοιβαῖα.

Ib. Ἔοικα κἀγὼ | οἷον, κἀγὼ ἐξ ἴσου ἔλαῦν σε τοῖς ἀφιγμένοις ἐλεαῖσθαι ὥσπερ οἱ ἄλλοι ξένοι (φησὶ) περὶ ὧν λέγεις, ὥστε κἀγά σε οἰκτείρω.

322. Ἐγὼ δὲ κἀυτὸς] κἀγὼ νῦν μάρτυς εἰμὶ τοῖς ὑπὸ σοῦ λεγομένοις.

323. Ὡς

Ὡς εἶσ' ἀληθεῖς, οἶδα συντυχὼν κακῶν
Ἀνδρῶν Ἀτρειδῶν, τῆς τ' Ὀδυσσέως βίας.
ΦΙΛ. Ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις
Ἔγκλημ' Ἀτρείδαις, ὥστε θυμοῦσθαι, παθών;
ΝΕΟ. Θυμῷ γένοιτο χεῖρα πλησῶσαί ποτε,
Ἵν' αἱ Μυκῆναι γνοῖεν ἡ Σπάρτη θ', ὅτι
Χ' ἡ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.
ΦΙΛ. Εὖ γ', ὦ τέκνον· τίνος γὰρ ὧδε τὸν μέγαν
Χόλον κατ' αὐτῶν ἐγκαλῶν ἐλήλυθας;
ΝΕΟ. Ὦ παῖ Ποίαντος, ἐξερῶ· μόλις δ' ἐρῶ
Ἃ 'γωγ' ὑπ' αὐτῶν ἐξελωβήθην πολλῶν·
Ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν,
ΦΙΛ. (Οἴμοι, Φράσης μοι μὴ πέρα, πρὶν ἂν μάθω
Πρῶτον τόδ', εἰ τέθνηχ' ὁ Πηλέως γόνος.)
ΝΕΟ. Τέθνηκεν, ἀνδρὸς εὐδενοῦς, θεῷ δ' ὕπο
Τοξευτός, ὡς λέγουσιν, ἐκ Φοίβου δαμείς.
ΦΙΛ. Ἀλλ' εὐγενὴς μὲν ὁ κτανών τε χἀ θανών·
Ἀμηχανῶ δὲ πότερον, ὦ τέκνον, τὸ σὸν
Πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον σθένω.
ΝΕΟ. Οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ', ὦ τάλας,
Ἀλγήματ', ὥστε μὴ τὰ τῶν πέλας σθένειν.
ΦΙΛ. Ὀρθῶς ἔλεξας· τοιγαροῦν τὸ σὸν Φράσον
Αὖθις πάλιν μοι πρᾶγμ', ὅτῳ σ' ἐνύβρισαν.
ΝΕΟ. Ἦλθόν με νηὶ ποικιλοσκόλῳ μέτα

323. Ὡς εἶσ' ἀληθεῖς] οἱ σοὶ λόγοι δηλοῦσι.
324. Ἀνδρῶν Ἀτρειδῶν] περὶ τῶν Ἀτρειδῶν καὶ τοῦ Ὀδυσσέως.
327 Θυμῷ γένοιτο] εἴθε γένοιτό μοι ὠργισμένῳ κατ' αὐτῶν, καὶ τὴν δύναμιν ἐνδείξασθαι καὶ τιμωρήσασθαι αὐτούς.
332. Μόλις δ' ἐρῶ] ὑπὸ τῆς ὀργῆς.
337. Θεῷ δ' ὕπο τοξευτὸς] καὶ Ὅμηρος, "Δαιψηρῆσιν ὀλίσθαι Ἀπόλλωνος βελέεσσιν."
339. Ἀλλ' εὐγενὴς] ἀντὶ τοῦ, ἀνδρεῖος, ἀγαθὸς καὶ γενναῖος ὁ εὐγενής.
341. Ἐλέγχω] κρίνω, ἐξετάζω.
342. Οἶμαι μὲν] οἶμαι μέν σε ἱκανὸν ἔχειν κακῶν τὴν νόσον.
345. Αὖθις πάλιν μοι] τὸ Χ, ὅτι εἰς τὸ αὐτὸ εἶπεν, αὖθις καὶ πάλιν.
346. Ἦλθόν με νηὶ] μετῆλθόν με καὶ μετεπέμψαντο

Διὸς τ' Ὀδυσσεὺς, χ᾽ ὡ τροφεὺς * τἠμῷ πατρὸς,
Λέγονες, εἴτ' ἀληθὲς, εἴτ' ἄρ' ἓν μάτην,
Ὡς ἀ θέμις γένοιτ' †, ἐπεὶ κατέφθιτο
Πατὴρ ἐμὸς, τὰ Πέργαμ' ἄλλον ἢ μ' ἑλεῖν.
Ταῦτ', ὦ ξέν', ἔτως ἐννέπονες, ἀ πολὺν
Χρόνον μ' ἐπέσχον μή με ναυσολεῖν ταχύ.
Μάλιστα μὲν δὴ τῷ θανόντος ἡμέρᾳ,
Ὅπως ἴδοιμ' ἄθαπτον· ἀ γὰρ εἰδόμην.
Ἔπειτα μέντοι χ᾽ ὡ λόγος καλὸς προσῆν,
Εἰ τὰ πὶ Τροίᾳ ‡ Πέργαμ' αἱρήσοιμ' ἰών.
Ἦν δ' ἥμαρ ἤδη δεύτερον πλέοντί μοι·
Κἀγὼ σικρὸν Σίγειον ἐρίῳ πλάτῃ
Καθηγόμην· καί μ' εὐθὺς ἐν κύκλῳ στρατὸς
Ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
Τὸν ἐκέτ' ὄντα, ζῶντ' Ἀχιλλέα πάλιν.
Κεῖνος μὲν ἓν ἔκειτ'· ἐγὼ δ' ὁ δύσμορος
Ἐπεὶ δάκρυσα κεῖνον ἀ μακρῷ χρόνῳ,
Ἐλθὼν Ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
Τάθ' ὅπλ' ἀπῄτουν τῷ πατρὸς, τά τ' ἄλλ' ὅσ' ἦν.
Οἴδ' εἶπον (οἴμοι) τλημονέστατον λόγον,
Ὦ σπέρμ' Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
Πατρῷ ἕλέσθαι· τῶνδ' ὅπλων κείνων ἀνὴρ
Ἄλλος κρατύνει νῦν ὁ Λαρτίᾳ § γόνος.
Κἀγὼ δακρύσας, εὐθὺς ἐξανίσταμαι
Ὀργῇ βαρείᾳ, καὶ καλαγήσας, λέγω,

* Turn. in marg. τροφὸς.
† Ald. γίνοιτ'. rectè.
‡ Turn. in marg. Τροίαν.
§ Ald. Λαίρτᾳ. Turn. Λαρτίῳ.

τειμψαντο νηὶ, ἤτοι ἐζήτησαν, ὡς τὸ, μίστειμε τὸν ἄνδρα.

354. Ἄθαπτον] ζῶντα.

358. Σικρὸν Σίγειον] ἤτοι, διὰ τὸν Θάναλον τῶ Ἀχιλλέως, ἢ διὰ τὸ δυσχείμερον τῆ τόπε.

Ib. Οὐρίῳ πλάτῃ] τῷ εὐδίῳ πλῷ.

367. Οἴδ' εἶπον, οἴμοι] διὰ μέσε, τὸ οἴμοι, ἀποδυρόμενος φησίν.

373. Ὦ

Ὦ σχέτλι', ἦ τολμήσατ' ἀντ' ἐμοῦ τινὶ
Δόναι τὰ τεύχη τἀμὰ πρὶν μαθεῖν ἐμέ;
Ὁ δ' εἶπ' Ὀδυσσεύς, πλησίον γὰρ ὢν κύρει,
Ναὶ πᾶσ', δεδώκασ' ἐνδίκως ἔτοι τάδε.
Ἐγὼ γὰρ αὖτ' ἔσωσα κἀκεῖνον πάρα.
Κἀγὼ χολωθεὶς εὐθὺς, ἤρασσον κακοῖς
Τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
Εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
Ὁ δ' ἐνθάδ' ἥκων, καίπερ ὢ δύσοργος ὤν,
Δηχθεὶς πρὸς ἃ 'ξήκεσεν, ὧδ' ἠμείψατο·
Οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' ἔδρασ' ἔδει.
Καὶ ταῦτ' ἐπειδὴ καὶ λέγεις θρασυσομῶν,
Οὐ μήποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσῃς * ἔχων.
Τοιαῦτ' ἀκούσας, κἀξονειδισθεὶς κακὰ,
Πλέω πρὸς οἴκους τῶν ἐμῶν τητώμενος,
Πρὸς τῶ κακίστω κἀκ κακῶν Ὀδυσσέως.
Κἀκ αἰτιῶμαι κεῖνον ὡς τὰς ἐν τέλει.
Πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων,
Στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν,
Διδασκάλων λόγοισι γίγνονται κακοί.
Λόγος λέλεκται πᾶς· ὁ δ' Ἀτρείδας συγῶν,
Ἐμοίθ' ὁμοίως καὶ θεοῖς εἴη φίλος.

* Ald. Turn. ἐκπλεύσῃς.

373. Ὦ σχέτλι'] πρὸς τὸν Ἀγαμέμνονα.

374. Πρὶν μαθεῖν ἐμέ] ἀντὶ τοῦ, πρὶν ἐμὲ τοῦτο σθαι καὶ σχεῖν τὸ εὐδόσιμον.

378. Ἥρασσον] ἔβαλλον, κατηρώμην, ὕβριζον.

379. Οὐδὲν ἐνδεὲς] οὐδὲν ὕβρεως παραλιμπάνων.

383. Οὐκ ἦσθ' ἵν' ἡμεῖς] τότε (φησὶν) ἦτε τῷ Ἀχιλλέως πρωτεκινδυνεύομεν, οὐ παρῆς ὅθεν ἦν σε παρῆναι, ἀλλ' ἀπῆς ὅπου οὐκ ὤφελες.

385. Ἐκπλεύσῃς ἔχων] λείπει ὅπλα.

389 Κἀκ αἰτιῶμαι κεῖνον] καὶ ὁ μέμφομαι τοσοῦτον τῷ Ὀδυσσεῖ ὅσον τοῖς περὶ Ἀγαμέμνονα· αὐτοὶ γὰρ πάντων κρατοῦσι, καὶ ἐν αὐτοῖς ἦν τὰ ἐμὰ τὰ ὅπλα λαβεῖν.

391. Ἀκοσμοῦντες] ἄτακτα ἐργαζόμενοι. οἱ δὲ κακῶς φρονοῦντες, ὥσπερ ὁ Ὀδυσσεὺς κακῶς φρονεῖ, κἀκεῖνον ἐδίδαξαν εἶναι κακόν· ἐπὰν γὰρ οἱ βασιλεῖς κακῶς φρονῶσι, κακῶς δηλονότι καὶ οἱ ὑπήκοοι.

395. Ὁμοίως]

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὀρεσ́έρα παμβῶτι Γᾶ,
Μᾶτερ αὐτᾷ Διός,
Ἃ τὸν μέγαν Πακ[τωλὸν εὔχρυσον νέμεις,
Σὲ κἀκεῖ[μᾶτερ
Πότνι' ἐπηύδωμαν,
Ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν
Ὕβρις ὡσ' ἐχώρει,
Ὅτε τὰ πάτρια τεύ-
χεα παρεδίδοσαν,
Ἰὼ μάκαιρα ταυρο-
κτόνων λεόντων ἔφε-
δρε, τῷ Λαερτίᾳ
Σέβας ὑπέρτα[ον.-----

ΙΑΜΒΟΙ.

ΦΙΛ. Ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς
Λύπης, πρὸς ἡμᾶς, ὦ ξένοι, πεπλεύκα[ε·
Καί μοι προσάδεθ' ὥστε γινώσκειν, ὅτι
Ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα κἀξ Ὀδυσσέως.

395. Ὀρεσ́έρα] ὀρεία. ἡ αὐτὴ δὲ ἐστὶ ἡ Ῥέα καὶ Γῆ. ὀρεία δὲ, ὅτι ἐν τοῖς ὄρεσι τὰ μητρῶια αὐτῆς ἐπιτελεῖτο.

1b. Παμβῶτι Γᾶ] πολύτροφε, πάνλας τρέφουσα· παρὰ τὸ Ὁμηρικὸν, ζείδωρος ἄρουρα· διὰ δὲ τὸ ταύτην τὴν Θεὸν τιμᾶσθαι παρὰ Φρυξὶ, πρὸς αὐτὴν τὸν λόγον ποιεῖται.

396. Μᾶτερ αὐτᾷ Διός] ὅτι αὕτη ἐστὶ Ῥέα καὶ Γῆ.

397. Ἃ τὸν μέγαν Πακτωλὸν] Πακτωλὸς, ποταμὸς Λυδίας, ἔνθα ἡ Ῥέα τιμᾶται. χρυσῦ δὲ ψήγματα ἀπὸ τῆ Τμώλῳ τῆ ὄρες διὰ τῦ Πακτωλῦ καταφέρεται, λέγει δὲ πρὸς τὴν Ῥέαν.

398. Σὲ κἀκεῖ μᾶτερ] ἤγουν, καὶ τότε σε ἐπεκαλούμην ἢ ἐπεκαλεσάμην τιμωρήσασθαι τὸς περὶ Ἀγαμέμνονα, ὅτε περιείδοσαν τὰ ὅπλα τῷ Ἀχιλλέως· καὶ νῦν δὲ καλῶ ἵνα τότες τιμωρήσῃς.

402. Ὅτε τὰ πάτρια] τὰ ἑξῆς, ὅτε τὰ πατρικὰ ὅπλα παρεδίδοσαν, τῷ Λαερτίᾳ υἱῷ δηλονότι.

404. Μάκαιρα ταυροκτόνων λεόντων] ἐπεὶ ἅρματος γὰρ λεόντων ὀχεῖται ἡ Ῥέα.

406. Σέβας ὑπέρτα[ον] ὦ Ῥέα, ἤγουν, ἡ ὑπερτάτην τιμὴν ἔχουσα· ἢ νοητέον τοῦτο ἐπὶ τῶν ὅπλων.

410. Προσάδετε] συμφωνεῖτε.

416. Ἄιας

Ἔξοιδα γάρ νιν ϖαντὸς ἂν λόγϖ κακῷ
Γλώσσῃ θίγοντα, καὶ ϖανουργίας, ἀφ' ἧς
Μηδὲν δίκαιον ἐς τέλος μέλλει ϖοιεῖν.
Ἀλλ' ὅτι τῦτο θαῦμ' ἔμοιγ'· ἀλλ' εἰ ϖαρὼν
Αἴας ὁ μείζων ταῦθ ὁρῶν ἠνείχετο.
ΝΕΟ. Οὐκ ἦν ἔτι ζῶν, ὦ ξέν'· ὁ γὰρ ἂν ϖόλε
Ζῶντός γ' ἐκείνϵ, ταῦτ' ἐσυλήθην ἐγώ.
ΦΙΛ. Πῶς εἶπας; ἀλλ' ἦ χ' ὅτος οἴχεται θανών;
ΝΕΟ. Ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει.
ΦΙΛ. Οἴμοι τάλας· ἀλλ' ὀχ ὁ Τυδέως γόνος,
Οὐδ', ὑμπολητὸς Σισύφϖ Λαερτίϵ,
Οὐ μὴ θάνωσι; τάσδε γὰρ μὴ ζῆν ἔδει.
ΝΕΟ. Οὐ δῆτ'· ἐπίσω τῦτό γ'· ἀλλὰ καὶ μέγα
Θάλλοντες εἰσὶ νῦν ἐν Ἀργείων* ϛρατῷ.
ΦΙΛ. Τί δ', ὃς ϖαλαιὸς κἀγαθὸς φίλος τ' ἐμὸς,
Νέϛωρ ὁ Πύλιός ἐϛιν; ἦτος γὰρ τάγε
Κείνων κάκ' ἐξήρυκε βελεύων σοφῶς †.
ΝΕΟ. Κεῖνός γε ϖράσσει νῦν κακῶς· ἐπεὶ θανὼν
Ἀντίλοχος, αὐτῷ φρῆδος, ὅσπερ ἦν γόνος.
ΦΙΛ. Οἴμοι, δύ' αὐτὸς δεῖν' ἔλεξας ‡, οἷν ἐγὼ

* Turn. in marg. Ἀργείῳ.
† Turn. σαφῶς Turn. in marg. αὐτῷ δ' ἐξέδυξας.
‡ Ald. Turn. in textu, αὖτως δεῖν' ἔλεξας.

416. Αἴας ὁ μείζων] ἦγον, ὁ Τελαμώνιος.
421. Ὁ Τυδέως γόνος] σὺν Ὀδυσσεῖ γὰρ αὐτὸν ἐξέβαλε Διομήδης.
422. Σισύφῳ Λαερτίϵ] ἐκ Σισύφϵ γὰρ κύσασα ἡ Ἀντίκλεια ἡ τῷ Ὀδυσσέως μήτηρ ἐγαμήθη Λαέρτῃ καὶ διὰ τῦτό φησιν αὐτὸν ὥσπερ ϖεπρῶσθαι, ἐπειδὴ Λαέρτης ϖολλὰ δὸς χρήματα, ἠγάγετο τὴν Ἀντίκλειαν. Τὸ Χ δὲ, ὅτι ϖάλιν Λαερτίϵ κτητικὸν ἀντὶ ϖρωτοπτώτε Λαέρτα.
424. Οὐ δῆτ', ἐπίσω τῦτο] τὸ ἐπίσω κατὰ ϖάθος ἐϛιν· ἀπὸ γὰρ τῦ ἐπίσασο γίνεται ἐπίσω κατὰ ἀφαίρεσιν τῦ σ, ὡς καὶ ἀπὸ τῦ ἐτίθεσο τὸ ἐτίθει, καὶ τῦ ἔθεσο τὸ ἔθη.
428. Κείνων κἀκ' ἐξήρυκε] γράφεται, κἀξεκήρυξεν.
430. Ὅσπερ ἦν μόνος] οἱ μὲν γράφοντες μόνος, ϖαρ' ἱϛορίαν φασὶν· εἶχε γὰρ καὶ ἄλλους· οἱ δὲ γόνος, τῷ ϖοιητῇ ἀκολουθοῦντες λέγουσιν.
431. Δύ' αὐτὸς δεῖν' ἔλεξας] γράφεται δὺ' αὐτὼ δ' ἐξέδυξας, δυϊκῶς.

Ἦκις' ἂν ἠθέλησ', ὀλωλότοιν κλύειν.
Φεῦ, φεῦ· τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν
Τεθνᾶσ'· Ὀδυσσεὺς δ' ἐστὶν αὖ κἀνταῦθ', ἵνα
Χρὴν ἀντὶ τῶτων αὐτὸν αὐδᾶσθαι νεκρόν;
ΝΕΟ. Σοφὸς φαλαιτὴς κεῖνος· "ἀλλὰ χ' αἱ σοφαὶ
"Γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά."
ΦΙΛ. Φέρ' εἰπὲ πρὸς θεῶν, πῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὅς σοι πατρὸς ἦν τὰ φίλτατα;
ΝΕΟ. Χ' ὅτος τεθνηκὼς ἦν· λόγῳ δέ σε βραχεῖ
Τῦτ' ἐκδιδάξω· "πόλεμος οὐδέν' ἄνδρ' ἐκὼν
"Αἴρει πονηρὸν, ἀλλὰ τὺς χρηστὺς ἀεί."
ΦΙΛ. Ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τῦτό γε,
Ἀναξίᾳ μὲν φωτὸς ἐξερήσομαι,
Γλώσσῃ δὲ δεινῇ καὶ σοφῇ· τί νῦν κυρεῖ;
ΝΕΟ. Ποίᾳ τε * τύτᾳ, πλὴν γ' Ὀδυσσέως ἐρεῖς;
ΦΙΛ. Οὐ τῦτον εἶπον· ἀλλὰ Θερσίτης τις ἦν,
Ὃς ἐκ ἂν εἴλετ' εἰσάπαξ εἰπεῖν ὅπᾳ
Μηδεὶς ἐῴη †· τῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;
ΝΕΟ. Οὐκ εἶδον αὐτόν· ἠσθόμην δ' ἔτ' ὄντά νιν.
ΦΙΛ. Ἐμελλ'· ἐπεί οὐδέπω ‡ κακόν γ' ἀπώλεσο,
Ἀλλ' εὖ περισέλλυσιν αὐτὰ δαίμονες·
Καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ,

* ALD. TURN. Ποίᾳ τι. † TURN. in marg. ἰὼν. ‡ ALD. οὐδέπω.

434. Τεθνᾶσ'· Ὀδυσσεὺς δ' ἐστὶν αὖ κἀνταῦθ'] ἐν τοῖς ζῶσι.

436. Σοφὸς παλαιστὴς] σοφὸς μέν ἐστιν, ἀλλ' οὐ δίκαια ἔρχεται· αἱ γὰρ τοιαῦται γνῶμαι καταβάλλονται πολλάκις.

448. Ὃς ἐκ ἂν εἵλετο] ἀντὶ τοῦ, ὃν ἐκ ἠθέλησεν εἰς ἅπαξ ἀκοῦσαι, τοῦτο πολλάκις ἔλεγε.

449. Μηδεὶς ἰὼν] γράφεται ἰᾷ.

450. Ἠσθόμην δ' ἔτ' ὄντά νιν] τοῦτο παρ' ὑποψίαν. λέγεται γὰρ ὑπὸ Ἀχιλλέως ἀπηχθῆσθαι, καθ' ὃν χρόνον καὶ τὴν Πενθεσίλειαν ἀνεῖλε φονευθείσης γὰρ ὑπὸ Ἀχιλλέως τῆς Πενθεσιλείας, ὁ Θερσίτης ὀξέως ἔπληξε τὸν ὀφθαλμὸν αὐτῆς· διὸ ὀργισθεὶς ὁ Ἀχιλλεὺς κονδύλοις αὐτὸν ἀνεῖλε. λέγεται καὶ μετὰ θάνατον ἱρασθῆναι αὐτῆς.

451. Ἐπεὶ δ'] συνίζησις.

453. Καὶ παλιντριβῆ] τετριμμένα τοῖς κακοῖς.

454. Ἀναξί-

Χαίρωσ' ἀναστρέφον]ες ἐξ ᾅδου· τὰ δὲ
Δίκαια καὶ τὰ χρήσ' ἀποστέλλωσ' ἀεί.
Πῶ χρὴ τίθεσθαι ταῦτα, πῶ δ' αἰνεῖν, ὅταν
Τὰ θεῖ' ἐπαινῶν, τὺς θεοὺς εὕρω κακύς;

ΝΕΟ. Ἐγὼ μὲν, ὦ γένεθλον Οἰταίω πατρὸς,
Τολοιπὸν ἤδη τηλόθεν τό, τ' Ἴλιον
Καὶ τὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι.
" Ὅπω δ' ὁ χείρων τἀγαθῶ μεῖζον σθένει,
" Κἀποφθίνει τὰ χρησὰ, χ' ὡ δεινὸς κρα]εῖ,
" Τύτως ἐγὼ τὺς ἄνδρας ὐ σέρξω ποτέ."
Ἀλλ' ἡ πε]ραία Σκῦρος ἐξαρκέσά μοι
Ἔσαι τολοιπὸν, ὥστε τέρπεσθαι δόμῳ.
Νῦν δ' εἶμι πρὸς ναῦν· καὶ σὺ, Ποίαντος τέκνον,
Χαῖρ' ὡς μέγισα, χαῖρε· καὶ σε δαίμονες
Νόσω με]ασήσειαν, ὡς αὐτὸς θέλεις.
Ἡμεῖς δ' ἴωμεν· ὡς, ὁπηνίκ' ἂν θεὸς
Πλῶν ἡμῖν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.-----

ΦΙΛ. Ἥδη, τέκνον, σέλλεσθε;

ΝΕΟ. Καιρὸς γὰρ καλεῖ
Πλῶν μὴ 'ξ ἀπόπ]ω μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.

ΦΙΛ. Πρὸς νύν σε πατρὸς πρός τε μη]ρὸς, ὦ τέκνον,

454. Ἀναστρέφοντις ἐξ ᾅδου] σώζουσιν ἐξ ᾅδου τὺς ἐπιτρίπτως καὶ ἀολεμῶς.

456. Ταῦτα] τὰ γιγνόμινα.

457. Τὰ Διῖ'] ἔργα δηλονότι· νοσῶν δὲ δυσφημεῖ.

458. Οἰταίω πατρὸς] ὄρος τῆς Τρυχῖνος ἡ Οἴτη· Τραχίνιος δὲ ὁ Φιλοκτήτης ἦν καὶ Μηλιεύς.

461. Ὅπω γ' ὁ χείρων] ὅπω ὁ κακὸς πλέον ἰσχύω.

462. Χ' ὡ δεινὸς κρατεῖ] καὶ ὁ κακὸς νικᾷ τὸν ἀγαθόν. Ἡσίοδος,

" Βλάπτει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα".

καὶ Ὅμηρος,

" Ἐπὶ τὸ χεῖρον νικᾷ."

468. Μεταχήσειαν] ἀπαλλάξειαν.

470. Πλῶν ἡμῖν εἴκῃ] διὰ, συγχωρήσῃ.

473. Μᾶλλον ἢ 'γγύθεν] καιρὸς καλεῖ (φησὶν) μᾶλλον ἐκ τῆ σύνεγγυς, μὴ ἐξ ἀπόπτου τὸν πλῶν σκοπεῖν, ἤγουν, μακρόθεν.

Πρός τ', εἴ τι σοι κατ' οἶκόν ἐστι προσφιλὲς,
Ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' ὧδ' ἔτω μόνον,
Ἔρημον ἐν κακοῖσι τοῖσδ', οἷς ὁρᾷς,
Ὅσοισί τ' ἐξήκεσας ἐναίοντά με·
Ἀλλ' ἐν παρέργῳ θοῦ με· δυσχέρεια μὲν
(Ἔξοιδα) πολλὴ τοῦδε τοῦ φορήματος·
Ὅμως δὲ τλῆθι· "τοῖσι γενναίοισί τοι
"Τό, τ' αἰσχρὸν ἐχθρὸν, καὶ τὸ χρηστὸν εὐκλεές."
Σοὶ δ' ἐκλιπόντι τοῦτ', ὄνειδος ᾖ καλόν·
Δράσανθι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
Ἐὰν μόλω γὼ ζῶν πρὸς Οἰταίαν χθόνα,
Ἰθ', ἡμέρας * τοι μόχθος ἐκ ὅλης μιᾶς.
Τόλμησον, ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων,
Ἐς ἀντλίαν, ἐς πρῴραν, ἐς πρύμναν θ', ὅποι
Ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
Νεῦσον πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον·
Πείσθητι· προσπίπτω σε γόνασι, καίπερ ὢν
Ἀκράτωρ, ὁ τλήμων, χωλός· ἀλλὰ μή μ' ἀφῇς
Ἔρημον ἔτω χωρὶς ἀνθρώπων σίβου·
Ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
Ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σαθμά·
Κἀκεῖθεν ἤδη μοι μακρὸς εἰς Οἴτην σόλος,
Τραχινίαν τε δειράδα, καὶ τὸν εὔροον

* Turn. Ὀλ' ἡμέρας.

478. Ὅσοισί τ' ἐξήκεσας] κακοῖς ἐνλονότι.

479. Ἀλλ' ἐν παρέργῳ] οἷον, ὡς ἐν τετιμημένῳ μέρει τῆς νεὼς με θοῦ, ἀλλ' ὅπῃ βούλει. φησὶ δὲ ταῦτα ἐν τοῖς ἑξῆς.

481. Ὅμως δὲ τλῆθι] ὅμως δὲ σῶσόν με καὶ πολλὴν δυσχέρειάν ἐστι τῷ πράγματι. γινώσκων ὅτι τοῖς εὐγενέσι τὸ αἰσχρὸν ἐχθρόν ἐστι, καὶ τὸ καλὸν ἐναντίον.

488. Εἰς ἀντλίαν, εἰς πρῴραν] τὸ ἐν παρέργῳ τοῦτο νῦν ἐνεφάνισεν, ὅπερ προείρηκεν, Ἀλλ' ἐν παρέργῳ θοῦ με.

492. Ἀκράτωρ] ἀσθενὴς, κρατεῖν ἑαυτοῦ μὴ δυνάμενος.

494. Χαλκώδοντος] καὶ Ὅμηρος,
"Χαλκωδοντιάδης μεγαθύμων ἀρχὸς Ἀ-
"βάντων."

501. Ὃν

Σπερχειὸν ἔσαι, πατρὶ μ' ὡς δείξῃς φίλῳ·
Ὃν δὴ παλαιὸν ἐξότε * δέδοικ' ἐγὼ
Μή μοι βεβήκοι †· πολλὰ γὰρ τοῖς ἐκμένοις
Ἔσελλον αὐτὸς, ἱκεσίᾳς πέμπων λιτὰς,
Αὐτόσολον πέμψαντά μ' ἐκσῶσαι δόμοις.
Ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων
(Ὡς εἰκὸς) οἶμαι, τὲμὸν ἐν σμικρῷ μέρος
Ποιούμενοι, τὸν οἶκαδ' ἥπειγον σόλον.
Νῦν δ' εἰς σὲ γὰρ πομπόν τε κἀυτὸν ‡ ἄγγελον
Ἥκω· σὺ σῶσον· σύ μ' ἐλέησον, εἰσορῶν
" Ὡς πάντα δεινὰ κἀπικηδύνως βροτοῖς
" Κεῖται· παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα.
" Χρὴ δ' ἐκτὸς ὄντα πημάτων, τὰ δεῖν' ὁρᾶν·
" Χ' ὅταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
" Σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ."

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΑΟΓ. Οἴκτειρ', ἄναξ· πολλῶν δ' ἔλε-
ξεν δυσοίστων πόνων
Ἄθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων·
Εἰ δὲ πικρὸς, ἄναξ,
Ἔχθεις Ἀτρείδας,
Ἐγὼ μὲν τὸ κείνων

* ALD. ὃν δὴ παλαί' ἂν ἐξότε. † TURN. in marg. βεβήκοι.
‡ ALD. κἀυτόν.

499. Ὃν δὴ παλαί' ἂν] δι' ὃν δὴ περὶ πολλῷ χρόνῳ ἠυλαβήθην μὴ τεθνηκώς ᾖ.

500. Τοῖς ἐκμένοις] ἀντὶ τῶν, διὰ τῶν ἐκμένων καὶ περιμενόντων· ἐγὼ γὰρ ἀκίνητός εἰμι· ἢ τοῖς ἐκμένοις καὶ ἀμφιγμένοις ἐνταῦθα.

507. Σὺ σῶσον] σῶσόν με, γιγνώσκων τὰ ἀνθρώπεια πράγματα μεταβαλλόμενα.

514. Δυσαίζων] ἀφορήτων, δυσυποφερήτων.

518. Ἐγὼ μὲν τὸ κείνων κακὸν] τὸ ἐκείνους λυπῶν, τούτῳ κέρδος καὶ ὠφέλειαν μεταποιῶν. ἢ τὸ κακὸν τὸ ἀπὸ τῶν Ἀτρειδῶν μετατιθέμενος τῷ Φιλοκτήτῃ, οἷον εἰς ἀγαθὸν μεταποιῶν, καὶ μεταβάλλων καὶ ἐπανορθῶν. λέγει γὰρ ὅτι, βοηθήσω αὐτῷ ἵνα ἐκείνους λυπήσω, ἐπανορθῶν αὐτῷ τὴν συμφορὰν τὴν ὑπὸ τῶν Ἀτρειδῶν γεγονυῖαν.

526. Ὅρα

Κακὸν τῷδε κέρδος
Μέγα τιθέμενος, ἔν-
θάπερ ἐπιμέμονεν *,
Ἐπ' εὐσόλῳ ταχείας
Νεὼς πορεύσαιμ' ἂν ἐς
Δόμους, τὰν ἐκ θεῶν
Νέμεσιν ἐκφυγών.

ΧΟΡ.

ΙΑΜΒΟΙ.

ΝΕΟ. Ὅρα σὺ, μὴ νῦν μέν τις εὐχερὴς πάρῃ·
Ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίας,
Τότ' ἐκέθ' οὗτος † τοῖς λόγοις τούτοις φανῇς.
ΧΟΡ. Ἧκισα· τοῦτ' οὐκ ἔσθ' ὅπως ποτ' εἰς ἐμὲ
Τἄνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.
ΝΕΟ. Ἀλλ' αἰσχρὰ μέντοι, σοῦ γέ μ' ἐνδεέστερον
Ξένῳ φανῆναι πρὸς τὸ καίριον πονεῖν.
Ἀλλ', εἰ δοκεῖ, πλέωμεν· ὁρμάσθω ταχύς·
Χ'ἡ ναῦς γὰρ ἄξει, κοὐκ ἀπαρνηθήσεται.
Μόνον θεοὶ σώζοιεν ἔκ γε τῆσδε γῆς
Ἡμᾶς, ὅποι τ' ἐνθένδε βουλοίμεσθα πλεῖν.
ΦΙΛ. Ὦ φίλταλον μὲν ἦμαρ, ἥδιστος δ' ἀνὴρ,
Φίλοι δὲ ναῦται, πῶς ἂν ὑμῖν ἐμφανὴς
Ἔργῳ γενοίμην ὥς μ' ἔθεσθε προσφιλῆ;

* Turn. in marg. ἐπιμέμηνεν. Ald. ἐπεὶ μέμονεν.
† Turn. in marg. οὐκέτ' αὐτὸς.

526. Ὅρα σὺ] ὃν ἡμεῖς εὔκολον, τοῦτον εὐχερῆ λεγόντες, ὥσπερ καὶ τὸν δύσκολον, δυσχερῆ· ὅρα δὲ (φησὶ) μὴ πανοῦν εὐχερὴς φαινόμενος ἐπὶ τῷ ἀπαγαγεῖν τὸν Φιλοκτήτην, ὕστερον δυσχερὴς γένῃ, ὅτε τῇ συνουσίᾳ τῆς νήσου πλησθῇς ἐν τῇ νηΐ.

531. Ἀλλ' αἰσχρὰ μέντοι] ἀλλ' αἰσχύνης ἐστὶν ἐνδεέστερόν σε εἶναι με ἐν τῷ βοηθεῖν τοῖς φίλοις. ἢ ὅτως· αἰσχρόν ἐστιν εἰ ἐνδεέστερόν σου διαπεθήσομαι περὶ τὴν εἰς τοὺς ξένους εὐεργεσίαν· ὃ παραιτήσομαι ἐγώ.

538. Πῶς ἂν ὑμῖν] πῶς ἂν ἀποδοίην τὰς εὐεργεσίας ὑμῶν ὡς ἐφιλήσατέ με; ἢ πῶς ἂν τῷ ἔργῳ εἰ πράξαιμι καὶ τῷ λόγῳ ὑμᾶς;

540. Πρακτέ-

Ἴωμεν, ὦ παῖ, προσκύσαντες τὴν ἔσω
Ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
Ἀφ' ὧν διέζων, ὥς τ' ἔφυν εὐκάρδιος.
Οἶμαι γὰρ ὐδ' ἂν ὄμμασιν μόνην θέαν
Ἄλλου λαβόντα πλὴν ἐμοῦ, πλῆναι τάδε.
Ἐγὼ δ' ἀνάγκῃ πρὸς μαθὸν σέργειν τάδε *.
ΧΟΡ. Ἐπίσχεσον, μάθωμεν· ἄνδρε γὰρ δύω,
Ὁ μὲν, νεὼς σῆς ναυβάτης, ὁ δ' ἀλλόθροος,
Χωρεῖτον· ὧν μαθόντες, αὖθις εἴσιμον.
ΕΜΠ. Ἀχιλλέως παῖ, τόνδε τὸν ξυγέμπορον,
Ὃς ἦν νεὼς σῆς σὺν δυοῖν ἄλλοιν φύλαξ,
Ἐκέλευσ' ἐμοί σε πρὸς κυρῶν εἴης φράσαι,
Ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν ἃ,
Τύχῃ δέ πως πρὸς ταυτὸν ὁρμισθεὶς πέδον.
Πλέων γὰρ ὡς ναύκληρος ἃ πολλῷ σόλῳ
Ἀπ' Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας, ὅτι
Σοὶ πάντες εἶεν οἱ νεανσοληκότες,
Ἔδοξέ μοι μὴ σῖγα, πρὶν φράσαιμί σοι,
Τὸν πλοῦν ποιεῖσθαι, προσυχόνθι τῶν ἴσων.

* Ald. Turn. in textu σέργειν τάδε.

540. Προσκύσαντες τὴν ἔσω] ἀσπασάμενοι τὴν ἐρίαν.

541. Ἄοικον] δύσοικον, ὥσπερ ἀτυχής, ὁ δυστυχής.

542. Εὐκάρδιος] καρτερικός.

543. Οἶμαι γὰρ] ἐγὼ γὰρ ὑπολαμβάνω μηδένα ἄλλον τὴν θέαν τῶν ἐνθάδε ἐνεγκεῖν. ποσῷ μᾶλλον τὴν οἴκησιν;

545. Στέργειν τάδε] γράφεται, σέργειν καλά.

549. Ἀχιλλέως παῖ, τόνδε τὸν ξυγέμπορον] ὅτος ὁ ἔμπορος διαπλαγεὶς ὑπὸ Ὀδυσσέως, πονηρὸς, πραγματευτὴς, πανοῦργος τοῖς Ἕλλησι τὰ ἐπιτήδεια ἐπάγειν. ἔοικε δὲ καὶ οἶνον αὐτὸν διαπλάττεσθαι πραγματευτήν.

552, 553. Δοξάζων μὲν ἃ, τύχῃ δέ πως] ἀντὶ τοῦ, οὐκ ἐπίτηδες ἦλθον ἐνταῦθα, ἀλλὰ πλέων ἐπὶ τὴν πατρίδα, ἐμὰν ὥρμησα. ἐκ οἰόμενος, (φησὶ) συντυχήσεσθαι, κατὰ τύχην δέ.

555. Εὔβοτρυν Πεπάρηθον] Πεπάρηθος, δῆμος τῆς Ἀττικῆς, καὶ μία τῶν Κυκλάδων νήσων.

559. Προσυχόντι τῶν ἴσων] ἀντὶ τοῦ, εὑρόντι τὰς σὰς ναῦτας τὰς ἐμοὶ ἴσας, τὰς τὴν αὐτὴν μοι τύχην μετερχομένας. ἢ τῶν ἴσων, ἀντὶ τοῦ ἐκ τῶν ἴσων, παραλέλειπται γὰρ ἡ ἐξ. βούλεται γὰρ λέγειν, ἐκ τῶν ἴσων.

563. Ἐξαρχόμενα]

Οὐδὲν σύ ϖϐ κάτοισθα τῶν σαυτῦ ϖέρι·
Ἃ τοῖσιν Ἀργείοισιν ἀμφί σϐ νέα *
Βϐελεύματ' ἐϛί· κϐ μόνον βϐελεύμαϛα,
Ἀλλ' ἔργα δρώμεν', ϐκέτ' ἐξαργέμενα·-----
ΝΕΟ. Ἀλλ' ἡ χάρις μὲν τῆς ϖρομηθείας, ξένε,
Εἰ μὴ κακὸς ϖέφυκα, ϖροσφιλὴς μενεῖ.
Φράσον δ' ἅπερ γ' ἔλεξας, ὡς μάθω τί μοι
Νεώτερον βέλευμ' ἀϖ' Ἀργείων ἔχεις.
ΕΜΠ. Φρῦδοι διώκοντές σε ναυϛικῷ ϛόλῳ,
Φοίνιξ θ' ὁ ϖρέσβυς, οἵ τε Θησέως κόροι.
ΝΕΟ. Ὡς ἐκ βίας μ' ἄξοντες, ἢ λόγοις ϖάλιν;
ΕΜΠ. Οὐκ οἶδ'· ἀκέσας δ' ἄγγελος ϖάρειμί σοι.
ΝΕΟ. Ἦ ταῦτα δὴ Φοίνιξ τε χἰ οἱ ξυνναυβάται
Οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;
ΕΜΠ. Ὡς ταῦτ' ἐπίσω δρώμεν', ϐ μέλλοντ' ἔτι.
ΝΕΟ. Πῶς ἦν Ὀδυσσεὺς ϖρὸς τάδ' ϐκ αὐτάγγελος
Πλεῖν ἦν ἕτοιμος; ἢ φόβος τὶς εἶργέ νιν;
ΕΜΠ. Κεῖνός, γ' ἐϖ' ἄλλον ἄνδρ', ὁ Τυδέως τε ϖαῖς,
Ἕϛελλον ἡνίκ' ἐξανηγόμην ἔγω †.
ΝΕΟ. Προὶοῖον ἂν τόνδ' αὐτὸς Ὀὐδυσσεὺς ‡ ἔϖλει;
ΕΜΠ. Ἦν δή τις· ἀλλὰ τόνδέ μοι ϖρῶτον φράσον,
Τίς ἐϛιν· ἂν λέγῃς δὲ, μὴ φώνει μέγα,
ΝΕΟ. Ὃδ' ἔϛθ' ὁ κλεινός σοι Φιλοκτήτης, ξένε.
ΕΜΠ. Μὴ νῦν μ' ἔρῃ τὰ ϖλείον', ἀλλ' ὅϛον τάχος
Ἔκϖλει, σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.

* Ald. ἀμφὶ σἔ νεκα. Turn. ἀμφί σ' ἕνεκα.
† Ald. Turn. ἔσω. ‡ Ald. Turn. Ὀὐδυσσεὺς.

563. Ἐξαργέμενα] ἀναβολὴν ἔχοντα.
564. Ἀλλ' ἡ χάρις μὲν] ἔϛαι σοὶ χάρις τῆς ϖρομηθείας ὕϛερον.
563. Φρῦδοι] ἀφανεῖς,
569. Οἵ τε Θησέως κόροι] Ἀκάμας καὶ Δημοφῶν· ὧν ϐ μέμνηται Ὅμηρος ἐν τῷ καταλόγῳ.
586. Διημπολῶ]

ΦΙΛ. Τί φησιν, ὦ παῖ; τί με κατὰ σκότον ποτὲ
Διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης;
ΝΕΟ. Οὐκ οἶδά πω τί φησι· δεῖ δ' αὐτὸν λέγειν
Εἰς φῶς, ὃ λέξει πρός σε κἀμέ, τὰς δέ τε.
ΕΜΠ. Ὦ σπέρμ' Ἀχιλλέως, μή με διαβάλλῃς στρατῷ,
Λέγονθ' ἃ μὴ δεῖ· πολλ' ἐγὼ κείνων ὕπο
Δρῶν ἀντιπάσχω χρηστά γ', οἵ' ἀνὴρ πένης.
ΝΕΟ. Ἐγώ 'μ' Ἀτρείδαις δυσμενής· ὅτος δέ μοι
Φίλος μέγιστος, ἕνεκ' Ἀτρέως στυγεῖ.
Δεῖ δή σ' ἔμοιγ' ἐλθόνθ', ὡς προσφιλῆ λόγον
Κρύψαι πρὸς ἡμᾶς μηδέν' ὧν ἀκήκοας.
ΕΜΠ. Ὅρα τί ποιεῖς, παῖ.
ΝΕΟ. Σκοπῶ κἀγὼ πάλαι.
ΕΜΠ. Σὲ θήσομαι τῶνδ' αἴτιον.
ΝΕΟ. Ποιᾷ, λέγων;
ΕΜΠ. Λέγω, 'πὶ τοῦτον ἄνδρε τώδ' ὥσπερ κλύεις,
Ὁ Τυδέως παῖς, ἥ τ' Ὀδυσσέως βία,
Δικώμοι πλέουσιν, ἢ μὴν ἢ λόγῳ
Πείσαντες ἄξειν ἢ πρὸς ἰσχύος κράτος.
Καὶ ταῦτ' Ἀχαιοὶ πάντες ἦκον σαφῶς
Ὀδυσσέως λέγοντος· ὅτος γὰρ πλέον
Τὸ θάρσος εἶχε θατέρᾳ, δράσειν τάδε.-----
ΝΕΟ. Τίνος δ' Ἀτρεῖδαι τῆδ' ἄγαν ὕτω χρόνῳ

586. Διεμπολᾷ] λάθρα ἀπατᾷ.
589. Μή με διαβάλλῃς] μὴ διαβάλῃς με (φησὶ) τῷ τῶν Ἑλλήνων στρατῷ· ἐνεργετήθην γὰρ ὑπ' αὐτῶν πολλά.
590. Πολλ' ἐγὼ κείνων ὕπο] ὑπ' ἐκείνων εὐεργετούμενος, ἀντενεργετῶ αὐτοὺς ὡς δύναται τὶς εὐεργετεῖν, ὑπηρετῶν. λέγεται δὲ τὸ πάσχειν καὶ ἐπὶ ἀγαθῶ.
596. Ὅρα τί ποιεῖς, παῖ] ταῦτα πλαγίως νοητέον.
598. Σὲ θήσομαι τῶνδ' αἴτιον] αἰτιόν σε ποιήσω τῶν πραττομένων.
599. Ποιᾷ, λέγων] ποιὸς μὲ αἴτιον ὢν μέλλεις λέγειν;
600. Ἄνδρε τώδε] ὅτοι οἱ ἄνδρες αἴτινες ἐκεῖνοι.
602. Ἢ μὴν] ὄντως μήν.
606. Τὸ θάρσος εἶχε θατέρᾳ] τῷ Διομήδει, εὐτολμότερος γὰρ ἦν εἰς τὰ δρᾶσαι ταῦτα.
607. Τίνος δ' Ἀτρεῖδαι] τίνες πράγματος χάριν

Τοσῷδ' ἐπεσρέφοντο πράγμαθος χάριν,
Ὃν τ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες;
Τίς ὁ πόθος αὐτὸς ἵκετ', ἢ θεῶν βία,
Καὶ νέμεσις, οἵπερ ἔργ' ἀμύνουσιν κακά;
ΕΜΠ. Ἐγώ σε τοῦτ' (ἴσως γὰρ οὐκ ἀκήκοας)
Πᾶν ἐκδιδάξω· μάντις ἦν τις εὐγενὴς,
Πριάμου μὲν υἱὸς, ὄνομα δ' ὠνομάζετο
Ἕλενος, ὃν ἔτος νυκτὸς ἐξελθὼν μόνος
Ὁ πανθ' ἁκούων αἰσχρὰ καὶ λωβήτ' ἔπη
Δόλιος Ὀδυσσεὺς εἷλε· δέσμιόν τ' ἄγων,
Ἔδειξ' Ἀχαιοῖς ἐς μέσον θήραν καλήν·
Ὃς δὴ τά τ' ἄλλ' αὐτοῖσι πάντ' ἐθέσπισε,
Καὶ ταὐπὶ Τροίᾳ Πέργαμ' ὡς οὐ μή ποτε
Πέρσοιεν, εἰ μὴ τόνδε πεισανθες λόγῳ
Ἄγοιντο νήσου τῆσδ', ἐφ' ἧς ναίει τανῦν.
Καὶ ταῦθ' ὅπως ἤκουσεν ὁ Λαέρτου τόκος
Τὸν μάντιν εἰπόντ', εὐθέως ὑπέσχετο
Τὸν ἄνδρ' Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων·
Οἵοιτο μὲν, μάλισθ' ἑκόσιον λαβών.
Εἰ μὴ θέλοι δ', ἄκοντα· καὶ τοὔτων, κάρα
Τέμνειν ἐφεῖτο τῷ θέλοντι, μὴ τυχών.
Ἤκουσας, ὦ παῖ, πάντα· τὸ σπεύδειν δέ σοι
Καὐτῷ παραινῶ, κεἴ τινος κήδῃ πέρι.
ΦΙΛ. Οἴμοι τάλας· ἦ κεῖνος ἡ πᾶσα βλάβη
Ἐμ' εἰς Ἀχαιοὺς ὤμοσεν πεισας ἑλεῖν;

χάριν οὕτω διὰ τοσούτου χρόνου ἐπισράφησαν καὶ φροντίδα ἐποιήσαντο τῶν Φιλοκτήτου οἱ Ἀτρεΐδαι, τοῦ παλαι ἐξ αὐτῶν ἀπεβληθέντος; τίς πόθος εἰς τοῦτο αὐτοὺς ἐκίνησεν, ἀπαγαγεῖν αὐτὸν δηλονότι εἰς Τροίαν;

616. Ὁ πάντ' ἀκούων αἰσχρὰ] ὁ ὑπὸ πάντων ὑβριζόμενος.

618. Θήραν καλὴν] οὐχ ἁπλῶς εἶπε τὴν θήραν καλὴν, ἀλλὰ διὰ τὴν πόρθησιν τῆς Ἰλίου· αὐτὸς γὰρ ἐμηνεύει τὸν τρόπον τὸν πορθήσεως.

625. Δηλώσειν] δείξειν.

628. Τέμνειν ἐφεῖτο] ὑπέσχετο ἐπηγγείλατο.

632. Ἑλεῖν] πίμψαι.

634. Ἦσθ'

Πεισθήσομαι γὰρ ὧδε κἀξ ἅδε θανὼν
Πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὐκείνε πατήρ.
ΕΜΠ. Οὐκ οἶδ' ἐγὼ ταῦτ'· ἀλλ' ἐγὼ μὲν εἶμ' ἐπὶ
Ναῦν, σφῶϊν δ' ὅπως ἄρισα συμφέροι θεός.
ΦΙΛ. Οὔκουν τάδ', ὦ παῖ, δεινὰ, τὸν Λαερτίε
Ἐμ' ἐλπίσαι ποτ' ἂν λόγοισι μαλθακοῖς
Δεῖξαι νεὼς ἄγοντ' ἐν Ἀργείοις μέσοις;
Οὔ· θᾶσσον ἂν τῆς πλεῖσον ἐχθίσης ἐμοὶ
Κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπαν.
Ἀλλ', ἐς' ἐκείνῳ πάντα λεκτὰ, πάντα δὲ
Τολμητά· καὶ νῦν οἶδ' ὅθ' ἥνεχ' ἵξεται.
Ἀλλ', ὦ τέκνον, χωρώμεν· ὡς ἡμᾶς πολὺ
Πέλαγος ὁριζει τῆς Ὀδυσσέως νεώς.
Ἴωμεν· "ἦτοι καίριος σπουδὴ, πόνε
Λήξαντος, ὕπνον καὶ ναπαυλαν ἤγαγεν."----
ΝΕΟ. Οὐκοῦν ἐπειδὰν πνεῦμα τὠκ πρώρας ἀχῇ,
Τότε σελῶμεν· νῦν γὰρ ἀηλιοσαλεῖ.
ΦΙΛ. Ἀεὶ καλὸς πλοῦς ἔσθ' ὅταν φεύγῃς κακά.
ΝΕΟ. Οὔκ· ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.
ΦΙΛ. Οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναλιόμενον.
Ὅταν παρῇ κλέψαι τε χ,' ἁρπάσαι βίᾳ.

634. Ὥσπερ ὐκείνε πατὴς] ὁ Σίσυφος, μέλλων γὰρ τελευτᾶν παρήγγειλε τῇ γυναικὶ αὐτοῦ ἄταφον αὐτὸν καταλιπεῖν. καὶ κατελθὼν εἰς ᾅδου τῶν νομισμένων μὴ τυχὼν κατηγόρησε τῆς γυναικὸς παρὰ τῷ Αἰάκου, ἐξὸν τι ἀνελθεῖν αὖθις, καὶ τὴν γυναῖκα τιμωρήσασθαι. ἀνελθὼν δὲ, οὐκ ἔτι ὑπέστρεψεν, ὡς μετ' ὀλίγης κατῆλθεν. ἐκ πατρὸς δὴ πανοῦργος ὁ Ὀδυσσεύς.

637. Οὔκουν τάδε] ἀποφαλικῶς ἢ ἰρωϊηματικῶς.

640. Οὔ· θᾶσσον] τάχιον ἂν πυθοίμην τῆ ἐχίδνῃ ἢ τῷ Ὀδυσσεῖ.

645. Ὁρίζει] διίστησιν.

646. Ἦτοι καίριος σπουδὴ] τὸ ἐγκαίρως σπουδάζειν, ἀνάπαυλαν ἄγειν ἔοικεν.

648. Τὠκ πρώρας ἀχῇ] ἤγειρ, ἐπὰν παύσηται ὁ ἄνεμος ἐναντίωμενος.

649. Ἀντιοσαπεῖ] ἐναντίον πνέει.

651. Οὐκ· ἀλλὰ κἀκείνοισι] μὴ ὑλαθήσῃς (φησὶ) κἀκείνοις γὰρ τὰ πνεύματα ταῦτα ἐναντία, ἀντὶ τοῦ, τὰ ἡμᾶς ὑπέχοντα κἀκείνους ὑπέχει· πρὸς ὃ ἐπάγει.

652. Οὐκ ἔστι λῃσταῖς] τοῖς γὰρ κακούργοις οὐκ ἔστιν ἐναντίος ὁ ἄνεμος· ἐν τῇ ψυχρύσει γὰρ μᾶλλον ἰσχύουσι.

ΝΕΟ. Ἀλλ', εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
Ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.
ΦΙΛ. Ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ ἐκ πολλῶν ἅπο.
ΝΕΟ. Τί τοῦθ' ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;
ΦΙΛ. Φύλλον τί μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
Κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ.
ΝΕΟ. Ἀλλ' ἔκφερ' αὐτό· τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;
ΦΙΛ. Οἴμοι, τί * τόξων τῶνδ' ἀπημελημένον
Παρερρύηκεν; ὡς λίπω μή τῳ λαβεῖν.
ΝΕΟ. Ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξ' ἃ νῦν † ἔχεις;
ΦΙΛ. Ταῦτ'· ἐκ γὰρ ἄλλα γ' ὅστις ἀν βάζῳ χερεῖν.
ΝΕΟ. Ἆρ' ἐστὶν ὥστε προσγυθὲν θέαν λαβεῖν,
Καὶ βάσταί με, προσκύσαι θ' ὥσπερ θεόν;
ΦΙΛ. Σοί γ', ὦ τέκνον, καὶ τοῦτο, κἄλλο τῶν ἐμῶν
Ὁποῖόν ἄν σοι ξυμφέρῃ, γενήσεται.
ΝΕΟ. Καὶ μὴν ἐρῶ γε· τόνδ' ἔρωθ' ὅτως ἔχω·
Εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μή, πάρες.
ΦΙΛ. Ὅσιά τε φωνεῖς, ἐστί τ', ὦ τέκνον, θέμις,
Ὅς γ' ἡλίῳ τόδ' εἰσορᾶν ἐμοὶ φάος
Μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
Ὃς πατρὶ πρέσβυ, ὃς φίλοις, ὃς τῶν ἐμῶν
Ἐχθρῶν μ' ἔνερθεν ὄντ' ἀνέσησας πέρα.
Θάρσει· παρέσται ταῦτά σοι καὶ θιγγάνειν,
Καὶ δόντι δοῦναι, κἀξεπεύξασθαι βροτῶν
Ἀρετῆς ἕκατι τῶνδ' ἐπαψαῦσαι μόνον.

* Ald. Εἴ μοι. † Ald. τόξα νῦν.

657. Τί τοῦθ' ὃ] τί ἔχεις ὅπερ ἡ ἐμὴ ναῦς οὐκ ἔχει; ἀντὶ τοῦ, οὐδὲν ἡμῖν λείπει.
659. Κοιμῶ] κατακοιμίζω, πραΰνω.
662. Παρερρύηκε] παρεμπέπτωκεν.
674. Ὅς τῶν ἐμῶν ἐχθρῶν] ὃς ἐποίησάς με τῶν ἐμῶν ἐχθρῶν ὑπερέχειν, ὄντα αὐτῶν κάτω.
677. Καὶ δόντι δοῦναι] ἀντὶ τοῦ, ἀποδοῦναί μοι τῷ δόντι σοι.

679. Εὐεργετῶν

Εὐεργετῶν γὰρ κ' αὐτὸς αὖτ' ἐκλησάμην.
Οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον.
" Ὅσις γὰρ εὖ δρᾷν εὖ παθὼν ἐπίσαται,
" Παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος."

ΝΕΟ. Χωροῖς ἂν εἴσω.

ΦΙΛ. Καὶ σέ γ' εἰσάξω. τὸ γὰρ
Νοσεῖ πόθεῖ σε ξυμπαρασάτην λαβεῖν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Λόγῳ μὲν ἐξήκεσ', ὄπωπα δ' ἐ μάλα,
Τὸν πελάταν λέκτρων
Ποτὲ τᾶ Διὸς * Ἰξίονα κατ' ἄμπυκα †
Δρομάδα δέσμιον, ὡς
Ἔλαβ' ὁ παγκρατὴς Κρόνε ‡·
Ἄλλον δ' ὅτιν' ἔγωγε
γ' οἶδα κλύων, οὐδ' ἐσίδον μοίρᾳ
Τᾷδ' ἐχθίονι συνηυχόντα θναλῶν·
Ὃς ἔτ' ἔρξας τίν', ὔτε νοσφίσας,
Ἀλλ' ἴσος ἐν ἴσοις ἀνὴρ
Ὤλλυθ' ὧδ' ἀναξίως.
Τόδε θαῦμ' ἔχει με,

* Ald. Ποτὲ Διός. † Ald. κατ' ἄμπυκα δή.
‡ Ald. Κρόνε παῖς.

679. Εὐεργετῶν γὰρ] αὐτὸς γὰρ ὑφῆψε τὴν πυμὴν τῷ Ἡρακλεῖ.

686. Λόγῳ μὲν] ἀκοῇ (φησὶ) τὸ τᾶ Ἰξίονος πάθος ὅτι προχάζεται, ὃν ἔδησεν ὁ Ζεύς. ἡ μέντοι ἔφαπτα μείζονα τᾶ Φιλοκτήτᾳ νόσον. πελάσην δὲ αὐτὸν λέγει τῶν λίκτρων τᾶ Διός, ὡς πειρᾶν ἐπιχειρήσαντα τὴν ὁμόλεκτρον τᾶ Διὸς Ἥραν.

688. Κατ' ἄμπυκα] κατὰ τροχόν.

689. Δρομάδα δέσμιον] τὸν περιφερόμενον ἐν τῷ ἑρόμῳ δεδεμένον.

692. Μοίρᾳ τᾷδ'] τύχῃ, δυστυχίᾳ συγγενεστέρᾳ καὶ ἐχθίονι.

694. Οὔτε νοσφίσας] ἀποστερήσας.

695. Ἐν ἴσοις] ἐν δικαίοις.

697. Τόδε θαῦμ' ἔχει με] θαυμάζω πῶς ὑπέμεινεν, ἀεὶ κλυζομένην κύμασιν ἔχων καταγωγὴν, καὶ ἔρημον παντάπασιν.

698. Ἀμφικλήκτων]

Πῶς πο͂λε, πῶς ἀμφιπλήκ[των
Ῥοθίων μόνος κλύζων, πῶς
Ἄρα πανδάκρυ[ον ὅτω βιοτὰν κατέσχεν.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ἴν' αὐτὸς ἦν πρόσ[ορος, οὐκ ἔχων βάσιν,
Οὐδέ τιν' ἐγχώρων,
Κακογείτονα, πα[ρ' ᾧ σ]όνον ἀντίτυπον
Βαρυβρῶτ' ἀποκλαύ-
σειεν αἱμα[τηρόν· οὐ-
δ' ὃς τὰν Θερμο[άταν
Αἱμάδα κηκιομέναν ἑλκέων
Ἐνθήρᾳ ποδὸς ἠπίοισι φύλλοις
Κα[ευνάσειεν, εἴτις ἐμπέσοι
Φορβάδος ἔκ γε * γᾶς ἐλεῖν.
Ἕρπει γὰρ ἄλλοτ' ἄλλα,
Τότ' ἂν εἰλυόμενος

* ALDUS, ἐκ τε.

698. Ἀμφιπλήκτων] ἐκατέρωθεν πλητλόντων· τὰ γὰρ κύματα κλύζονται κατὰ ἀμφοτέραν ὄχθην τῆς Θαλάσσης.

701. Ἴν' αὐτὸς] ὅπου αὐτὸς μόνος ἦν ὑπὸ ἀνέμων βαλλόμενος, ἢ πρὸς ἄνεμον τετραμμένος.

Ib. Βάσιν] πόδα.

702. Οὐδέ τιν' ἐγχώρων] λείπει, ἔχων.

703. Κακογείτονα] ὃ μόνον ὅπου καλὸν οὐκ εἶχε τινὰ τῶν ἐγχωρίων γείτονα, ἀλλὰ καὶ κακὸν, παρ' ᾧ ἀμοιβαῖον λόγον σπεύδων ἀκούσεται· τὸ δὲ ἐξῆς ὅτῳ δεῖ λαβεῖν, οὐδέ τινα ἐγχώρων ἔχων παρ' ᾧ ὀπτὸν αἱματηρὸν αὐτῷ σόνον ἀποκλαύσειε· τὸ κακογείτονα γὰρ, οὐ πρὸς τοὺς ἐνοικοῦντας, ἀλλ' εἴπερ τις ἐτύγχανεν αὐτῷ συνοικῶν, ὁ τότε σόνος κακογείτων ἂν ἦν ἐκείνῳ.

Ib. Ἀντίτυπον] ἀμοιβαῖον.

705. Οὐδ' ὃς τὰν Θερμοτάταν] κατὰ συνεκδοχὴν τὸ ἔχων· οὐδὲ ἔχων τινὰ (φησὶν) ὃς τὴν Θερμοτάτην καὶ ἀγρίαν αἱμάδα, ἤτοι τὴν τοῦ αἵματος ῥύσιν ἀναδιδομένην ἐκ τῶν ἑλκῶν τῷ ὑποδήκτῳ ποδὸς, ἠπίως φύλλοις καλευνάσειεν, εἴ τις ἐμπέσοι.

707. Αἱμάδα κηκιομέναν ἑλκέων] παρὰ τὸ, -----μέλαν δ' ἀνεκήκιεν αἷμα.

708. Φύλλοις καπευνάσειεν] ἀντὶ τοῦ, ὅλως οὐκ ἔχων οὐδὲ ὅς τις ἵλοι φύλλον αὐτῷ ἐκ τῆς γῆς, ἢ ὄρνιν τοξευθέντα ὑπὸ Φιλοκτήτου, καὶ πεσόντα εἰς τὴν γῆν.

712. Εἰλυόμενος] κυλιόμενος, χερσὶν ἐπερειδόμενος, καὶ ἕλκων τὰ σκέλη ὡς νήπιος παῖς ἄνευ τιθήνης τετραποδηδὸν βαδίζων· ὡς αὐτὸς ἐν τοῖς ἀνωτέρω ἔφη,---πρὸς δὲ τῷθ', ὅ μοι βύλοι Νευροσπαδὴς ἅτρακτος, αὐτὸς ἂν τάλας, Εἰλυόμην εὐσπνος ἑξέλκων πόδα. τὸ δὲ ἐξῆς, τότε γὰρ ἤνικα ἐξανίσησι δακέθυμος ἀτα, ἕρπει πόρον ἄλλοτ' ἄλλαν εἰλυόμενος, ὥσπερ παῖς ἄνευ φίλης

Παῖς ἄτερ ὡς φίλας τιθήνας,
Ὅθεν εὐμάρει᾽ ὑπάρχει
Πόρων, ἀνίκ᾽ ἐξανίῃ * δακέθυμος ἄτα.--- 715

ΣΤΡΟΦΗ Β.

Οὐ φορβὰν ἱερᾶς
Γᾶς, σπόρον ἐκ ἄλλων
Αἴρων, τῶν νεμόμε-
σθ᾽ ἀνέρες ἀλφησαί·
Πλὴν ἐξ ὠκυβόλων εἴ ποθε τόξων 720
Πτανῶν, πτανοῖς ἀνύσειε γαστρὶ φορβάν.
Ὦ μελέα ψυχὰ,
Ὅς μηδ᾽ οἰνοχύτου πώματος ἤ-
σθη δεκέτη χρόνον †· λεύσσων δ᾽ ὅπου
Γνοίη σατὸν εἰς ὕδωρ, αἰεὶ προσενώμα.--- 725

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Νῦν δ᾽ ἀνδρῶν ἀγαθῶν
Παιδὸς ὑπαν]ήσας

* Aldus, ἐξανίησι. † Aldus, ἐκείνων.

φίλης τιθήνης, ὅταν ἂν ὑπάρξῃ αὐτῷ εὐμάρεια τούτων, ἤγουν, ὅπου εὐμαρές ἐστιν αὐτῷ πορευθῆναι. ὁ φορβὰν ἱερᾶς γᾶς σπόρον αἴρων, ἤγουν, ὁ τροφὴν ἔχων ἐκ τῶν σπερμάτων τῆς γῆς. ὧν ἄλλο ὃ νεμόμεσθα ἄνδρες ἀλφησαί. τυτίσιν, ἢ Δημητριακὸν καρπὸν, οὐδέ τι τῆς συνήθους ἀνθρώποις διαίτης, ἀλλὰ διὰ τῶν πτηνῶν οἰκείων, τὴν διὰ τῶν ὀρνίων τροφὴν προσφερόμενος.

714. Ὅθεν εὐμάρεια] ὅπου εὐμαρές ἐστιν αὐτῷ ἀπιέναι.

715. Ἐξανίησιν] ἐκδίδωσι.

Ib. Δακέθυμος ἄτα] ἡ νόσος.

271. Γᾶς σπόρον] σῖτον.

718. Τῶν νεμόμεσθα] τυτίσιν, ἀφ᾽ ὧν τρεφόμεθα.

720. Πλὴν ἐξ ὠκυβόλων] πτερωτῶν τόξων· ἤτοι, πλὴν εἴ πω τοῖς πτηνοῖς βέλεσιν ἐξ ὠκυβόλων τόξων ἀνύσῃ φορβήν.

721. Πτηνῶν] τυτίσιν, ὀρνέων· λείπει δὲ ἡ Ἀπὸ, ἵν᾽ ᾖ, ἀπὸ τῶν πτηνῶν.

723. Οἰνοχύτου πώματος ἥσθη] τυτίσιν, οἷον (περιφραστικῶς) ἐπεπλήσθη, ἢ ἐδέδεκτο οἷον μετείληφε· ἐπορεύετο δὲ ἀεὶ ἐπὶ σατὸν ὕδωρ· σατὸν δὲ ἢ τὸ ἐξ ὄμβρου συνεγκὸς ὕδωρ, ἢ πηγαῖον, ἢ λιμναῖον· παρὰ τὸ ἠρεμεῖν, καὶ μὴ ὑπὸ ἀνέμων κινεῖσθαι.

725. Προσενώμα] ἑαυτὸν ἐκίνει, ἤγουν, ἐκορεύετο.

727. Παιδὸς ὑπαντήσας] τυχὼν Νεοπτολέμου.

728. Εὐδαίμων

Εὐδαίμων ἀνύσει,
Καὶ μέγας ἐκ κείνων.
Ὅς νιν πονλοπόρῳ δόραλι, πλήθει
Πολλῶν μηνῶν παλρῴαν ἄγε πρὸς αὐλὰν
Μηλιάδων νυμφᾶν,
Σπερχειῦ τε παρ' ὄχθαις, ἵν' ὁ χάλ-
κασπις ἀνὴρ θεοῖς πλάθει πᾶσι
Θείῳ πυρὶ παμφαὴς, Οἴτας ὑπὲρ ὄχθων.

IAMBOI.

ΝΕΟ. Ἕρπ', εἰ θέλεις· τί δή ποθ' ὧδ' ἐξ ὑδενὸς
Λόγῳ σιωπᾷς, κἀποπλήκλως ὧδ' ἔχῃ;
ΦΙΛ. Ἆ, ᾶ, ᾶ, ᾶ.*
ΝΕΟ. Τί ἐστιν;
ΦΙΛ. Οὐδὲν δεινόν· ἀλλ' ἴθ', ὦ τέκνον·
ΝΕΟ. Μῶν ἄλγος ἴσχεις τῆς παρεσώσης νόσε;
ΦΙΛ. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' ἄρτι κωφίζειν δοκῶ.
Ἰὼ θεοί.
ΝΕΟ. Τί τὸς θεὸς ὕτως ἀκαξένων καλεῖς;
ΦΙΛ. Σωτῆρας αὐτὸς ἠπίως θ' ἡμῖν μολεῖν.
Ἆ, ᾶ, ᾶ, ᾶ.

* Aldus, Ἆ, ᾶ, ᾶ.

728. Εὐδαίμων ἀνύσει] εὐδαιμονήσει. τὸ ἐξῆς, εὐδαίμων καὶ μέγας ἀνύσει.

729. Ἐκείνων] λείπει, ἔρως, τῶν κακῶν δηλονότι.

731. Πατρῴαν ἄγει πρὸς αὐλὰν] εἰς τὴν πατρίδα.

732. Μηλιάδων νυμφᾶν] ἀντὶ τῆ Τραχινίων· περὶ τὴν Τραχῖνα γὰρ οἱ Μηλιεῖς.

733. Ἵν' ὁ χάλκασπις] ὅπου ὁ ἐκθωθεὶς ἀνὴρ πελάζεται πᾶσι τοῖς θεοῖς· λέγει δὲ τὸν Ἡρακλέα.

734. Πλάθει πᾶσιν] ἐπιφαίνεται λαμπρὸς ὢν ὡς πῦρ.

736. Ἕρπ', εἰ θέλεις· τί δή ποθ' ὧδ'] τὸ φησὶν ὁρῶν τῇ νόσῳ πληπτόμενον, καὶ σιωπῶντα.

738. Ἆ, ᾶ, ᾶ, ᾶ] τὸ ᾶ, ἃ φησὶν ὁ Φιλοκτήτης· ἐνοχλεῖ γὰρ αὐτῷ ἡ σηπέδης νόσος· θέλει δὲ κρατῆσαι ἑαυτοῦ· διὸ προσποιεῖται ἴσως λέγῃ, Ἀλλ' ἄρτι κωφίζειν δοκῶ.

743. Ἰὼ θεοί] ὁ Φιλοκτήτης διὰ τὴν εἰς οἶκον ἀνακομιδὴν ἀπαγορεύει τὰς γιγνομένας ὀδύνας· καὶ λέγει, ἰὼ θεοί, ὡς καίρων διὰ τὸν Νεοπτόλεμον· ὦ δύναται δὲ ἀληθῶς.

746. Ἆ, ᾶ, ᾶ, ᾶ] ἀναζεύγνυσι λοιπὸν τῆς νόσου πλησιαζούσης.

748. Ἐκ

ΝΕΟ. Τί ποτε πέπονθας; ἀκ ἐρεῖς; ἀλλ' ὧδ' ἔσῃ
Σιγηλός· ἐν κακῷ δέ τῳ Φαίνῃ κυρῶν.
ΦΙΛ. Ὄλωλα *, τέκνον, κἀ δυνήσομαι κακὸν
Κρύψαι παρ' ὑμῖν· ἀτ]αταί· διέρχεται,
Διέρχεται δύσηνος· ὢ τάλας ἐγώ.
Ἀπόλωλα, τέκνον· βρύχομαι, τέκνον· παπαί·
Παπᾶ, παπᾶ· † παπᾶ· παπᾶ· παπᾶ· παπαί·
Πρὸς θεῶν πρόχειρον εἴ τι σοι, τέκνον, πάρα
Ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
Ἀπάμησον ὡς τάχιστα· μὴ φείσῃ βίᾳ.
Ἰή, ὦ παῖ.
ΝΕΟ. Τίδ' ἔστιν ὕτω νεοχμὸν ἐξαίφνης, ὅτῳ
Τοσήνδ' ἰύγὴν καὶ σόνον σαυτῷ ποιεῖς;
ΦΙΛ. Οἶσθ', ὦ τέκνον;
ΝΕΟ. Τί ἐστιν;
ΦΙΛ. Οἶσθ', ὦ παῖ;
ΝΕΟ. Τί σοι;
ΦΙΛ. Οὐκ οἶδα.
ΝΕΟ. Πῶς ἀκ οἶσθα;
ΦΙΛ. Παππὰ, παππὰ, παῖ.
ΝΕΟ. Δεινόν γε τἀπείσαγμα ‡ τἄ κοσήμαλος.
ΦΙΛ. Δεινὸν γὰρ, οὐδὲ ῥητόν· ἀλλ' οἰκτειρέ με.
ΝΕΟ. Τί δῆτα δράσω;
ΦΙΛ. Μή με ταρβήσας προδῷς.

* Ald. ἀπόλωλα. † Ald. Ἀπαπαπᾶ· παπᾶ· πάπα· πάπα· παπαῖ·
‡ Turn. in marg. τἀπίσαγμα.

748. Ἐν κακῷ δέ τῳ φαίνῃ κυρῶν] ἀντὶ τοῦ, ἴσως μοι ὀδυνᾶσθαι.
752. Βρύχομαι] ἰσθίομαι, καταναλίσκομαι.
756. Ἀπάμησον] Θέρισον, κόψον.
759. Ἰύγὴν] ὀξεῖαν βοήν.
760. Οἶσθ', ὦ τέκνον] βούλεται μὲν εἰπεῖν τὴν ἐς οἶκον ὠνακομιδήν· ἐν τῷ λαμβάνειν μήπως καταλείψει αὐτὸν ὁ Νεοπτόλεμος· ὃ λέγει δὴ διὰ τὸ πάθος.
767. Τἀπείσαγμα] ἡ ἐπίσαλος, ἡ προσβολή.

Ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις ἴσως
Ὡς ἐξεπλήσθη· φεῦ.

ΝΕΟ. Ἰὼ δύσηνε σύ.

Δύσηνε δῆτα διὰ πόνων πάντων φανείς,
Βούλει λάβωμαι δῆτα καὶ δίγω τί σε;

ΦΙΛ. Μὴ δῆτα τοῦτόγ'· ἀλλά μοι τὰ τόξ' ἑλὼν
Τάδ' ὥσπερ ἠτοῦ μ' ἀρτίως, ἕως ἀνῇ
Τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρόν·
Σῶζ' αὐτὰ καὶ φύλαττε. λαμβάνει γὰρ ὃν
Ὕπνος μ' ὅταν περ τὸ κακὸν ἐξίῃ τόδε·
Κοὐκ ἔστι λῆξαι πρότερον· ἀλλ' ἐᾶν χρεὼν
Εὐκηλον * εὕδειν· ἢν δὲ τῷδε τῷ χρόνῳ †
Μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν ἐφίεμαι
Ἑκόντα μήτ' ἄκοντα, μή τέ τῳ τέχνῃ
Κείνοις μεθεῖναι ταῦτα· μὴ σαυτόνθ' ἅμα,
Κἄμ' ὄντα σαυτοῦ πρόσπορον, κτείνας γένῃ.

ΝΕΟ. Θάρσει· προνοίας οὕνεκ' οὐ δαθήσεται,
Πλὴν σοί τε κἀμοί· ξὺν τύχῃ δὲ πρόσφερε.

ΦΙΛ. Ἰδοὺ δέχου, παῖ, τὸν φθόνον δὲ πρόσκυσον·
Μή σοι γενέσθαι πολύπον' αὐτά· μηδ' ὅπως
Ἐμοί τε καὶ τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ.

* Turn. Εὔκηλον. † Turn. in marg. ἢν δὲ τῷ χρόνῳ τάχα.

771. Ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις] ἀποπορίαις. ἥκει ἡ νόσος ἴσως, ὅτε ἐκορέσθη πλανωμένη· ὡς ἐπὶ θηρὸς δὲ ποιεῖται τὸν λόγον.

777. Ἠτοῦ μ' ἀρτίως] ἠξίωσας, ἤτεις.

Ib. Ἕως ἀνῇ] ἐνδῷ.

779. Σῶζ' αὐτὰ, καὶ φύλαττε] φύλασσε (φησὶν) αὐτὰ, τὰ τόξα· ἅμα γὰρ τῷ παθεῖν τὸν ὕπνος μοι ἐπέρχεται· καὶ ὕτω παύομαι τῆς νόσου.

781. Κοὐκ ἔστι λῆξαι] οὐκ ἔστι τῆς ἀδύνης παύσασθαι πρότερον πρὶν κοιμηθῆναι.

783. Μόλωσ' ἐκεῖνοι] οἱ περὶ Ὀδυσσέα.

786. Πρόσπορον] ἱκέτην.

789. Τὸν φθόνον δὲ πρόσκυσον] λάσκει τὸν φθόνον, ὥστε αὐτὰ μὴ γένεσθαι σοι πολύπονα, καὶ πολύσπονα, ἤτοι, πικρὰ καὶ πολλῶν αἴτια κακῶν.

790. Μὴ δ' ὅπως] μηδ' ὁμοίως.

791. Τῷ πρόσθεν ἐμοῦ κεκτημένῳ] τῷ Ἡρακλεῖ ἐηλοιότι.

797. Κηὔτ'

ΝΕΟ. Ὦ θεοί, γένοιτο ταῦτα νωΐν· γένοιτο δὲ
Πλεῖς ἔριός τε καὶ εὐσαλής, ὅποι ποτὲ
Θεὸς δικαιοῖ, χ' ὡ στόλος πορσύνεται.------
ΦΙΛ. Ἀλλ' ἔν δέδοικα μή μ' ἀτελὴς εὐχὴ, τέκνον.
Στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθῶ
Κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.
Παπαὶ, φεῦ.
Παπαὶ μάλ'· ὦ ποδὸς, οἷά μ' ἐργάσῃ κακά.
Προσέρπει,
Προσέρχεται τόδ' ἐγγύς· οἴμοι, μοι τάλας.
Ἔχετε τὸ πρᾶγμα· μὴ φύγητε μηδαμῆ.
Ἀτατταί.
Ὦ ξένε Κεφαλλὴν, εἴθέ σε διαμπερὲς
Στέρνων ἔχοιτ' ἄλγησις ἥδε· φεῦ, παπαῖ.
Παπαὶ μάλ' αὖθις· ὦ διπλοῦ στρατηλάται,
Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
Τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
Ὤμοι, μοι.
Ὦ θάνατε, θάνατε, πῶς ἀεὶ καλούμενος
Οὕτω κατ' ἦμαρ, δ' δύνῃ μολεῖν ποτέ;
Ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν
Τῷ Λημνίῳ τῷδ' ἀνακαλουμένῳ πυρὶ,
Ἔμπρησον, ὦ γενναῖε· κἀγώ τοι ποτὲ
Τὸν τοῦ Διὸς παῖδ' ἀντὶ τῶνδε τῶν ὅπλων,
Ἃ νῦν σὺ σώζεις, τοῦτ' ἐπηξίωσα δρᾶν.
Τί φῂς, παῖ;

797. Κηκῖον αἷμα] ἀναῤῥέον, ἀναβιβρωσκόμενον. Ὅμηρος, πολὺς δ' ἀνεπήκιεν ἰδρώς.
804. Ὦ ξένε Κεφάλλην] ὦ Ὀδυσσεῦ.
808. Τρέφοιτε] λάβοιτε ἀντὶ ἐμοῦ.
813 Τῷ Λημνίῳ τῷ δ' ἀνακαλουμένῳ πυρὶ] παρακαλοῦντι· ἐν γὰρ Λήμνῳ ἐργαστήριον τοῦ Ἡφαίστου ἐνθα καὶ κρατῆρες πυρός.
814. Κἀγώ τοι ποτὲ] ὅτε τὴν πυρὰν τοῦ Ἡρακλέους ἀνῆψα.
816 Τοῦτ' ἐπηξίωσα δρᾶν] τὸ καῦσαι.

Τί φῄς; τί σιγᾷς; ὦ πότ' ὢν, τέκνον, κυρεῖς;---
ΝΕΟ. Ἀλγῶ πάλαι δὴ ταὐτὶ σοὶ ξένων κακά.
ΦΙΛ. Ἀλλ', ὦ τέκνον, καὶ θάρσος ἴσχ'· ὡς ἥδε μοι
Ὀξεῖα φοιτᾷ, καὶ ταχεῖ' ἀπέρχεται·
Ἀλλ' ἀντιάζω μή με καταλίπῃς μόνον.
ΝΕΟ. Θάρσει· μενῶμεν.
ΦΙΛ. Ἦ μενεῖς;
ΝΕΟ. Σαφῶς φρόνει.
ΦΙΛ. Οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι, τέκνον.
ΝΕΟ. Ὡς ἐ θέμις γ' ἐμοί 'στι σὲ μολεῖν ἄτερ.
ΦΙΛ. Ἔμβαλλε χειρὸς πίστιν.
ΝΕΟ. Ἐμβάλλω μένειν.
ΦΙΛ. Ἐκεῖσε νῦν μ' ἐκεῖσε.
ΝΕΟ. Ποῖ λέγεις;
ΦΙΛ. Ἄνω.
ΝΕΟ. Τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;
ΦΙΛ. Μέθες, μέθες με.
ΝΕΟ. Ποῖ μεθῶ;
ΦΙΛ. Μέθες ποτέ.
ΝΕΟ. Οὔ φημ' ἐάσειν.
ΦΙΛ. Ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.
ΝΕΟ. Καὶ δὴ μεθίημί σε· τί δὴ πλέον φρονεῖς *;
ΦΙΛ. Ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω.
Τὸ γὰρ κακὸν τόδ' ἐκέτ' ὀρθῶσθαί μ' ἐᾷ.

* ALD. Καὶ δὴ μεθίημι· τί δὲ δὴ πλέον φρονεῖς.

818. Τί σιγᾷς] λαθὼν γὰρ τὸ τόξον ὁ Νεοπτόλεμος, ἐσιώπησεν, ἀπορῶν τί ἄρα ποιήσειεν.

820. Σὲ μολεῖν] πρὸς τὴν ὑπόθεσιν καὶ τοῦτό [illegible] τῶν χρησμῶν εἶναι, μηδέτερον αὐτῶν [illegible] τὸ Ἴλιον.

830. Ἐκεῖσε νῦν μ' ἐκεῖσε] ἐκὶ τοῦτο νῦν ἔοικεν ὁ Φιλοκτήτης παραφρονεῖν ὑπὸ τῆς νόσου.

833. Τί παραφρονεῖς] τί ἐκτὸς φρενῶν γίγνῃ;

839. Τί δὲ πλέον φρονεῖς] ἀντὶ τοῦ, ὠφελιμώτερον [illegible].

841. Τὸ γὰρ κακὸν τόδ'] εἰπὼν τάδε, ἐκπαγήσεται.

842. Τὸν

ΝΕΟ. Τὸν ἄνδρ' ἔοικεν ὕπνος ἐ μακρῷ χρόνῳ
Ἔξειν· κάρα γὰρ ὑπτιάζεται τόδε.
Ἰδρὼς γέτοι νιν πᾶν καταξάζει δέμας.
Μέλαινά τ' ἄκρᾳ τὶς παρέρρωγεν πνοὸς
Αἱμορραγὴς φλέψ· ἀλλ' ἐασώμεν, φίλοι,
Ἕκηλον αὐτὸν, ὡς ἂν εἰς ὕπνον πέσῃ.

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΑΡ. Ὕπν' ὀδύνας ἀδαὴς, Ὕπνε δ' ἀλγέων,
Εὐαὴς ἡμὶν ἔλθοις·
Εὐαίων, εὐαίων ἄναξ.
Ὄμμασι δ' ἀντέχοις
Τάνδ' αἴγλαν, ἃ τέτα]αι τανῦν.
Ἴθι, ἴθι μοι παιών.
Ὦ τέκνον, ὅρα γε πῷ σάσῃ,
Ποῖ δὲ βάσῃ· πῶς δέ μοι
Τἀντεῦθεν Φροντίδος ὁρᾷς·
Ἤδη πρὸς τί μενοῦμεν πράσσειν;
Καιρός τοι πάντων γνώμαν ἴσχων,
Πολὺ παρὰ πόδας κράτος ἄρνυται.

841. Τὸν ἄνδρ' ἔοικεν] ἔοικεν ὁ ὕπνος τὸ λοιπὸν ἐκ εἰς μακρὰν καταλήψεσθαι.

843. Ὑπτιάζεται] κλίνεται, ἢ ὀπίσω ῥίπτεται.

845. Μέλαινά τ' ἄκρᾳ] νεῦρον ῥαγὲν ἀπὸ τῆς ἀκρᾶς πηδὸς, αἷμα ἀνίησιν.

846. Ὕπν' ὀδύνας ἀδαὴς, Ὕπνε δ' ἀλγέων] ἀπὸ κοινοῦ τὸ ἀδαὴς, ἤγουν, ἄπειρε.

849. Εὐαὴς ἡμὶν ἔλθοις] εὔπνους.

850. Εὐαίων, ἄναξ] εὐμενὴς, καλῶς ἄγων ἡμῖν τὸν αἰῶνα.

851. Ὄμμασι δ' ἀντέχοις] ἐναντιωθείης τοῖς ὄμμασι τῆς Φιλοκτήτου, καὶ μὴ ἐάσῃς αὐτὸν βλέψαι νῦν· ἢ κάτεχε τὸ ὁρατικὸν, ὅπερ νῦν ἥπλωται καὶ διαχεῖται τῇ τοῦ ὕπνου ἀχλύϊ· τὴν τοιαύτην δὲ αἴγλην, ἥτις νῦν τέτα]αι ἐν τοῖς ὄμμασιν, ἀντέχοις· λέγει δὲ τὸν ὕπνον, τὸν γενόμενον αὐτῷ παραχρῆμα· ὡς ἐγὼ αὐτῷ αἴγλη καὶ φῶς.

854. Ὅρα γε πῷ σάσῃ] πῇ σήσῃ τῆς γνώμης· ποίας γνώμης κρατήσεις.

856. Τἀντεῦθεν φροντίδος] τὰ μετὰ ταῦτα πῶς ὁρᾷς φροντίδος; ἀντὶ τῆ ἐννοεῖς;

858. Καιρός τοι πάντων] ἐπεὶ ἡ μετὰ εὐκαιρίας σύνεσις, πολλῶν ἐπικρατεῖ ἐν ἑταίρῳ καρπῶται· ὁ δὲ καιρὸς ἐκεῖνος ὁ εὐκαίρως ἐπιλεγόμενος, πολλοῖς εὐδοξίαν σύνεγγυς παρέχει.

859. Παρὰ πόδα] πλησίον.

Ib. Ἄρνυται] ἀποφέρεται.

861. Τήνδ'

ΕΞΑΜΕΤΡΟΙ.

ΝΕΟ. Ἀλλ' ὅδε μὲν κλύει ἐδέν· ἐγὼ δ' ὁρῶ, ἄνεκα θήραν
Τήνδ' ἀλίως ἔχομεν τόξων· δίχα τῆδε πλέοντες.
Τῆδε γὰρ ὁ στέφανος· τῆτον θεὸς εἶπε κομίζειν.
Κομπεῖν δ' ἐς' ἀτελῆ συν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

ΑΝΤΙΣΤΡΟΦΗ.

ΧΟΡ. Ἀλλὰ, τέκνον, τάδε μὲν θεὸς ὄψεται·
Ὧν δ' ἂν ἀμείβῃ μ' αὖθις *, 865
Βαιάν μοι, βαιὰν, ὦ τέκνον,
Πέμπε λόγων φάμαν·
Ὡς πάντων ἐν νόσῳ εὐδρακὴς
Ὕπνος ἄϋπνος λεύσσειν.
Ἀλλ' ὅ, τι δύναιο μάκιστον· 870
Κεῖνό μοι γὰρ μέγιστον·
Λάθρᾳ δ' ἐξιδοῦ ὅ, τι πράξεις.
Οἶσθ', οἶσθ' ὅντιν' αὐδῶμαι, εἰ ταυτὰν
Τέτῳ γνώμαν ἴσχεις, μάλα τοι
Ἄπορα πυκινοῖς † ἐνιδεῖν πάθη.----- 875

* TURN. ἀμείψῃ συ μ' αὖθις. † TURN. in marg. πυκνοῖσι.

861. Τήνδ' ἁλίως ἔχομεν] τὴν θήραν τῶν τόξων μάτην ἔχομεν, χωρὶς τοῦ Φιλοκτήτου πλέοντες.

863. Κομπεῖν δ' ἐς' ἀτελῆ] ἐντεῦθεν ἐνοεῖ δὲ καὶ ἐπαγγέλλεσθαι ἀπλῶς ἀ ψευδόμενον, αἰσχρὸν ὄνειδος.

866. Βαιάν μοι, βαιὰν] μικρὰ καὶ ἥμερόν μοι (φησὶ) διαλέγου, μήποτε ἀκόσῃ κοιμώμενος.

868. Ὡς πάντων ἐν νόσῳ εὐδρακὴς] ἀντὶ τοῦ, ἐλεφρὸς τὸ πρῶτον ἀναβλέψαι καὶ ἐγερθῆναι· ὡντὶ τοῦ, ὁ ὕπνος ἐν τῇ νόσῳ ταχέως βλέπει. ἢ ὁ νοσῶν ταχέως ἐκ τοῦ ὕπνου ἀνίσταται· λείπει δὲ τὸ Ὡς. βέλτιστα γὰρ λέγων, ὥστε λεύσσειν ὁ ὕπνος. ὡς μὴ ἠγνοῆσθαι τοῦτον ὕπνον ὑπάρχειν.

870. Μάκιστον] μέγιστον, εὐσύμβολον, σύμφορον.

872. Ἐξιδοῦ ὅ, τι πράξεις] Σκόπησον, βλέψον, πλεονάζει γὰρ ἡ ἐξ, καθάπερ καὶ ἐπὶ τούτων, ἀνεπίσχεσο, ἀντὶ τοῦ, ἐπίσχεσο, καὶ ἐνέδειξον, ἀντὶ τοῦ, ἔδειξον.

873. Οἶσθ', οἶσθ' ὅντιν' αὐδῶμαι] γνώσεις (φησὶν) ἐν αὐδῶμαι, ἀντὶ τοῦ, αὐδῶ καὶ λέγω, ἤγνω τὸν Φιλοκτήτην· διὰ μέσου τοῦτο εἴρηκε.

Ib. Εἰ ταυτὰν τέτῳ γνώμαν] εἰ τὴν αὐτὴν τῷ Ὀδυσσεῖ γνώμην ἔχεις, ὥστε αἱρεῖν τὸν Φιλοκτήτην ἐντεῦθεν.

875. Ἄπορα πυκνοῖς] ἄπορόν ἐστι καὶ τοῖς συνετοῖς ἰδεῖν τὸ πρακτέον· λείπει δὲ ὁ Καὶ· γράφεται

ΕΠΩΔΟΣ.

Οὖρός τοι, τέκνον, ἔρος·
Ἀνὴρ ὅδ' ἀνόμματος,
Οὐδ' ἔχων ἀρωγὰν ἐκτέταται νύχιος.
Ἀλέης * ὕπνος ἐσθλός·
Οὐ χερὸς, ἀ ποδὸς,
Οὔ τινος ἄρχων,
Ἀλλ' ὡς τις αἰδὰς παρακείμενος
Ὁρᾷ, βλέπει· καίρια φθέγγει·
Τόδ' ἁλώσιμον ἐμᾷ φροντίδι, παῖ·
Πόνος ὁ μὴ φοβῶν, κράτιστος.

ΙΑΜΒΟΙ.

ΝΕΟ. Σιγᾶν κελεύω, μηδ' ἀφεσάναι φρενῶν·
Κινεῖ γὰρ ἀνὴρ ὄμμα, κἀναγεῖ κάρα.
ΦΙΛ. Ὦ φέγγος ὕπνῳ διάδοχον, τό, τ' ἐλπίδων
Ἄπιστον οἰκέρημα τῶνδε τῶν ξένων·
Οὐ γὰρ ποτ', ὦ παῖ, τῦτ' ἂν ἐξηύχησ' ἐγὼ,
Τλῆναί σ' ἐλεεινῶς ὧδε ταμὰ πήματα
Μεῖναι παρόντα καὶ ξυνωφελῦντά μοι.
Οὔκουν Ἀτρεῖδαι τῦτ' ἔτλησαν εὐπόρως

* Turn. in marg. ἁλιῆς.

γράφεται πυκνοῖσιν, ἵν' ᾖ, ἐν πράγμασι πυκνοῖς συνιδεῖν τὸ πρακτέον, ἄπορον.

876. Οὖρός τοι] ἐπιτήδειος καιρός.

877. Ἀνόμματος] ἐστέρηται τῦ φωτός.

878. Ἐκτέταται νύχιος] ἐπὶ κατὰ νύκτα καθεύδουσι. παρὰ τῦτο δὲ εἶπε τὴν ἡμέραν νύκτα ἄγων, ἀντὶ τῦ, κοιμώμενος· τὸ δὲ ἑξῆς, ἐκτέταται νύχιος, ἀ χερὸς, ἀ ποδὸς ἄρχων, ἀντὶ τῦ, μὴδὲν τῶν μελῶν δυνάμενος κινεῖν, μὴδὲ βλέπειν.

879. Ἀλέης ὕπνος ἐσθλὸς] ὁ ὕπνος ὁ ὑπὸ τὴν ἁλίαν καὶ τὴν θέρμην τῦ ἡλίυ ἀγαθός. Ἦ, ἁλιῆς θερμός· παρὰ τὴν ἁλίαν. καὶ Ὅμηρος· "ἁλίη τε γένηαι."

τῦτο δὲ, καθ' ἑαυτὸν φησιν, ὕπνος σύμφορος ἡμῖν ἐστι καὶ τοῖς πράγμασιν ἀγαθός.

884. Τὸ δ' ἁλώσιμον] τὸ δὲ ἀγρεύσιμον, ὁ ἐστι πέρας, ἀνάκειται τῇ ἐμῇ φροντίδι.

885. Πόνος ὁ μὴ φοβῶν] ὁ πόνος ὁ μὴ φόβον ἔχων, κράτιστός ἐστιν, ὁ μὴ πρὸς κίνδυνον ὁρῶν· ἀντὶτῦ, μὴ φοβηθῶμεν· πάντα γὰρ ἀνύσεμεν.

889. Οἰκέρημα] φυλακὴ, παρουσία·

890. Ἐξηύχησ' ἐγὼ] ἐνόμισα.

896. Ἐγ

Οὕτως ἐνεγκεῖν οἱ 'γαθοὶ στρ]ηλάται.
Ἀλλ' εὐγενὴς γὰρ ἡ φύσις, κἀξ' εὐγενῶν,
Ὦ τέκνον, ἡ σή· πάντα ταῦτ' ἐν εὐχερεῖ
Ἔθω, βοῆς τε καὶ δυσοσμίας γέμων.
Καὶ νῦν ἐπειδὴ τῆδε τῇ κακῇ δοκεῖ
Λήθη τις εἶναι κἀνάπαυλα δὴ, τέκνον,
Σύ μ' αὐτὸς ἆρον, σύ με κατάσησον, τέκνον,
Ἵν ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ ποτὲ,
Ὁρμώμεθ' ἐς ναῦν, μηδ' ἐπίσχωμεν τὸ πλεῖν.---
ΝΕΟ. Ἀλλ' ἥδομαι μέν σ' εἰσιδὼν πάρ' ἐλπίδα,
Ἀνώδυνον βλέπον]α κἀμπνέοντ' ἔτι·
Ὡς ἀκέτ' ὄντος γὰρ τὰ συμβόλαιά σε
Πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
Νῦν δ' αἶρε σαυτόν· εἰ δέ σοι μᾶλλον φίλον,
Οἴσουσί σ' οἵδε *· τῆ πόνῳ γὰρ ἡκ ὄκνος·
Ἐπείπερ ἅτω σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν.---
ΦΙΛ. Αἰνῶ τάδ', ὦ παῖ, καὶ μ' ἔπαιρ' ὥσπερ νοεῖς.
Τύτυς δ' ἔασον, μὴ βαρυνθῶσιν κακῇ
Ὀσμῇ πρὸ τῆ δέοντος· οὐπὶ νηὶ γὰρ
Ἅλις πόνος τύτοισι συννα[ίειν ἐμοί----
ΝΕΟ. Ἕξω τάδ'· ἀλλ' ἵξω τε, κἀυτὸς ἀντέχῳ.
ΦΙΛ. Θάρσει· τό τοι σύνηθες ὀρθώσει μ' ἔθος.
ΝΕΟ. Παπαί· τί δῆτα δρῶμ' ἐγὼ τὰνθένδε γε;
ΦΙΛ. Τίδ' ἐσὶν, ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγῳ;

* Turn. in marg. οἴσουσιν οἵδε.

897. Ἐν εὐχερεῖ] ἐν ἐλαχίστῳ.

897. Καὶ δυσοσμίας γέμων] πεπληρωμένος τῆς ἐμῆς δυσοσμίας.

898. Ἐπειδὴ τῆδε τῇ κακῇ] ὅταν με ὁ κάματος ἀφῇ.

901. Κόπος μ' ἀπαλλάξῃ] γράφεται κόπῳ ἀπαλλαχθῶμεν.

912. Οὐ 'πὶ νηὶ γὰρ] ἱκανὸς αὐτοῖς γενήσεται ὁ πόνος, ἐπὶ τῇ νηὶ συνεῖναί μοι, καὶ συννα[ίειν ἐμοί.

914. Ἀλλ' ἵξω τε, κἀυτὸς] ἴσασο καὶ αὖ λαμβάνω.

916. Παπαί. τί δῆτα] ὁ Νεοπτόλεμος αὐθημονεῖ, ἐννοῶν ὅτι μέλλει ἐξαπατᾶν τὸν Φιλοκτήτην.

ΝΕΟ. Οὐκ οἶδ' ὅποι * χρὴ τἄπορον τρέπειν ἔπος.
ΦΙΛ. Ἀπορεῖς δὲ τῶ σύ; μὴ λέγ', ὦ τέκνον, τάδε.
ΝΕΟ. Ἀλλ' ἐνθάδ' ἤδη τῶδε τῶ πάθει κυρῶ.
ΦΙΛ. Οὐ δή σε δυσχέρεια τῶ νοσήματος
Ἔπεισεν, ὥστε μή μ' ἄγειν ναύτην ἔτι;
ΝΕΟ. Ἄπαυστα δυσχέρεια, τὴν αὐτῆς φύσιν
Ὅταν λιπών τις, δρᾷ τὰ μὴ προσεικότα.
ΦΙΛ. Ἀλλ' ἐδὲν ἔξω τῶ φυτεύσαντός γε σύ
Δρᾷς, ὠδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
ΝΕΟ. Αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙΛ. Οὔκουν ἐν οἷς γε δρᾷς· ἐν οἷς δ' αὐδᾷς, ὀκνῶ.
ΝΕΟ. Ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακὸς,
Κρύπτων θ' ἃ μὴ δεῖ, καὶ λέγων αἴσχις' ἐπῶν;
ΦΙΛ. Ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
Προδύς μ' ἔοικε, κἀκλιπὼν, τὸν πλοῦν στελεῖν.
ΝΕΟ. Λιπὼν μὲν οὐκ ἔγωγε· λυπηρῶς δὲ μὴ
Πέμπω † σε μᾶλλον, τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙΛ. Τί πρὸς λέγεις, ὦ τέκνον; ὡς ἐ μανθάνω.
ΝΕΟ. Οὐδέν σε κρύψω· δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν
Πρὸς τοὺς Ἀχαιοὺς, καὶ τὸν Ἀτρειδῶν στόλον.

* Turn. in marg. ὅπη. † Turn. Πέμπω.

φίστην, καὶ ἀπάγειν εἰς τὴν Ἴλιον, οὐκ ἐπὶ τὴν πατρίδα; καθάπερ ἐπηγγείλατο.

920. Πάθει κυρῶ] πάθει λέγει, τῆς ἀπορίας· ἀντὶ τοῦ ἀπορῶν τυγχάνω.

922. Μή μ' ἄγειν ναύτην ἔτι] ἐρώτημα-τικῶς.

923. Τὴν αὐτοῦ φύσιν] λείπει ἡ εἰς, ἵν' ᾖ, εἰς τὴν ἑαυτοῦ φύσιν. ἐκείνην (φησὶ) λέγω δυσχέ-ρειαν προστίθησι τῷ ἀεὶ τῷ ξένον τι τῆς ἑαυτοῦ διαιτίας διαπραττομένῳ.

925. Τῶ φυτεύσαντος] τῶ Ἀχιλλίως.

928. Ἐν οἷς γε δρᾷς] ἐν οἷς πράττεις, οὐκ ἐπὶ αἰσχρὸς· ἐν οἷς δὲ φωνεῖς, φοβοῦμαι.

930. Κρύπτων θ' ἃ μὴ δεῖ] τὰ ἀληθῆ.

Ib. Καὶ λέγων αἴσχις' ἐπῶν] ἀπατῶν.

931. Εἰ μὴ ἐγὼ κακὸς] εἰ μὴ κακῶς καὶ ἀνοήτως βουλεύομαι, προδύσει με οὗτος ὁ ἀνήρ.

933. Λιπὼν μὲν οὐκ ἔγωγε] οὐχ ὅτι κατα-λείψω σε ἄχθομαι, ἀλλ' ὅτι λυπηρῶς καὶ οὐ κατὰ τὴν σὴν γνώμην μέλλω σε ἄγειν, ἐπὶ Τροίαν δέ φησι.

ΦΙΛ. Οἴμοι· τί εἶπας;

ΝΕΟ. Μὴ στέναζε πρὶν μάθῃς.

ΦΙΛ. Ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;

ΝΕΟ. Σῶσαι κακῶς μὲν πρῶτα τῶνδ', ἔπειτα δὲ
Ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.

ΦΙΛ. Καὶ ταῦτ' ἀληθῆ δρᾶν νοεῖς;

ΝΕΟ. Πολλὴ κρατεῖ
Τέτων ἀνάγκη· καὶ σὺ μὴ θυμῷ κλύων.

ΦΙΛ. Ἀπόλωλα τλήμων, προδέδομαι. τί μ', ὦ ξένε,
Δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξα μοι.

ΝΕΟ. Ἀλλ' οὐχ οἷόν τε· "τῶν γὰρ ἐν τέλει κλύειν,
"Τό, τ' ἐνδικόν με καὶ τὸ συμφέρον ποιεῖ."

ΦΙΛ. Ὦ πῦρ σύ, καὶ πᾶν δεῖμα, καὶ πανουργίας
Δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω,
Οἵ' ἠπάτηκας· οὐδ' ἐπαισχύνῃ μ' ὁρῶν
Τὸν προσπόπαιον, τὸν ἱκέτην, ὦ τοξίλιε;
Ἀπεστέρηκας τὸν βίον, τὰ τόξ' ἑλών.
Ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκεύω, τέκνον.
Πρὸς θεῶν πατρῴων, τὸν βίον μή μ' ἀφέλῃς.
Οἴμοι τάλας· ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι,
Ἀλλ' ὡς μεθήσων μή ποθ' ὧδ' ὁρᾷ πάλιν.
Ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνῳδίαι
Θηρῶν ὀρείων, ὦ καταῤῥῶγες πέτραι,
Ὑμῖν τόδ'· οὐ γὰρ ἄλλον οἶδ' ὅτῳ λέγω·
Ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν,

944. Πολλὴ κρατεῖ] πολλὴ γάρ ἐστιν ἀνάγκη τοῦτο δι' ὃ πρᾶξαι θαι.

948. Τῶν γὰρ ἐν τέλει] τῶν κρατούντων γὰρ φροντίζω μᾶλλον ἢ σοῦ. διὸ σ' οὐδὲν σοι πιθή-

951. Ὦ πῦρ σύ] παρὰ τὸ ὄνομα τοῦτο γει. Πύῤῥος γάρ ἐκαλεῖτο ὁ πρώην Νεοπτολεμος.

958. Ἀλλ' ὡς μεθήσων] ὥστε μὴ πάλιν προστέχειν ἀναιδῶς, ὡς μὴ δόντων καὶ δόντων τὰ ἑλη

961. Ὑμῖν τόδ'· οὐ γὰρ ἄλλον] ὑμῖν ταῦτα ἀ γὰρ οἷδα πρὸς ὄντινα μᾶλλον ἀποδύ-ρωμαι.

Οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὐξ Ἀχιλλέως.
Ὁμόσας ἀπάξειν οἴκαδ', ἐς Τροίαν μ' ἄγει.
Προθείς * τε χεῖρα δεξιὰν, τὰ τόξα μου
Ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους ἔχει,
Καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει,
Ὡς ἄνδρ' ἑλών μ' ἰσχυρὸν, ἐκ βίας ἄγει,
Κὐκ οἶδ' ἐναίρων νεκρὸν, ἢ καπνῦ σκιὰν,
Εἴδωλον ἄλλως· ὡ γὰρ ἂν σθένοντά γε
Εἷλέν μ'· ἐπεὶ νῦδ' ὧν ᾧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
Νῦν δ' ἠπάτημαι δύσμορος· τί χρή με δρᾶν;
Ἀλλ' ἀπόδος· ἀλλὰ νῦν ἔτ' ἐν σαυτῷ γενοῦ.
Τί φής; σιωπᾷς; ὦδέν εἰμ' ὁ δύσμορος.
Ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
Εἴσειμι πρός σε ψιλὸς, ὐκ ἔχων τροφήν.
Ἀλλ' αὖ θανοῦμαι † τῷδ' ἐν αὐλίῳ μόνος,
Οὐ πληνὸν ὄρνιν, ὦδε θῆρ' ὀρειβάτην
Τόξοις ἐναίρων τοῖσδέ γ'· ἀλλ' αὐτὸς τάλας
Θανοῦν, παρέξω δαῖθ', ὑφ' ὧν ἐφερβόμην,
Καί μ', ὃς ἐθήρων πρόσθε, θηράσουσι νῦν.
Φόνου φόνος δὲ ῥύσιον τίσω τάλας,
Πρὸς τοῦ δοκοῦντος ὦδὲν εἰδέναι κακόν.
Ὄλοιο μή πω, πρὶν μάθοιμ', εἰ καὶ πάλιν
Γνώμην μετοίσεις· εἰ δὲ μὴ, θάνοις κακῶς.

* Turn. in marg. προσθείς. † Ald. Turn. in textu, αὖ θανοῦμαι.

969. Ἐναίρων νεκρὸν] σφάττων νεκρὸν, κατὰ τὴν παροιμίαν.

976. Πρός σε ψιλὸς] εἴσειμι (φησὶν) ἐς σὲ, τόξων γυμνὸς, τὴν διὰ τῶν τόξων μοι γεγονυῖαν οὐκ ἔχων τροφήν· ἀντὶ τοῦ, ἄνευ τροφῆς ὤν, ἀντὶ τοῦ, ἄνευ τόξων.

977. Ἀλλ' αὖ θανοῦμαι] γράφεται ἀλλ' αὐλανοῦμαι. οἷον, ξηρανθήσομαι.

979. Τόξοις ἐναίρων] ἐγὼ ὁ εἰωθὼς ἐσθίειν τὰ θηρία, βρωθήσομαι νῦν ὑπ' αὐτῶν.

982. Φόνου δὲ ῥύσιον] ἐνέχυρον, ἀμοιβὴν ἐκτίσω. Ὅμηρος· "ῥύσι' ἐλαυνόμενος."

985. Μετοίσεις] μετανοήσεις.

ΧΟΡ. Τί δρῶμεν; ἐν σοί καὶ τὸ πλεῖν ἡμᾶς, ἄναξ,
Ἤδη 'στι, καὶ τοῖς τῇδε προσχωρεῖν λόγοις.
ΝΕΟ. Ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
Τῇδ' ἀνδρὸς. ἐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.
ΦΙΛ. Ἐλέησον, ὦ παῖ, πρὸς θεῶν, καὶ μὴ παρῇς * 990
Σαυτὸν βροτοῖς ὄνειδος ἐκκλέψας ἐμέ.
ΝΕΟ. Οἴμοι, τί δρασω; μή ποτ' ὤφελον λιπεῖν
Τὴν Σκῦρον· ἔτω τοῖς παροῦσιν ἄχθομαι.
ΦΙΛ. Οὐκ εἶ κακὸς σὺ, πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
Ἔοικας ἥκειν αἰσχρά· νῦν δ' ἄλλοισι δὸς, 995
Οἷς εἰκὸς, ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.
ΝΕΟ. Τί δρῶμεν, ἄνδρες;
ΟΔΥ. Ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς;
Οὐκ εἶ μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν;
ΦΙΛ. Οἴμοι· τίς ἀνήρ; ἆρ' Ὀδυσσέως κλύω; 1000
ΟΔΥ. Ὀδυσσέως, σάφ' ἴσθ', ἐμὲ γ', ὃν εἰσορᾷς.
ΦΙΛ. Οἴμοι· πέπραμαι, κἀπόλωλ'· ὅδ' ἦν ἄρα
Ὁ ξυλλαβών με, κἀπονοσφίσας ὅπλων.
ΟΔΥ. Ἐγὼ, σάφ' ἴσθ', ἐκ ἄλλος· ὁμολογῶ τάδε.
ΦΙΛ. Ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα. 1005
ΟΔΥ. Τῦτο μὲν
Οὐδ' ἢν θέλῃ, δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ
Στείχειν ἅμ' αὐτοῖς, ἢ βίᾳ σελῦσί σε.
ΦΙΛ. Ἐμ', ὦ κακῶν κάκιστε καὶ τολμίστα †,
Οἴδ' ἐκ βίας ἄξουσιν; 1010

* Turn. in marg. παρῇ. † Turn. τολμίστατε.

987. Προσχωρεῖν] πείσθῆναι.

995. Νῦν δ' ἄλλοισι δὸς] νῦν δὲ ἄλλοις δὸς, ἀλλὰ πάπαι, οἷς εἰκὸς, ἔκπλει, τὰ ἐμὰ ὅπλα ἐμοὶ δὸς.

997. Τί δρῶμεν, ἄνδρες;] Μεταιρίσας ὁ Νεοπτόλεμος ἤθελε δοῦναι τῷ Φιλοκτήτῃ τὰ ὅπλα αὐτὰ ἐλθὼν δ' ὁ Ὀδυσσεὺς καὶ θεασάμενος αὐτὸν ταῦτά φησιν, Οὐκ εἶ μὲ Ζεὺς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν.

1002. Πέπραμαι] πεπραγμάτευμαι.

1013. Τὰ

ΟΔΥ. Ἢν μὴ ῥῳῆς ἑκών.

ΦΙΛ. Ὦ Λημνία χθὼν, καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον· ταῦτα δῆτ' ἀνασχετὰ,
Εἴ μ' ἔτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;

ΟΔΥ. Ζεύς ἐσθ' (ἴν' εἰδῇς) Ζεὺς ὁ τῆσδε γῆς κρατῶν,
Ζεύς, ᾧ δέδοκται ταῦθ'· ὑπηρετῶ δ' ἐγώ.

ΦΙΛ. Ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν,
Θεοὺς προτείνων, τοὺς θεοὺς ψευδεῖς τιθείς;

ΟΔΥ. Οὐκ· ἀλλ' ἀληθεῖς· ἧδ' ὁδὸς πορευτέα.

ΦΙΛ. Οὔ φημ' ἔγωγε.

ΟΔΥ. Φημί· πειστέον τάδε.

ΦΙΛ. Οἴμοι τάλας· ἡμᾶς μὲν ὡς δέλεις σαφῶς
Πατὴρ ἄρ' ἐξέφυσεν, οὐδ' ἐλευθέρους.

ΟΔΥ. Οὐκ· ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ, καὶ καθασκάψαι βίᾳ.

ΦΙΛ. Οὐδέποτέ γ'· οὐδ' ἦν χρή με πᾶν παθεῖν κακὸν,
Ἕως ἂν ᾖ μοι γῆς τόδ' αἰπεινὸν βάθρον.

ΝΕΟ. Τίδ' ἐργασείεις *;

ΦΙΛ. Κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
Πέτρᾳ πέτρας ἄνωθεν αἱμάξω πεσών.

ΟΔΥ. Ξυλλάβεσθε τοῦτον· μὴ 'πὶ τῷδ' ἔσω τάδε.

ΦΙΛ. Ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης
Νευρᾶς ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.

* Turn. in textu, ἐργάσιμα.

1013. Τὸ παγκρατὲς σέλας Ἡφαιστότευκτον] τὸ Ἡφαίστειον πῦρ· ἐν γὰρ τῇ Λήμνῳ τὰ τοῦ Ἡφαίστου ἐργαστήρια, ἔνθα καὶ κρατῆρες εἰσὶ πυρός.

1014. Ἐκ τῶν σῶν] λείπει κόλπων.

1024. Οὐκ ἀλλ' ὁμοίους] ἀντὶ τοῦ, οὐ δόλῳ σε ἔφυσεν, ἀλλ' ἀρίστου· καὶ μετὰ ἀρίστων τὴν Τροίαν δεῖ σε πορθῆσαι· τοῦτο δὲ προτρεπτικόν.

1030. Πέτρᾳ πέτρας] πρὸς τῇ πέτρᾳ ἑναιμάξω τὴν κεφαλήν μου, ἄνωθεν πεσὼν ἀπὸ πέτρας.

1031. Μὴ 'πὶ τῷδ' ἔσω] μὴ ἔσω ἐπὶ τῷ Φιλοκτήτῃ ἡ ἐξουσία τοῦ κατακρημνίζεσθαι.

1032. Ὦ χεῖρες] διεμέτρος ταῦτά φησι.

1033. Συνθηρώμεναι] ἁλῶσαι καὶ συλλαμβανόμεναι.

1034. Ὦ

Ὦ μηδὲν ὑγιὲς, μηδ' ἐλεύθερον Φρονῶν,
Οἷός μ' ὑπῆλθες· ὡς μ' ἐθηράσω, λαβὼν
Πρόβλημα σαυτῷ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί·
Ἀνάξιον μέν σε, καὶ ἄξιον δ' ἐμοῦ.
Ὃς οὐδὲν ἦδει πλὴν τὸ προσαχθὲν ποιεῖν.
Δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων,
Οἷς τ' αὐτὸς ἐξήμαρτεν, οἷς τ' ἐγὼ πάθον.
Ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
Ψυχή νιν ἀφυῆ τ' ὄντα, κοὐ θέλονθ', ὅμως
Εὖ προὐδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
Καὶ νῦν δέ μ', ὦ δύσηνε *, συνδήσας, νοεῖς
Ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προὐβάλου
Ἄφιλον, ἔρημον, ἄπολιν, ἐν ζῶσιν νεκρόν.
Φεῦ· ὅλοιο· καί σοί πολλάκις τόδ' εὐξάμην †.
Ἀλλ' οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι.
Σὺ μὲν γέγηθας ζῶν· ἐγὼ δ' ἀλγύνομαι
Τὄτ' αὖθ', ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλας,
Γελώμενος πρὸς σοῦ γε ‡ καὶ τῶν Ἀτρέως
Διπλῶν στρατηγῶν §, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
Καίτοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγείς,
Ἔπλεις ἅμ' αὐτοῖς· ἐμὲ δὲ τὸν ναυάθλιον
Ἑκόντα πλεύσανθ' ἑπτὰ ναυσὶ ναυβάτην,
Ἄτιμον ἔκβαλον ‖, ὡς σὺ φῄς· κεῖνοι δὲ, σέ.

* Turn. Καὶ νῦν δέ μ', ὦ δύστηνε. + Ald. Turn. ηὐξάμην.
‡ Ald. σοῦ τε καὶ τῶν Ἀτρίως. § Ald. Δισσῶν στρατηγῶν. ‖ Turn. ἔκβαλον.

1034. Ὦ μηδὲν ὑγιὲς] ὦ δόλιε Ὀδυσσεῦ.
1037. Ἀνάξιον μέν σε] Ἀνάξιος ἦν (φησὶ περιπατεῖν μετὰ σοῦ τοῦ δολεροῦ καὶ σκολιοῦ· ἄξιος δὲ μετ' ἐμοῦ εἶναι τοῦ ὀρθοῦ δολεροῦ.
1042. Ἀφυῆ τ' ὄντα] ἄκακον ἀπὸ φύσεως.
1046. Ἐν ζῶσι νεκρὸν] ἤτοι ὅτι κοιμώμενον αὐτὸν ἔασεν, ἢ διὰ τὸ πάθος, νεκρὸν λέγει.
1053. Κλοπῇ τε κἀνάγκῃ] ἀπάτῃ. καὶ Ὅμηρος· "Κλέπτε νόῳ."
Ib. Ζυγεὶς] ὑποταγείς. ὁ δὲ νῦς· καίτοι σὺ μὲν ἀναγκασθεὶς στρατεύῃ· προσποιήμενον γὰρ αὐτὸν μαίνεσθαι, Παλαμήδης ἤλεγξεν.
1056. Ὡς σὺ φῄς] οἱ Ἀτρεῖδαί με ἐξέβαλον, ὡς σὺ λέγεις.

Ib. Κεῖνοι

Καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγετε; τὸ χάριν;
Ὃς ὐδέν εἰμι, καὶ τέθνηκ' ὑμῖν πάλαι.
Πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν ὐκ εἰμί σοι
Χωλὸς, δυσώδης· πῶς θεοῖς εὔξεσθ', ἐμοῦ
Πλεύσαντος, αἴθειν ἱερά; πῶς σπένδειν ἔτι;
Αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
Κακῶς ὄλοισθ'· ὄλοισθε δ' ἠδικηκότες
Τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
Ἐξοιδά δ' * ὡς μέλει γ'· ἐπεὶ ὅτ' ἂν στόλον
Ἐπλεύσατ' ἂν τόνδ' ἕνεκ' ἀνδρὸς ἀθλίου,
Εἰ μή τι κέρδος θεῖον ἦγ' ὑμᾶς ἐμοῦ·
Ἀλλ', ὦ πάτρια γῆ, θεοί τ' ἐπόψιοι,
Τίσασθε, τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ,
Ξύμπαντας αὐτοὺς, εἴ τι κἄμ' οἰκτείρετε,
Ὡς ζῶ μὲν οἰκτρῶς· εἰ δ' ἴδοιμ' ὀλωλότας
Τούτους, δοκοῦμ' ἂν τῆς νόσου πεφευγέναι.---

ΧΟΡ. Βαρύς τε καὶ βαρεῖαν ὁ ξένος φάτιν
Τήνδ' εἶπ', Ὀδυσσεῦ, κὐχ ὑπείκουσαν κακοῖς.

ΟΔΥ. Πολλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τῆδ' ἔπη,
Εἴ μοι παρείκοι † νῦν δ' ἑνὸς κρατῶ λόγου.
Οὔ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
Χ' ὅπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
Οὐκ ἂν λάβοις μου μᾶλλον ὐδέν' εὐσεβῆ.

* Ald. Turn. Ἐξοιδά γ'. † Turn. παρήκοι.

Ib. Κεῖνοι δὲ, σέ] οἱ δὲ σέ φασιν· σὺ μὲν (ἐκεῖνοι) ἐκείνης αἰτιᾷ, ὑπὲρ τοῦ ἐμὲ ἐκπλῆσαι· ἐμὲ δὲ σε λέγουσιν αἴτιον.

1061. Πλεύσαντος, αἴθειν ἱερά] τοῦτο γὰρ πρήσισαμένου Ὀδυσσέως, ὅτι οὐκ ἔχει θῦσαι τότε ἐπιτηδείως, ἐξέβηκαν αὐτόν.

1064. Εἰ δίκης μέλει] ἡ φρουτὶς ἐστι τῆς δίκης τοῖς θεοῖς.

1068. Θεοί τ' ἐπόψιοι] οἱ ἐφορῶντες τὰ δυστυχοῦντα.

1074. Οὐκ ὑπείκουσαν] οὐκ ἀναδυομένου ἐν τοῖς κακοῖς.

1076. Εἰ μοι παρείκοι] εἰ καιρὸς ἐπιτρέψει μοι, νῦν δὲ σιωπῶ· εἶδε γὰρ τοῦτο ποιεῖν ὅπου δεῖ· νῦν γὰρ σιωπᾶν δεῖ.

1078. Κρίσις] δοκιμασία, ἐξέτασις.

1080. Χρῄζω

Νικᾷν γε μέντοι πανλαχᾷ χρήζων ἔφυν,
Πλὴν εἰς σέ· νῦν δέ σοί γ' ἑκὼν ἐκτήσομαι.
Ἄφελε γὰρ αὐτὸν, μηδὲ προσψαύσητ' ἔτι.
Ἑᾶτε μίμνειν· ἠδέ σε προσχρήζομεν,
Τά γ' ὅπλ' ἔχοντες ταῦτ'· ἐπεὶ πάρεσι μὲν
Τεῦκρος παρ' ἡμῖν, τήνδ' ἐπισήμην ἔχων·
Ἐγὼ δ', ὃς οἶμαί σε κάκιον ἠδὲν ἂν
Τέτων κρατύνειν, μηδ' ἐπιθύνειν χερί.
Τί δῆτά σε δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν.
Ἡμεῖς δ' ἴωμεν· καὶ τάχ' ἂν τὸ σὸν γέρας
Τιμὴν ἐμοὶ νείμειεν, ἣν σ' ἐχρῆν ἔχειν.----- 1090
ΦΙΛ. Οἴμοι· τί δράσω δύσμορος; σὺ τοῖς ἐμοῖς
Ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις Φανῇ;
ΟΔΥ. Μή μ' ἀντιφώνει μηδέν, ὡς σείχουλα δή·
ΦΙΛ. Ὦ σπέρμ' Ἀχιλλέως, ἠδέ σε Φωνῆς ἔτι
Γενήσομαι προσφθεγκτὸς, ἀλλ' ὕπτως ἄπει; 1095
ΟΔΥ. Χώρει σύ· μὴ πρόσλευσσε γενναιός περ ὢν
Ἡμῶν, ὅπως μὴ τὴν τύχην διαφθερεῖς.
ΦΙΛ. Ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος, ὦ ξένοι,
Λειφθήσομ' ἤδη, κἀκ ἐποικλερεῖτέ με;
ΧΟΡ. Ὅδ' ἐστὶν ἡμῶν ναυκράτωρ ὁ πατῆς· ὅσ' ἂν 1100
Οὗτος λέγῃ σοὶ, ταῦτά σοι χ' ἡμεῖς φαμέν·
ΝΕΟ. Ἀκούσομαι μὲν (ὡς ἔφυν) οἴκτῳ πολέως
Πρὸς τῆδ'· ὅμως δὲ μείνατ', εἰ τούτῳ δοκεῖ,

1080. Χρήζω ἔφυν] γράφεται κρείσσων.

1086. Ἐγὼ δ', ὃς οἶμαί] ὁ μόνον ὁ Τεῦκρός ἐστι τοῦτο, ἀλλὰ κἀγὼ ὑπολαμβάνω πλείστων τούτων ἐμπειρον εἶναι, οὐχ ἧττον σοῦ καὶ Ὁμήρου.

" Εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι "

1087. Τέτων κρατύνειν] τῶν τόξων.

1088. Τί δῆτα σε δεῖ] ἀντὶ τοῦ, Τίς σὲ χρεία;

1b. Χαῖρε τὴν Λῆμνον πατῶν] λύων τὴν διατριβὴν τῆς Λήμνου.

1095. Προσθεγκτὸς] προσφωνηθῆναι ἄξιος.

1098. Ἦ καὶ πρὸς ὑμῶν] ἆρα καὶ ὑμεῖς μιμήσεσθε τούτους, καὶ ἀνηλεεῖς γενήσεσθε εἰς ἐμέ.

1101. Ἀκούσομαι μὲν] ἀκούσομαι πρὸς τοῦτο, ὡς ἐμοὶ οἰκτίρμονος ὄντος, καταγνασθήσομαι ὡς ἧττον οἰκτίρμων.

1104. Τὸ

Χρόνον τοσοῦτον εἰς ὅσον τά τ' ἐκ νεὼς
Στείλωσι ναῦται, καὶ θεοῖς εὐξώμεθα.
Χ. ἔτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι
Λῴω τίν' ἡμῖν· νὼ μὲν ἕν ὁρμώμεθον·
Ὑμεῖς δ', ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΦΙΛ. Ὦ κοίλας πέτρας γύαλον
Θερμόν τε καὶ παγετῶδες, ὡς
Σ' ἐκ ἔμελλον ἆρ' ὦ τάλας
Λείψειν ἀδέποτ', ἀλλά μοι
Καὶ θνήσκοντι συνοίσῃ.
Ὤ μοι, μοι, μοι.
Ὦ πληρέσαλον αὔλιον
Λύπας τᾶς ἀπ' ἐμοῦ τάλαν·
Τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ
Ἔσαι; τοῦ ποτε τεύξομαι
Σιτονόμου μέλεος; πόθεν ἐλπίδος;
Εἴθ' αἰθέρος ἄνω

1104. Τὰ τ' ἐκ νεὼς] τὰ ἐπὶ τῆς νεώς.
1105. Στείλωσι] κοσμήσωσιν.
1106. Ἐν τούτῳ] ἐν τοσούτῳ.
1108. Ταχεῖς] γίγνεσθε ὀηλονότι.
1109. Ὦ κοίλας πέτρας γύαλον] ὦ σπήλαιον θερμὸν ὑπὸ τοῦ ἡλίου· ἢ διὰ τὸ ψύχος παγετῶδες. Ἢ ὅτως. ἐν θέρει ψυχρὸν, ἐν δὲ χειμῶνι θερμὸν ἀντὶ τοῦ, ἐπιτήδειον εἰς χειμῶνα καὶ θέρος. γύαλον δὲ ἀντὶ τοῦ κοῖλον. κυρίως δὲ γύαλα, τὰ κοῖλα λέγεται· ἀλλ' ἰὰν ὕτω μεταφράσῃς, ἀπίθανον ἔσαι τὸ κοῖλον κοίλωμα· διὸ δὴ τὸ κεῖθι ἡμεῖς ἀντὶ τοῦ ἄλσος μεταφράζομεν.
1112. Ἀλλά μοι καὶ θνήσκοντι συνοίσῃ] ἀντὶ τοῦ, καὶ ἀπολλυμένῳ μοι σύμφορον ἔσῃ καὶ ὠφέλιμον, καὶ δίχῃ μὲ ἀποθανόντα. ὑπερβολικῶς· οἷον, καὶ μετὰ θάνατόν συνελεύσῃ μοι, καὶ ὃ καταλείψεις με.
1117. Τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ] τί ἄρα τρόφιμόν μοι καθ' ἡμέραν ἔσαι; ὃ γὰρ ἐπικρατῶ ἐμαυτόν. ἢ, ὃ γὰρ ἔστι ἔχω ἐλπίδα.
1119. Σιτονόμου] ἀντὶ τοῦ σίτου νέμοντος, ἤτοι τροφέως.
Ib. Πόθεν ἐλπίδος] ἀπὸ ποίας ἐλπίδος;
1120. Εἴθ' αἰθέρος ἄνω πτωκάδες] τὸ ἐξῆς, εἴθε αἰθέρος ἄνω ἦλασι μὲ ὀξύτονοι δρομάδες διὰ πνεύματος. Τινὲς δὲ ὕτω, μετὰ ὀξυβόου πνεύματος ἦλωσί μὲ ὀξύτονον δὲ λέγει πνεῦμα, ἀπὸ τοῦ ὀξυβόου βοᾶν· γράφεται δρομάδες, αἱ καταιγίδες· τινὲς δὲ γράφουσι πτωχάδες, ἵνα τὰς Ἅρπυιας σημαίνωσι, διὰ τὸ ἀεὶ πεινᾶν.

Πτωκάδες * ὀξυτόνῳ διὰ πνεύμα]ος
Ἕλωσί μ'· ἐ γὰρ ἔτ' ἰσχύω †.-----

ΣΤΡΟΦΗ Ε.

ΧΟΡ. Σύ τοι, σύ τοι κα]ηξίω-
σας, ὦ βαρύπο]με·
Οὐκ ἄλλοθεν ἔχῃ τύχᾳ
Τᾶδ' ἀπὸ μείζονος·
Εὖτέ γε παρὸν φρονῆσαι
Τὸ λῴονος δαίμονος,
Εἵλε τὸ κάκιον ἑλεῖν.-----

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΦΙΛ. Ὦ τλάμων τλάμων ἆρ' ἐγώ,
Καὶ μόχθῳ λωβατὸς, ὃς ἤ-
δη μετ' ἐδενὸς ὕστερον
Ἀνδρῶν εἰσοπίσω τάλας
Ναίων ἐνθάδ' ὀλοῦμαι,
(Αἴ, αἴ, αἴ, αἴ)
Οὐ φορβὰν ἔτι προσφέρων.
Οὐ πλαγκῶν ἐπ' ἐμῶν ὅπλων

* Turn. in marg. πτωχάδες. † Turn. Ald. Ἰσχύω.

1121. Πτωκάδες] γράφεται πτωκάδες, πτοιάδες, πτωχάδες, δρομάδες. αἱ Ἀρτυνικὰ ἐπιθετικῶς, διὰ τὸ ἐπεμπίπτειν, ἢ διὰ τὴν φωνήν. εἰ δὲ γράφεται πτωχάδες, αἱ διὰ πειναῦσαι· τοῦτο γὰρ πάσχουσιν οἱ πτωχοί.

1123. Σύ τοι, σύ τοι κα]ηξίωσας] σὺ σαυτῷ περιεποίησας τὴν νόσον· σὺ σαυτῷ τοῦτο τὸ ἀξίωμα καὶ αἴτιος γέγονας, ὦ δυστυχίζεται· σὺ σαυτῷ κα]ηξίωσας, καὶ ἐκ τίνος τοιούτῳ τύχῃ ἐνίσχῃ, ἢ συνίσχῃ, ἀπὸ μείζονος σοῦ. διὸ μηδένα ἄλλον αἰτιῶ, ἀλλὰ σαυτόν. ἐξὸν γάρ σοι ἀκολουθήσαντι τὰ κακὰ διαφυγεῖν.

1127. Εὖτέ γε παρὸν φρονῆσαι] ὅτι γε παρόντος σοι φρονῆσαι τὸ λυσιτελὲς ἀπὸ λώπης δαίμονος, τὸ κακίον εἵλω, τὸ μὴ ἐλθεῖν· λώπην δὲ δαίμονος λέγει, τὴν λυσιτελεστέρου καὶ συμφόρου.

1131. Λωβατὸς] ἐπίπονος.

1b. Ὃς ἤδη μετ' ὀδικὸς] τὸ ἐξῆς, ὃς ἤδη μετ' ἐδενὸς ὕστερον ἀνδρὸς εἰσοπίσω τάλας ναίων. Ὁ δὲ νῦν, ἄρα ἐγὼ δύστηνος ἐνταῦθα ἀπολοῦμαι ἀνθρώπων ἀπεχωρισμένος.

1136. Οὐ φορβὰν ἔτι προσφέρων] ἀντὶ τοῦ προσφερόμενος. ἐνίοτε δὲ ἐμπαλίν φησι διακονούμενος, ἀντὶ τοῦ διακονῶν· καὶ ἐκβαδίσαντος μου· ἀντὶ τοῦ ἐκβαδίσαντος.

1139. Ἀλλὰ

Κραταιαῖς μετὰ χερσὶν
Ἴσχων, ἀλλά μοι ἄσκοπα *
Κρυπτά τ' ἔπη δολερᾶς ὑπὸ δου Φρενός.
Ἴδοιμι δέ γέ νιν †
Τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
Ἐμὰς λαχόντ' ἀνίας.-----

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΧΟΡ. Πότμος σε δαιμόνων τάδε,
Οὐδὲ σέ γε δόλος ἔσχ' ὑπὸ
Χειρὸς ἐμᾶς· συγερὰν
Ἔχε δύσπο]μον
Ἀρὰν ἀρὰν ἐπ' ἄλλοις·
Καὶ γὰρ ἐμοὶ τῦτο μέλει
Μὴ φιλότητ' ἀπώσῃ.

ΣΤΡΟΦΗ Γ.

ΦΙΛ. Οἴμοι, μοι· καί πω πολιᾶς
Πόντῳ θινὸς ἐφήμενος

* Turn. in marg. ἄφωνα. † Ald. Ἰδοίμαν δέ νιν.

1139. Ἀλλά μοι ἄσκοπα] ἀπροσδόκητα, ἄδηλα, ἃ οὐκ ἔξι προσκέψασθαι. γράφεται δὲ καὶ ἄφωνα, ἀπὸ τῦ μὴ φορεῖν· ἀντὶ τῦ, λαθραία, ἀπὸ μεταφορᾶς τῶν κολυμβώντων. κρυπτὰ δὲ ἔπη φησὶ, τὰ τῷ Ὀδυσσεῖ. Εἰς τὸ αὐτὸ· ἀλλά μοι τὰ ἀφανῆ καὶ κρυπτὰ δολίας φρενὸς ὑπίδυ μι. τὸ δὲ ἑξῆς, ἀλλά μοι ὑπὸ δυ ἄσκοπα κρυπτά τε ἔπη δολερᾶς φρενός.

1141. Ἰδοίμαν δέ νιν] ὡς κατευχόμενος φησὶ, γένοιτο δή μοι ἰδεῖν τὸν παραίτιον τύτων ὧν πάσχω, τὸν ἴσον χρόνον δυστυχῆσαι, τῆς ἐμῆς λαχόντα ἀνίας καὶ λύπης. ἤτοι τῆς νόσυ. δεῖ δὲ καὶ κατὰ πληθυντικὸν ἀκούεσθαι, ἡμᾶς λαχόντ' ἀνίας· ἀλλά τῆς ποιητικωτέρας ἡ τοιαύτη φράσις.

1144. Πότμος σε δαιμόνων] λείπει ἡ ἐξ ἐκ Διῶν γὰρ τύχη τις τῦτό σοι κεκλήρωκε καὶ οὐχ ὑπ' ἐμοῦ δεδόλωσαι· κατὰ κοινῦ δὲ τὸ ἔσχε, τὸ δὲ ἑξῆς, πότμος σε δαιμόνων τάδ' ἔσχεν, οὐδέ σ. δόλος ἔσχεν ὑπὸ χειρὸς ἐμῆς. Ὁ δὲ νῦς, παῦσαι τῶν παταρῶν τύτων, ᾧ Φιλοκτήτα· μὴ διὰ τύτων κτήσῃ ἡμᾶς ἐχθρός· Διὸς γὰρ τῆς ἀυστυχίας ταύτης παραίτιος, οὐχ ἡμεῖς γεγόναμεν, ἅτε δόλῳ ὑπεισελθόντες, ὅτε ἄλλό τι πραγματευσάμενοι.

1148. Ἀρὰν ἀρὰν ἐπ' ἄλλοις] δεῖ ἀκούεσθαι ἐπὶ τῶν μάτην κατειρωμένων· σαυτῷ γὰρ ἐγένε τύτων αἰτίας, ἰδικῶς οὐ καταρῶ τοῖς ἄλλοις, καὶ μὴ κοινῶς καὶ ἡμῖν.

1149. Καὶ γὰρ ἐμοὶ τῦτο μέλει] μέλει μοι τὸ παραινέσαι σοι, ἵνα μὴ ἀπώσῃ τὴν φι-

Γελᾷ μ', χερὶ πάλλων
Τὰν ἐμὰν μελέᾳ τροφάν,
Τὰν ὠλείς ποτ' ἐβάσασεν.
Ὦ τόξον φίλον *, ὦ φίλων
Χερῶν ἐκβεβιασμένον,
Ἦ πᾳ ἐλεεινὸν ὁρᾷς, φρένας εἴ τινας
Ἴσχεις, τὸν Ἡράκλειον
Ἄεθλον ὧδέ σοι
Οὐκέτι χρησόμενον τὸ μεθύστερον·
Ἀλλ' ἐν μεταλλαγᾷ
Πολυμηχάνᾳ ἀνδρὸς ἐρέσσῃ,
Ὁρῶν μὲν αἰσχρὰς ἀπάτας,
Στυγνὸν δὲ φῶτ' ἐχθοδοπὸν
Μυρί' ἀπ' αἰσχρῶν ἀναπέλλον-
θ' ὅσ' ἐφ' ἡμῖν κάκ' ἐμήσατ' Ὀδυσσεύς.

ΣΤΡΟΦΗ Α.

ΧΟΡ. "Ἀνδρός τοι τὸ μὲν εὖ, δίκαιον εἰπεῖν·
"Εἰπόντος δὲ; μὴ φθονερὰν
"Ἐξῶσαι γλώσσας ὀδύναν·"
Κεῖνος δ' εἷς ἀπὸ πολλῶν

* ALD. TURN. Ὦ τόξον φίλων.

λίαν. οἷον, ὦ Σίλω σε ἐχθρὰν ἡμῖν κατασῆσαι. καὶ διὰ τοῦτο παραινῶ μὴ ἀπώσασθαι τὴν φιλίαν ἡμῶν.

1159. Ἔχεις, τὸν Ἡράκλειον ἆθλον] ἀντὶ τοῦ, ἐμὲ τὸν τοῦ Ἡρακλέους διάδοχον, ἢ ἐμὲ τὸν ἐπὶ τῷ Ἡρακλεῖ ἆθλον ποιήσαντα τὴν πυρὰν καὶ ὑφάψαντα αὐτήν.

1168. Ἀνδρός τοι τὸ μὲν εὖ] ἀγαθοῦ μὲν ἀνδρός ἐστι, τὸ ἀληθὲς ἐν καιρῷ λέγειν, (δίκαιον γὰρ νῦν φησὶ τὸ ἀληθές· εὖ δὲ, τὸ ἐν καιρῷ. ὠφέλει δὲ καὶ ὁ ἀκὼν μὴ ἐκφαυλίζειν τὰ λεγόμενα· τοῦτο δέ φησιν, ὅτι ὁ μὲν Νεοπτόλεμος τὸ ἀληθὲς εἶπεν, ὁ δὲ Φιλοκτήτης ἐξημάρτησεν εἰς τὸ αὐτό. ἀγαθοῦ μὲν ἀνδρός ἐστι τὸ δίκαιον εἰπεῖν· εἰπόντα δὲ, μὴ φθονεῖσθαι. φησὶ δὲ ὅτι οὐκ ἔδει σε τῷ Νεοπτολέμῳ φθονεῖν, εἰπόντι τὰ δίκαια. κατὰ κοινῶν δὲ τὸ δίκαιον, ὅτως, ἀγαθοῦ ἀνδρός ἐστι, τὸ λέγειν τὸ δίκαιον· δίκαιον δὲ καί σε ὁμολογεῖν, ὅτι εὖ πέπρακται ἀκόντα δὲ τοῦτο, μὴ φθονερόν τι καὶ ὀδυνηρὸν ἐπιφθέγξασθαι.

1171. Εἷς ἀπὸ πολλῶν] εἷς ἀπὸ πολλῶν συμμάχων.

1172. τοῦ

Ταχθεὶς, τῶδ' ἐφημοσύνᾳ *
Κοινὰν ἤνυσεν
Ἐς φίλας ἀρωγάν.-----

ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΦΙΛ. Ὦ ωταναὶ θῆραι †, χαροπῶν
Τ' ἔθνη θηρῶν, ἃς ὅδ' ἔχει
Χῶρος ὀρεσιβώτας,
Φυγᾷ μ' ὐκέτ' ἀπ' αὐλίων
Πελᾶτ'· ὃ γὰρ ἔχω χεροῖν
Τὰν ωρόσθεν βελέων ἀλκάν·
Ὦ δύσηνος ἐγὼ τανῦν·
Ἀλλ' ἀνέδην ὅδε χῶρος ἐρύκεται,
Οὐκέτι φοβητὸς ὑμίν.
Ἕρπετε νῦν καλὸν
Ἀντίφονον κορέσαι σόμα ωρὸς χάριν
Ἐμᾶς σαρκὸς αἰόλας ‡·
Ἀπὸ γὰρ βίον αὐτίκα λείψω.
Πόθεν γὰρ ἔσαι βιοτά;
Τίς ὧδ' ἐν αὔραις τρέφεται,
Μηκέτι μηδενὸς κρατύνων
Ὅσα ωέμπει βιόδωρος αἶα;

* Turn. ἐυφημοσύνᾳ. † Turn. Ὦ ωταναὶ θῆρες.
‡ Turn. Τῆς δ' αἰόλας σαρκός.

1172. Τῶδ' ἐφημοσύνᾳ] τὸ ἐξῆς, τῶδ' ἐφημοσύνᾳ ἤνυσε κοινὰν ἐς φίλας ἀρωγάν.

1175. Ὦ ωταναὶ θῆραι] ἀντὶ τοῦ· ὦ ωτηνῶν ἄγραι, ἀγρεύει γὰρ καὶ ωτηνά.

1178. Φυγᾷ μ' ὐκέτ' ἀπ' αὐλίων] ἀντὶ τοῦ, ὐκέτι φεύξεσθέ με. ὐκέτι μετὰ φυγῆς καὶ φόβου ωροσπελάσετέ με.

1182. Ἀλλ' ἀνέδην ὅδε χῶρος] ἀνειμένος καὶ ἁπλωμένος· ἢ ἐπ' ἐξουσίας ὁ τόπος ὑμῖν ἔστος ἀνεῖται. ἀντὶ τοῦ, ἀδείᾳ ὑπὸ τῶν θηρῶν ὁ τόπος κατασχεθήσεται.

1183. Φοβητὸς] φόβου ἱμπειῶν.

1186. Σαρκὸς αἰόλας] ωοικίλης, διὰ τὰ τραύματα.

1189. Τίς ὧδ' ἐν αὔραις] τίς τρέφεται ἐξ ἀνέμων, ἢ τίς ἐν τοῖς ἀνέμοις ἀναςρέφεται καὶ διάγει, μηδενὸς τῶν ἐκ γῆς τροφίμων εὐπορῶν;

1190. Κρατύνων] ἰσχυρὸς ὤν, εὐπορῶν.

1193.

ΑΝΤΙΣΤΡΟΦΗ Δ.

ΧΟΡ. Πρὸς θεῶν, εἴ τι σέβῃ ξένον, πέλασσον
Εὐνοίᾳ πάσᾳ πελάτων.
Ἀλλὰ γνῶθ', ᾧ γνῶθ'. Ὅτι σοὶ
Κῆρα τάνδ' ἀποφεύγειν *. 1195
Οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς
Δ' ἔχειν † μυρίον
Ἄχθος, ᾧ ξυνοικεῖ.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΦΙΛ. Πάλιν, πάλιν παλαιὸν
Ἄλγημ' ὑπέμνασας, 1200
Ὦ λῷστε, τῶν πρὶν ἐντόπων.
Τί μ' ὤλεσας; τί μ' εἴργασαι;------
ΧΟΡ. Τί τῦτ' ἔλεξας;
ΦΙΛ. Εἰ σὺ τὰν ἐμοὶ συγερὰν
Τροάδα γᾶν μ' ἤλπισάς μ' ἄξειν. 1205
ΧΟΡ. Τόδε γὰρ νοῶ κράτιστον.
ΦΙΛ. Ἀπὸ νῦν με λείπετ' ἤδη.
ΧΟΡ. Φίλα μοι, φίλα ταῦτα
Παρήγγειλας, ἑκόντι τε πράσσειν.

* Turn. ἀποφυγεῖν. † Ald. Turn. Δ' ἔχειν.

1192. Εἴ τι σέβῃ ξένον] ἑαυτὸν φησιν ὁ χορός· ὅτι ἐμοὶ τῷ ξένῳ μετ' εὐνοίας πρόσελθε. ἀντὶ τοῦ, φίλος ἡμῖν γενοῦ.

1194. Ἀλλὰ γνῶθ', ᾧ γνῶθι] ἔστω τινὲς σίζοντες, ἀλλὰ γνῶθ', εὖ γνῶθι. οἶον, τὰ ὄντα σοι μάνθανε· τὰ περὶ τῆς νόσου δὲ ἄλλα φέντι τοῦ δὲ γνῶθι δὲ ἵν' ᾖ ἦτα, πρὸς θεῶν, εἶτι σέβῃ ξένον πελάτην, πέλασον πάσῃ εὐνοίᾳ, γνῶθι, ὅτι κῆρα τήνδ' ἀποφυγεῖν σοι πάρεστιν, εἰ πεισθείης ἡμῖν· ὅ ἐστι, τὴν νόσον. ἔστος δὲ, φαῦτα λεγόντων, συνίησιν ὅτι παραινοῦσιν αὐτῷ μὴς Ἴλιον ἐλθεῖν. πρὸς ὃ ἀνακράζει τὸ πάλιν πάλιν· πάλιν τῶν τῆς Ἰλίου με τόπων ἀνέμνησας, ἢ τῶν οἰκείων κακῶν. ὑγιῶς δὲ ἔχει, περιτλευσάσης τῆς ἐν προθέσεως.

1201. Ὦ λῷστε, τῶν πρὶν ἐντόπων] ὦ βέλτιστε τῶν πλησιασάντων μοι πρὶν, ἢ τῶν περὶ Ὀδυσσέα.

1204. Εἰ σὺ τὰν ἐμοὶ] λείπει ἡ εἰς· ἵν' ᾖς, εἰς τὴν μισουμένην μοι.

1208. Φίλα μοι, φίλα] ἐμοὶ βουλομένῳ σε θέως ἀποπλεῦσαι, φίλα ἐστὶν ἃ κελεύεις καὶ ἡδέα.

1210. Ἴωμεν

Ἴωμεν, ἴωμεν ναὸς, ἵν' ἡμῖν τέτακται
ΦΙΛ. Μὴ, πρὸς ἀραίᾳ Διὸς, ἔλθῃς ἱκετεύω.
ΧΟΡ. Μετριάζε.
ΦΙΛ. Ὦ ξένοι, μείνατε, πρὸς θεῶν.
ΧΟΡ. Τί θροεῖς;
ΦΙΛ. Αἴ, αἴ, αἴ· δαίμων, δαίμων,
Ἀπόλωλ', ὦ τάλας.
Ὦ πῦς, πῦς, τί σ' ἔτ' ἐν βίῳ
Τεύξω τὸ μετόπιν τάλας;
Ὦ ξένοι, ἔλθετ' ἐπήλυδες αὖθις.
ΧΟΡ. Τί ῥέξοντες ἀλλοκότῳ γνώμᾳ
Τῶν πάρος, ὧν πρόφανες;
ΦΙΛ. Οὗτοι νεμεσητὸν
Ἀλύοντα χειμερίῳ λύπᾳ,
Καὶ παρὰ νᾶν θροεῖν.
ΧΟΡ. Βᾶθί νῦν *, ὦ τάλαν, ὡς σε κελεύομεν.
ΦΙΛ. Οὐδέποτ', ἀδέποτ'· (ἴσθι τόδ' ἔμπεδον·)
Οὐδ' εἰ πυρφόρος ἀστεροπητὰς
Βρονταῖς αὐταῖς † μ' εἴσι φλογίζων.
Ἐρρέτω Ἴλιον, οἵ θ' ὑπ' ἐκείνῳ
Πάντες, ὅσοι τόδ' ἔτλασαν ἐμὲ πρὸς θεῶν

* ALD. Βᾶθι νῦν. † TURN. in marg. Βροντᾶις αὐγαῖς.

1210. Ἴωμεν ναὸς, ἵν' ἡμῖν] ὅπου ἡμῖν ἀφῖχθαι ἡ ναῦς. ἐπὶ τῆς ναὸς, ἀντὶ τοῦ, ἧς τὴν ναῦν.

1211. Μὴ πρὸς ἀραίᾳ] ἀρὰ ἡ εὐχή. ἀραῖος δὲ ᾧ πάντες προσευχόμεθα, ἢ ὃν ἐπικαλούμεθα ἀμύνειν. ὥσπερ δὲ ἱκεσίᾳ λέγουσι τὸ τὸν ἱκέτας ἐπεπλευκότος, οὕτως, ἀραίᾳ τῷ τὰς ἀρωμένης ἐπισκοπῶντος.

Ib. Ἔλθῃς] ἀντὶ τοῦ ἀπέλθῃς.

1218. Τὸ μετόπιν] μετὰ ταῦτα, μετόπισθεν.

1219. Ἐπήλυδες] αὐτόχθονες

1220. Τί ῥέξοντες] τί πράξοντες ἐναντίᾳ γνώμῃ ἕτερον παρὰ τὸ πρότερον;

1223. Χειμερίῳ λύπᾳ] παροιχώδει πάθει, μεταφορικῶς· ὡς ἴσι (φησὶ) μεμπτὸν τῷ δυστυχοῦντι πᾶν παρηφθίγγεσθαι.

1226. Ἴσθι τόδ' ἔμπεδον] τοῦτο γίγνωσκε, ὅτι οὐκ ἔρχομαι, οὐδ' εἰ αὐτὸς ὁ Ζεὺς πυρφόρος μετέλθοι μὲ ταῖς βροντῇσι. τετίγει, οὐδ' εἰ κεραυνοῖ με ὁ Ζεὺς ὢν μὴ ἔλθω. γράφεται καὶ αὐγαῖς, ταῖς βροντῶν αὐγαῖς ταῖς κεραυνίοις. ἴσι μὲν λαβεῖν καὶ βροντᾶς, ἀντὶ τοῦ βροντήσας,

Ἄρθρον ἀπῶσ'· ἀλλ', ὦ ξένοι, ἓν γέ μοι
Εὖχος ὀρέξατε.

ΧΟΡ. Ποῖον ἐρεῖς τόδ' ἔπος;

ΦΙΑ. Ξίφος εἴ ποθεν,
Ἢ γένυν, ἢ βελέων τι, προπέμψα[τε.]

ΧΟΡ. Ὡς τίνα ῥέξειας παλάμαν ποτέ;

ΦΙΑ. Κρᾶτ' ἀπὸ πάντα καὶ ἄρθρα τεμῶ χερί.
Φονᾷ, φονᾷ, νόος ἤδη.

ΧΟΡ. Τί πο[ε;]

ΦΙΑ. Πατέρα ματεύων.

ΧΟΡ. Ποῖ γᾶς;

ΦΙΑ. Εἰς ᾅδ· ὃ γάρ ἐσ' ἐν φάει γ' ἔτι.
Ὦ πόλις, ὦ πόλις πατρία,
Πῶς ἂν εἰσίδοιμί σ' ἄθλιός γ' ἀνήρ;
Ὃς γε σὰν λιπὼν ἱερὰν λιβάδ', ἐχθροῖς ἔβαν
Δαναοῖς ἀρωγὸς; ἔτ' ὐδέν εἰμι.----

IAMBOI.

ΧΟΡ. Ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
Στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα στείχο[ντα, τόν τ' Ἀχιλλέως
Γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν *.

ΟΔΥ. Οὐκ ἂν φράσειας ἤντιν' αὖ παλίν[τροπος]

* ALD. TURN. ἰλιύσσομεν.

βροντήσας. καθάπερ καὶ ἐν Τδροφόροις τὸν Διόνυσον εἶπε Βακχᾶν, ἀντὶ τοῦ βακχευτάν.

1235. Ἢ γένυν, ἢ βελέων τι] ἀντὶ τοῦ πέλεκυν, ἢ γενῆδα, ἢ ἀξίνην.

1236. Παλάμαν] πρᾶξιν· ὅθεν καὶ παλαμᾶσθαι· ἢ τέχνην.

1238. Φονᾷ] φονᾷ, θανάτοις, θανάτῳ ἐπιθυμεῖ.

1245. Ὃς γε σὰν λιπὼν] ὕστις ποτὲ κα-ταλιπών σε, ἐπὶ τῷ βοηθεῖν τοῖς Ἕλλησιν, οὐκ ἔτι ὠφέλιμός εἰμι.

Ib. Ἱεραν λιβάδ'] τὴν τοῦ ἐπιχωρίου ποίαμου.

1247. Ἐγὼ μὲ ἤδη] ἐντεῦθεν ἐπλῶν ἐγὼ τὸ ἐπεισόδειον.

1248. Στείχων ἂν ἦν σοι] ἐπορευόμην ἄν, τὸ δὲ σοὶ, παρέλκει.

1251. Ἤντιν' αὖ] ἀντὶ τοῦ, εἰς ποῖον τόπον ἀπίξῃ ὕστω σεσωσμένος;

Ib. Παλίντροπος]

Κέλευθον ἕρπεις ὥδε σὺν σπουδῇ ταχύς;
ΝΕΟ. Λύσων ὅσ' ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
ΟΔΥ. Δεινόν γε φωνεῖς· ἡδὺ δ' ἁμαρτία τίς ἦν;
ΝΕΟ. Ἣν σοι πιθόμενος τῷ τε σύμπαντι στρατῷ.
ΟΔΥ. Ἔπραξας ἔργον ποῖον, ὧν ἄ σοι πρέπον;
ΝΕΟ. Ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.
ΟΔΥ. Τὸ ποῖον *; ὤμοι· μῶν τι βουλεύῃ νέον;
ΝΕΟ. Νέον μὲν οὐδέν· τῷ δὲ Ποίαντος τόκῳ-----
ΟΔΥ. Τί χρῆμα δράσεις; ὡς μ' ὑπῆλθέ τις φόβος;
ΝΕΟ. Παρ' ὅπερ ἔλαβον τάδε τὰ τόξ', αὖθις πάλιν---
ΟΔΥ. Ὦ Ζεῦ, τί λέξεις; ἔτι που δοῦναι νοεῖς;
ΝΕΟ. Αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκῃ λαβὼν ἔχω.
ΟΔΥ. Πρὸς θεῶν, πότερα δὴ περῶμῶν λέγεις τάδε;
ΝΕΟ. Εἰ περῶμησίς ἐστι ταληθῆ λέγειν.
ΟΔΥ. Τί φῄς, Ἀχιλλέως παῖ; τίν' εἴρηκας λόγον;
ΝΕΟ. Δὶς ταῦτα βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη;
ΟΔΥ. Ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.
ΝΕΟ. Εὖ νῦν ἐπίσω· πάντ' ἀκήκοας † λόγον.
ΟΔΥ. Ἔστίν τις, ἔστιν ὅς σε κωλύσει τὸ δρᾶν.
ΝΕΟ. Τί φῄς; τίς ἔσται μ' οὐπικωλύσων τάδε;
ΟΔΥ. Ξύμπας Ἀχαιῶν λαός· ἐν δὲ τοῖσδ' ἐγώ.
ΝΕΟ. Σοφὸς πεφυκὼς, οὐδὲν ἐξαυδᾷς σοφόν.
ΟΔΥ. Σὺ δ' ὅτε φωνεῖς, ὅτε δρασείεις σοφόν.
ΝΕΟ. Ἀλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.
ΟΔΥ. Καὶ πῶς δίκαιον, ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς,

* Turn. Τὸ ποῖον. † Turn. in textu, ἀκήκοας.

Ib. Παλίνδρομος] ἐξ ὑποσχαφῆς· τοῦτο δὲ ὁ Νεοπτόλεμος ἀποδῆναι βουλόμενος τὰ τόξα τῷ Φιλοκτήτῃ, ἐπιπλήσσεται ὑπὸ τῶ Ὀδυσσέως.

1267. Ἀναπολεῖν μ' ἔπη] τὰ αὐτὰ λέγειν ἀπὸ τῶν δευτέρων ἀναπολούντων τὴν ἁρπασμίνην γῆν.

Πάλιν μεθεῖναι ταῦτα;

ΝΕΟ. Τὴν ἁμαρτίαν
Αἰσχρὰν ἁμαρτὼν, ἀναλαβεῖν πείρασομαι.
ΟΔΥ. Στραλὼν δ' Ἀχαιῶν ὁ φοβῆ πράσσων τάδε;
ΝΕΟ. Ξὺν τῷ δικαίῳ τὸν σὸν ὁ ταρβῶ φόβον.
Ἀλλ' εὖδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν.
ΟΔΥ. Οὔτ' ἄρα Τρωσὶν, ἀλλά σοι μαχούμεθα.
ΝΕΟ. Ἔσω τὸ μέλλον.
ΟΔΥ. Χεῖρα δεξιὰν ὁρᾷς
Κώπης ἐπιψαύουσαν;
ΝΕΟ. Ἀλλὰ κἀμέ τοι
Ταὐτὸν τόδ' ὄψει δρῶντα, κὐ μέλλοντ' ἔτι.
ΟΔΥ. Καίτοι σ' ἐάσω· τῷ δὲ σύμπαντι στρατῷ
Λέξω τάδ' ἐλθὼν, ὅς σε τιμωρήσεται.
ΝΕΟ. Ἐσωφρόνησας· κἂν τὰ λοίφ' ὕστω φρονῇς,
Ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
Σὺ δ', ὦ Ποίαντος παῖ (Φιλοκτήτην λέγω)
Ἔξελθ' ἀμείψας τάσδε πετρήρεις στέγας.
ΦΙΛ. Τίς αὖ πάρ' ἄντροις θόρυβος ἵσταται βοῆς;
Τί μ' ἐκκαλεῖσθε; τἄ κεχρημένοι *, ξένοι;
Ὤμοι· κακὸν τὸ χρῆμα· μῶν τί μοι μέγα
Πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν;----
ΝΕΟ. Θάρσει· λόγος δ' ἄκουσον, ὃς ἥκω φέρων.
ΦΙΛ. Δέδοικ' ἔγωγε· καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
Καλῶν, κακῶς ἔπραξα, σοῖς πεισθεὶς λόγοις.
ΝΕΟ. Οὐκοῦν ἔνεστι καὶ μεταγνῶναι πάλιν;
ΦΙΛ. Τοιοῦτος ἦσθα τοῖς λόγοισι, χ' ὥτέ μοι

* Aldus, τἄ, κεχρημένα.

1287. Ἀλλ' εὖδέ τοι σῇ χειρὶ] ἀλλ' εὖδε ταῦτα ποιεῖν.
πειθόμαι τῇ σῇ χειρὶ, ἤγουν, τῇ συνάμει, 1294. Ἀμείψας] καταλιπών.
1304. Ἀπ-

Τὰ τόξ' ἔκλεπτες πιστὸς, ἀτηρὸς λάθρα.
ΝΕΟ. Ἀλλ' ὅτι μὴ νῶν· βέλομαι δέ σε κλύειν, 1305
Πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
Ἢ πλεῖν μεθ' ἡμῶν.
ΦΙΛ. Παῦε *, μὴ λέξῃς πέρα
Μάτην γάρ, ἃ 'γὼ εἶπης γε, πάντ' εἰρήσεται.
ΝΕΟ. Οὕτω δέδοκται; 1310
ΦΙΛ. Καὶ πέρα γ' ἴσθ' ἃ λέγω.
ΝΕΟ. Ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις
Ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
Κυρῶ, πέπαυμαι.
ΦΙΛ. Πάντα γὰρ φράσεις μάτην·
Οὐ γάρ ποτ' εὖνουν τὴν ἐμὴν κτήσῃ φρένα, 1316
Ὅστις γ' ἐμὲ δόλοισι τὸν βίον λαβὼν
Ἀπεξέρηκας, κἄτα νοθεῖς ἐμὲ
Ἐλθὼν, ἀρίστου πατρὸς ἔχθιστος γεγώς.
Ὤλοισθ', Ἀτρεῖδαι μὲν μάλιστ'· ἔπειτα δὲ, 1320
Ὁ Λαρτίου παῖς, καὶ σύ.
ΝΕΟ. Μὴ 'πεύξῃ πέρα·
Δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
ΦΙΛ. Πῶς εἶπας; ἦ κἄρα δεύτερον δολούμεθα;
ΝΕΟ. Ἀπώμοσ' ἁγνὸν Ζηνὸς ὕψιστον σέβας. 1325
ΦΙΛ. Ὦ φίλτατ' εἰπὼν, εἰ λέγεις ἐτήτυμα.
ΝΕΟ. Τὔργον παρέσται φανερόν· ἀλλὰ δεξιὰν
Πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.
ΟΔΥ. Ἐγὼ δ' ἀπαυδῶ γ', ὡς θεοὶ ξυνίστορες

* Aldus, Παῦσαι.

1304. Ἀτηρὸς] βλαβερὸς, παρὰ τὴν ἄτην.
1305. Ἀλλ' ὅτι μὴ νῶν] δῆλος φανεῖμαι δηλονότι.
1308. Μὴ λέξῃς πέρα] μὴ περαιτέρω εἴπῃς. Ἅπερ γὰρ ἂν εἴπῃς μάταια λέξεις.
1324. Δολούμεθα] ἀπατώμεθα.
1329. Ἐγὼ δ' ἀπαυδῶ] μαρτύρομαι τοὺς θεοὺς, ὅτι ὁ ποιῶ, εἰς χάριν καὶ σωτηρίαν τῶν Ἀτρειδῶν ἐστι.

Ὑπέρ τ' Ἀτρειδῶν *, τῦτε σύμπανλος σραλῦ.
ΦΙΛ. Τέκνον, τίνος φώνημα; μῶν Ὀδυσσέως
Ἐπῆσθάμην;
ΟΔΥ. Σάφ' ἴσθι, καὶ πέλας γ' ὁρᾷς,
Ὃς σ' ἐς τὰ Τροίας πεδί' ἀποσελῶ βίᾳ,
Ἐάν τ' Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ·
ΦΙΛ. Ἀλλ' ἔτι χαίρων, ἢν τόδ' ὀρθωθῇ βέλος.
ΝΕΟ. Ἆ, μηδαμῶς· μὴ †, πρὸς θεῶν, μεθῇς βέλος.
ΦΙΛ. Μέθες με, πρὸς θεῶν, χεῖρα, φίλλαλον τέκνον.
ΝΕΟ. Οὐκ ἂν μεθείην.
ΦΙΛ. Φεῦ· τί μ' ἄνδρα πολέμιον,
Ἐχθρόν τ' ἀφείλω μὴ κλανεῖν τόξοις ἐμοῖς;
ΝΕΟ. Ἀλλ' ἔτ' ἐμοὶ τῦτ' ἔσι καλὸν ‡, ὅτε σοί.
ΦΙΛ. Ἀλλ' ἓν τοσῦτόν γ' ἴαθι, τὰς πρώτας σρατῦ,
Τὰς τῶν Ἀχαιῶν ψευδοκήρυκας, κακὰς
Ὄλας πρὸς αἰχμὴν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.
ΝΕΟ. Εἶεν· τὰ μὲν δὴ τόξ' ἔχεις· κὰκ ἔσθ' ὅπως §
Ὀργὴν ἔχοις ἂν, ὃδὲ μέμψιν εἰς ἐμέ.
ΦΙΛ. Ξύμφημι· τὴν φύσιν δ' ἔδειξας, ὦ τέκνον,
Ἐξ ἧς ἔβλασες· ἀχὶ Σισύφε πατρὸς,
Ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώνλων θ' ὅτ' ἦν,
Ἦκε' ἄριστα, νῦν τε τῶν τεθνηκότων.-----
ΝΕΟ. Ἤσθην πατέρα τε τὸν ἐμὸν εὐλογῶν τά σε,
Αὐτόν τέ μ'· ὧν δέ σε τυχεῖν ἐφίεμαι,

* ALD. Ὑπὲρ Ἀτρειδῶν.
† ALD. Ἀ· ἄ· μηδαμῶς μὴ.
‡ TURN. τίν' ἄνδρα.
ALD. ὅπα.

1335. Ἐάν τ' Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ] ἀκ εἶπε τὸ θέλῃ, ἵνα μὴ ὀκῇ συμφησαεσθαι αὐτῷ τῇ βελήματι.

1343. Ἀλλ' ἔν τοσῦτον] ἀλλ' ὁ γενναῖον ἄνδρα φονεύσω. πάντες γὰρ οἱ κήρυκες τῶν Ἑλλήνων, ἀσθενεῖς εἰσὶ, καὶ ἡ ἀνδρία αὐτῶν, ἔχει τῷ λέγειν ἔσιν.

1344. Ψευδοκήρυκας] ἀντὶ τῦ ψευδοπρεσβυτὰς.

Ἄκουσον· " ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
" Τύχας δοθείσας ἐς' ἀναγκαῖον φέρειν·
" Ὅσοι δ' ἑκουσίαισιν ἔγκειν῾αι βλάβαις,
" Ὥσπερ σὺ, τούτοις ὥτε συγγνώμην ἔχειν
Δίκαιόν ἐστιν, ὥτ' ἐποικ῾είρειν τινά."
Σὺ δ' ἠγρίωσαι, κὤτε σύμβολον δέχῃ·
Ἐάν τε νωθετῇ τις εὐνοίᾳ λέγων,
Στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.
Ὅμως δὲ λέξω· Ζῆνα δ' ὅρκιον καλῶ·
Καὶ ταῦτ' ἐπίσω, καὶ γράφε φρενῶν ἔσω.
Σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
Σηκὸν φυλάσσει κρύφιος οἰκτρῶν ὄφις·
Καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἐκ῾τυχεῖν
Νόσου βαρείας, ὡς ἂν αὐτὸς ἥλιος
Ταύτῃ μὲν αἴρῃ, τῇδε δ' αὖ δύνῃ πάλιν,
Πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόλῃς·
Καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιαδῶν,
Νόσου μαλαχθῇς τῆσδε· καὶ τὸ Πέργαμα
Ξὺν τοῖσδε τόξοις, ξύν τ' ἐμοὶ πέρσας φανῇς.
Ὡς δ' οἶδα ταῦτα τῇδ' ἔχοντ', ἐγὼ φράσω.
Ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλούς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς
Ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῦ[illegible]
Ὡς ἐς' ἀνάγκη τῷ παρισῶτος θέρους

φευδὴς, ἢ ψευδῶς κηρυσσομένης καὶ ἐγκωμιαζομένης.

1354. Ἀνθρώποισι τὰν μὲν ἐκ Θεῶν] τὰ ἀνθρώπου ἐκ Διὸς πίσχων, ἀναγκητὸς ἐφιέσαι δὲ διὰ τὴν ἰδίαν προαίρεσιν τοιάσιν, ὥστε σὺ, κἀξ ἐλάσσ ἄξιος τυγχάνεσι.

1363. Καὶ ταῦτ' ἐπίσω] πάγκ τὸ Ὁμηρικὸν "Ἐν δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν."

1364. Σὺ γὰρ νοσ[illegible] φιλοκτήτη, νοσεῖς ἐκ θείας πρ[illegible] ἑλῶν τῶν εἰς τὴν φυλάκ[illegible] ἄν· καὶ κεῖσι σου ζώσης. [illegible] ἀλώσιμα ἢ πλησίον [illegible] τῆς νήσου τῆς Χρύσης, ἐφ[illegible]

1365. Ταύτ[illegible] ἀναστέλλη, ταύτῃ δὲ αὖ[illegible]

[illegible] Καλοῦ

Τροίαν ἁλῶναι πᾶσαν· ἢ δίδωσ' ἑκὼν
Κτείνειν ἑαυτὸν, ἢν τάδε ψευσθῇ λέγων.
Ταῦτ' ἔν ἐπεὶ κάτοισθα, συγχώρει θέλων.
Καλὴ γὰρ ἡ πίκτησις, Ἑλλήνων ἕνα
Κριθέντ' ἄριστον, τοῦτο μὲν Παιωνίας
Εἰς χείρας ἐλθεῖν, εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα, κλέος ὑπέρτατον λαβεῖν.

ΦΙΛ. Ὦ συγγενὲς αἰών, τί με τῇδ' * ἔχεις ἄνα
Βλέπουσα, κἀκ ἀφῆκας εἰς ᾅδου μολεῖν;
Οἴμοι, τί δράσω; πῶς ἀπιστήσω λόγοις
Τοῖς τοῦδ', ὃς εὐνοῦς ὢν ἐμοὶ παρήνεσεν;
Ἀλλ' εἰκάθω δῆτ'· εἶτα πῶς ὁ δύσμορος
Εἰς φῶς τάδ' ἔρξας εἶμι; τῷ προσήγορος;
Πῶς, ὦ, τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ †, κύκλοι,
Ταῦτ' ἐξανασχήσεσθε, τοῖσιν Ἀτρέως
Ἐμὲ ξυνόντα παισὶν, οἵ μ' ἀπώλεσαν;
Πῶς τῷ πανώλει παιδὶ τὸ Λαερτίου;
Οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει·
Ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι,
Δοκῶ προλεύσσειν· " οἷς γὰρ ἡ γνώμη κακῶν
" Μήτηρ γένηται, τἄλλα παιδεύει κακά."
Καὶ σὲ δ' ἔγωγε θαυμάσας ἔχω τάδε.
Χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν,

* Turn. in textu, Ὦ συγγενὲς αἰὼν, τί με τῇδ'. † Ald. ἀμφ' ἐμοῦ.
‡ Ald. τόδε.

1382. Καλὴ γὰρ ἡ πίκτησις] ἡ κτῆσις τῆς ἀξίης· καλὸν κτῆμα ὠφεληθῆναί σε κατ' ἀμφότερα, κλέος κτώμενον ἐκ τῆς πορθήσεως τῆς Τροίης, καὶ θεραπευόμενον.

1392. Πῶς, ὦ, τὰ πάντ' ἰδόντες] τὰ περὶ ἐμὲ πάθη εἰδότες ἐνιαυτοὶ τῶ αἰῶνος, χρόνοι.

1396. Οὐ γάρ με τἄλγος] ὃ λυπεῖ με (φησὶ) τὰ φθάσαντα, ἀλλὰ διὰ τὰ μέλλοντα δυσφορῶ.

1398. Οἷς γὰρ ἡ γνώμη κακῶν] ὅτι οἱ ἔχοντες φαύλην γνώμην, ἀκόλουθα τῷ λογισμῷ διαπράττονται.

1400. Θαυμάσας ἔχω] Θαυμάζω σε καὶ καταγιγνώσκω σε.

1413. Θεοῦ;

Ἡμᾶς τ' ἀπείργειν, οἵτέ σε καθύβρισαν
Γέρας πατρὸς συλῶντες *, οἳ τὸν ἄθλιον
Αἴανθ' ὅπλων σὲ πατρὸς ὕστερον δίκῃ
Ὀδυσσέως ἔκριναν· εἶτα τοῖσδε σὺ
Εἶ ξυμμαχήσων, καί μ' ἀναγκάζεις τόδε †;
Μὴ δῆτα, τέκνον· ἀλλ' ἅ μοι ξυνώμοσας,
Πέμψον πρὸς οἶκους· κἀυτὸς ἐν Σκύρῳ μένων
Ἕα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακούς·
Χἄτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσῃ χάριν,
Διπλῆν δὲ πατρός· κοὐ κακοὺς ἐπωφελῶν,
Δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.-----
ΝΕΟ. Λέγεις μὲν εἰκότ'· ἀλλ' ὅμως σε βάλομαι
Θεοῖς τε πιστεύσαντα, τοῖς τ' ἐμοῖς λόγοις,
Φίλα μετ' ἀνδρὸς τοῦδε τῆσδ' ἐκπλεῖν χθονός.
ΦΙΛ. Ἦ πρὸς τὰ Τροίας πεδία, καὶ τὸν Ἀτρέως
Ἔχθιστον υἱὸν, τῷδε δυστήνῳ ποδί;
ΝΕΟ. Πρὸς τοὺς μὲν ἦν σε τήνδε τ' ἔμπυον βάσιν,
Παύσοντας ἄλγους, κἀποσώζοντας νόσου.
ΦΙΛ. Ὦ δεινὸν αἶνον αἰνέσας, τί φῄς ποτε;
ΝΕΟ. Ἃ σοί τε κἀμοὶ καλ' ὁρῶ τελούμενα.
ΦΙΛ. Καὶ ταῦτα λέξας οὐ καταισχύνῃ ‡ θεούς;
ΝΕΟ. Πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελούμενος;
ΦΙΛ. Λέγεις δ' Ἀτρείδαις ὄφελος, ἢ 'π' ἐμοὶ τάδε;
ΝΕΟ. Σοί που φίλος γ' ὤν, χὠ λόγος τοιόσδέ μοι.
ΦΙΛ. Πῶς, ὅς γε τοῖς ἐχθροῖσιν ἐκδοῦναι θέλεις;
ΝΕΟ. Ὦ τᾶν, διδάσκου μὴ θρασύνεσθαι κακοῖς.

* Ald. Πατρὸς γέρας συλῶντες. † Ald. τάδε. ‡ Ald. καταισχύνει.

1414. Θεοῖς τε πιστεύσαντα] διὰ τὴν Ἑλένην μάντειαν.

1418. Ἔμπυον] δίυγρον· διὰ τὸ ἕλκος τοῦ πεπληρωμένην, ὃ ἰχὼρ, σήψεως. ὁ δὲ τοῦς, ἀλλ' οὐδὲ πρὸς ἐκείνους ἄπει, ἀλλὰ καὶ τοὺς θεραπεύσοντάς σε.

1427. Ὦ τᾶν, διδάσκου] μάνθανε (φησὶ) μὴ ἐν τοῖς κακοῖς ἐπαίρεσθαι.

1441. Ἅλις

ΦΙΛ. Ὀλεῖς με, γινώσκω σε, τοῖσδε τοῖς λόγοις.
ΝΕΟ. Οὔκουν ἔγωγε· φημὶ δ' ἃ σε μανθάνειν.
ΦΙΛ. Ἔγωγ' Ἀτρείδας ἐκβαλόντας οἶδά με.
ΝΕΟ. Ἀλλ' ἐκβαλόντες, εἰ πάλιν σώσουσ', ὅρα.
ΦΙΛ. Οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.
ΝΕΟ. Τί δῆτ' ἂν ἡμεῖς δρῶμεν, εἴ σέ γ' ἐν λόγοις
Πείσειν δυνησόμεσθα μηδὲν ὧν λέγω;
Ὡς ῥᾷστ' ἐμοὶ μὲν * τῶν λόγων λῆξαι, σὲ δὲ
Ζῆν, ὥσπερ ἤδη ζῇς, ἄνευ σωτηρίας.
ΦΙΛ. Ἔα με πάσχειν ταῦθ', ἅπερ πάσχειν με δεῖ·
Ἃ δ' ἤνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
Πέμπειν πρὸς οἴκους, ταῦτά μοι πρᾶξον, τέκνον.
Καὶ μὴ βράδυνε, μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας· ἅλις γάρ μοι τεθρηνήται γόοις †.

ΤΡΟΧΑΙΟΙ.

ΝΕΟ. Εἰ δοκεῖ, στείχωμεν.
ΦΙΛ. Ὦ γενναῖον εἰρηκὼς ἔπος.
ΝΕΟ. Ἀντέρειδε νῶν βᾶσιν σήν.
ΦΙΛ. Εἰς ὅσον γ' ἐγὼ σθένω.
ΝΕΟ. Αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι;
ΦΙΛ. Μὴ φροντίσῃς.
ΝΕΟ. Τί γάρ, ἐὰν πορθῶσι χώραν τὴν ἐμήν;
ΦΙΛ. Ἐγὼ παρών.
ΝΕΟ. (Τίνα προσωφέλησιν ‡ ἔρξεις;)
ΦΙΛ. Βέλεσι τοῖς Ἡρακλείοις,

* Turn. in marg. ἔμοιγε. † Turn. in marg. λόγοις.
‡ Ald. Turn. in marg. πρὸς ὠφέλησιν.

1441. Ἅλις γάρ μοι τεθρήνηται λόγοις] γράφεται γόοις. πολλὰ δὲ περὶ Τροίαν πέπονθα φησίν.
1422. Εἰ δοκεῖ, στείχωμεν] ἐπὶ τὴν πατρίδα. Δοκεῖ δὲ αὐτὸν καὶ Θέλει ἄξαι εἰς τὴν Τροίαν.
1446. Αἰτίαν δὲ πῶς] πῶς (φησὶν) ἀναίτιος γένωμαι τοῖς Ἕλλησι;
1448. Χώραν τὴν ἐμὴν] τὴν Σκῦρον.

1458. Αἰσχρὸν

ΝΕΟ. (Πῶς λέγεις;)
ΦΙΛ. Εἴρξω πελάζειν σῆς γε τύτθ᾽ τῆς πάτρας.
ΝΕΟ. Εἶδε δρᾷς ταῦθ᾽ ὥσπερ αὐδᾷς, σεῖχε προσκύσας χθόνα.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΗΡΑ. Μήπω γε, πρὶν ἂν τῶν ἡμετέρων
Αἴῃς μύθων, παῖ Ποίαντος·
Φάσκειν δ᾽ αὐδὴν τὴν Ἡρακλέους
Ἀκοῇ τε κλύειν, λεύσσειν τ᾽ ὄψιν.
Τὴν σὴν δ᾽ ἥκω χάριν, ἐρανίας
Ἕδρας προλιπών,
Τὰ Διὸς Φράσων * βελεύματά σοι,
Κατερητύσων θ᾽ ὁδὸν, ἣν στέλλῃ.
Σὺ δ᾽ ἐμῶν μύθων ἐπάκουσον.

ΙΑΜΒΟΙ.

Καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας·
Ὅσους πονήσας καὶ διεξελθὼν πόνους,
Ἀθάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσθ᾽ ὁρᾶν.
Καὶ σοὶ (σάφ᾽ ἴσθι) τῦτ᾽ ὀφείλεται παθεῖν·
Ἐκ τῶν πόνων τῶνδ᾽ εὐκλεᾶ θέσθαι βίον.
Ἐλθὼν δὲ σὺν τῷδ᾽ ἀνδρὶ πρὸς τὸ Τρωϊκὸν
Πόλισμα, πρῶτον μὲν νόσῳ παύσῃ λυγρᾶς,
Ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος,
Πάριν μὲν, ὃς τῶνδ᾽ αἴτιος κακῶν ἔφυ,
Τόξοισι τοῖς ἐμοῖσι νοσφιεῖς βίᾳ,
Πέρσεις τε Τροίαν, σκῦλά τ᾽ εἰς μέλαθρα σὰ
Πέμψεις, ἀριστεῖ᾽ ἐκλαβὼν † στρατεύματος,

* Ald. Turn. Τὰ Διός τε φράσων. † Ald. Turn. in marg. ἐκβαλών.

1478. Τόξων

Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκα.
Ἃ δ' ἂν λάβῃς σὺ σκῦλα τῶδε τῷ στρατῷ,
Τόξων ἐμῶν μνημεῖα, πρὸς πυρὰν ἐμὴν
Κόμιζε· καὶ σοι ταῦτ', Ἀχιλλέως τέκνον,
Παρήνεσ'· ἔστε γὰρ σύ τῆδ' ἄτερ σθένεις
Ἑλεῖν τὸ Τροίας πεδίον, ἔθ' ἕτος σέθεν.
Ἀλλ', ὡς λέοντε συννόμω φυλάσσετον,
Οὗτός σε, καὶ σὺ τόνδ'· ἐγὼ δ' Ἀσκληπιὸν
Παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.
Τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
Τόξοις ἁλῶναι· τῆδε δ' ἐννοεῖσθ', ὅταν
Πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς.
Ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς· "ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς·
"Κἂν ζῶσι, κἂν θάνωσιν, οὐκ ἀπόλλυται."---

ΑΝΑΠΑΙΣΤΟΙ.

ΦΙΛ. Ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας,
Χρόνιός τε φανείς,
Οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.
ΝΕΟ. Κἀγὼ γνώμῃ ταύτῃ τίθεμαι.
ΗΡΑ. Μὴ νῦν χρόνιοι μέλλετε πράττειν·
Καιρὸς καὶ πλοῦς
Ὅδ' ἐπείγει γὰρ κατὰ πρύμναν.-----
ΦΙΛ. Φέρε νῦν στείχων, χώραν καλέσω.

1478. Τόξων ἐμῶν μνημεῖα] ἀντὶ τῶν, ἐκ τῶν ἀριστείων καμὲ τίμησον.

Ib. Πρὸς πυρὰν ἐμὴν] τὴν ἐπὶ τῇ Οἴτῃ.

1487. Εὐσεβεῖν τὰ πρὸς θεούς] αἰνίσσεται τοῦτο εἰς Νεοπτόλεμον· ἐν γὰρ τῇ τοῦ Ἰλίου ἁλώσει ἀπέκτεινε τὸν Πρίαμον, προσφυγόντα τῷ βωμῷ τοῦ Ἑρκείου Διός.

1494. Τίθεμαι] συγκατατίθεμαι.

1498. Φέρε νῦν στείχων χώραν καλέσω] ἀσπάσομαι ἀναχωρῶν.

1499. Ξύμ-

Χαῖρ', ὦ μέλαθρον, ξύμφρονον ἐμοί,
Νύμφαί τ' ἔνυδροι λειμωνιάδες,
Καὶ κτύπος ἄρσην ὠόντων προβλής,
Οὗ πολλάκι δὴ τὰμὸν ἐτέγχθη
Κρᾶτ' ἐνδόμυχον πληγῆσι νότου,
Πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
Ἕρμαιον ὄρος παρέπεμπεν ἐμοὶ
Στόνον ἀντίτυπον χειμαζομένῳ·
Νῦν δ', ὦ κρῆναι, γλύκιον τε ποτὸν,
Λείπομεν * ὑμᾶς, λείπομεν ἤδη,
Δόξης ὅποτε τῆσδ' ἐπιβάντες.
Χαῖρ', ὦ Λήμνου πέδον ἀμφίαλον,
Καὶ μ' εὐπλοίᾳ πέμψον ἀμέμπτως,
Ἔνθ' ἡ μεγάλη μοῖρα κομίζει,
Γνώμη τε φίλων, χ,ὠ πανδαμάτωρ
Δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.-------
ΧΟΡ. Χωρῶμέν νῦν πάντες ἀολλέες, †
Νύμφαις ἁλίαισιν ἐπευξάμενοι,
Νόστου σωτῆρας ἱκέσθαι.------

* Ald. λείπωμεν. † Ald. Χωρῶμεν ἰὼ πάντες ἀολλεῖς.

1499. Ξύμφρονον ἐμοί] τὸ φρονῆσάν με καὶ φιλῆσαν.

1501. Κτύπος ἄρσην] ἰσχυρὸς, ἔντονος.

1505. Ἕρμαιον ὄρος] δύνανται πάντα τὰ ὄρη Ἕρμαια καλεῖσθαι, ὅτι νόμιος ὁ Θεὸς, καὶ ὄρος ὁ Ἑρμῆς· ἔστι δὲ καὶ Ἕρμαιον, ὅτως ἐν Λήμνῳ καλούμενον ὄρος· ἐμοὶ δὲ, φησὶ, πολλὰ βοῶντι, καὶ τὸ Ἕρμαιον ὄρος ἀντεφθέγξατο.

1506. Ἀντίτυπον] ἀμοιβαῖον, ἀντίμιμον.

1507. Νῦν δ', ὦ κρῆναι, γλύκιόν τε ποτὸν] τινὲς Λυκίου ποτὸν γραφῶσιν, ἐστὶ δὲ ἡ ὕστερον καλουμένη κρήνη ἐν Λήμνῳ, Λυκίου Ἀπόλλωνος· ἢ τὸ ἐν ἐρημίᾳ ὑπὸ λύκων τεινόμενον.

1509. Δόξης ὅποτε] τῆς οἰήσεως· ἀντὶ τοῦ, μὴ ἐλπίσαντες τελεῖσθαι, ὡς ἐπελθεῖν εἰς Τροίαν.

1513. Γνώμη τε φίλων] τοῦ Ἡρακλέους, ἢ τοῦ Νεοπτολέμου.

1514. Δαίμων, ὃς] Δαίμονα τινὲς τὸν Ἡρακλέα καλοῦσιν ἴσιον τῇ τύχῃ.

BRITISH
28JA65
MUSEUM

SOPHOCLIS

TRAGOEDIÆ

PERSONÆ FABULÆ.

MINERVA.

ULYSSES.

AJAX.

CHORUS Senum Salaminiorum.

TECMESSA.

NUNCIUS.

SEMICHORUS.

TEUCER.

MENELAUS.

AGAMEMNON.

Proloquitur MINERVA.

AJAX

AJAX FLAGELLIFER.

MINERVA, ULYSSES, AJAX, CHORUS.

IAMBI.

Min. SEMPER quidem, o fili Laertis, vidi te
Molimen aliquod hoſtium deprehendere captantem;
Et nunc circa tentoria nautica te cerno
Ajacis, ubi ordinem extremum tenet,
Jampridem venantem, et metientem
Veſtigia illius recens impreſſa, ut videas
Intuſne ſit, an non intus: opportune autem educit te *tua*,
Canis Lacænæ ſicut ſagax aliqua venatio.
Intus enim jam vir eſt, caput
Stillans ſudore, et manus enſicidas.
Adeoque nihil te per hanc introſpicere portam
Jam opus eſt; ede autem cujus gratia
Operam hanc ſuſceperis, ut à me ſciente *rem omnem* diſcas.
Ulyſ. O vox Minervæ chariſſimæ mihi Dearum,
Quam certum tui, licet conſpectum fugias *ipſa*, tamen
Sonum audio, et corripio mente,
Ærei oris tubæ veluti *ſonum* Tyrrhenicæ.
Et nunc recte intellexiſti me ob virum inimicum
Greſſum torquere, Ajacem *dico* ſcutiferum.
Illum enim, nec quenquam alium, veſtigo dudum.
Hâc nocte enim rem inopinatam *contra* nos
Confectam dedit; ſiquidem hæc *ille* perpetravit:
Scimus enim nihil certum, ſed vagamur *incerti*.
Quare ego voluntarius huic me adjunxi labori.
Deletas enim modo invenimus
Prædas omnes, et trucidatas
Manu, *una cum* ipſis gregum cuſtodibus;

Quam quidem in illum nemo non culpam confert.
Idque mihi quidam explorator, ipſum conſpicatus ſolum
Exultantem *per* campos cum gladio recens madido,
Narratque et indicavit. Ego vero ſtatim
Veſtigiis incumbo, et quædam ſignis colligo;
Quibuſdam vero perturbor, nec ſcire poſſum cujuſnam *ſint*.
Per tempus autem advenis: omnia enim, quæque olim *facta fuerunt*,
Quæque in poſterum *erunt*, tua moderor manu.
Min. Novi *hoc*, Ulyſſe, et jampridem cuſtos prodii
In viam, tuæ favens venationi.
Ulyſ. Ergo, chara domina, tempeſtive hanc operam ſumo?
Min. Certe ſunt viri iſtius *(Ajacis)* hæc facta tibi *intentata*.
Ulyſ. At cur inſanam adeo incitavit manum?
Min. Incenſus irâ propter arma Achillis *amiſſa*.
Ulyſ. Cur igitur in greges hoc graſſatus eſt impetu?
Min. Ratus ſe veſtrâ manum tingere cæde
Ulyſ. Eratne ergo hoc conſilium in Argivos *deſtinatum*?
Min. Et quidem perfeciſſet, ſi ego neglexiſſem.
Ulyſ. Quibus hiſce audaciis, vel quâ animorum fiduciâ *fretus*?
Min. Noctu in vos furtim egreditur ſolus.
Ulyſ. An et adfuit, et ad finem pervenit?
Min. Equidem apud geminas erat imperatorias portas.
Ulyſ. At quî inhibuit manum avidam cædis?
Min. Ego illum prohibui, ob oculos ægris
Imaginibus objectis, ab inſanabili gaudio;
Et ad greges averto, promiſcuamque prædam,
Nondum partitas bubulcorum cuſtodias.
Ibi illatus, quaſi tondendo cornigeram patravit cædem
Undique obtruncans: et viſus eſt *ſibi* quidem nunc
Geminos Atridas manu ſuâ occidere prehenſos,
Nunc alio alium, irruens, ducum.
Ego vero graſſantem hominem furialibus morbis
Inſtigabam; et impellebam in ſepta mala.
Tandem ubi hac à cæde conquievit,
Superſtites vinculis jam colligatos boves,
Gregeſque omnes domum abducit,
Quaſi homines, non prædam cornutam, nactus:
Et nunc domi vinctos flagris cædit.
Oſtendam vero et tibi hunc manifeſtum morbum,

Ut

Ut omnibus Argivis conſpicatus enarres.
Confidens vero mane, nec *ut* calamitatem exſpecta
Virum; ego enim oculorum averſos
Radios arcebo, ne tuum intueantur vultum.
Heus *tu*, te, qui captivas manus
Vinculis coerces, *te* accedere voco.
Ajacem appello; exi pro foribus.
Ulyſ. Quid agis, Minerva? Nequaquam ipſum foras evoces.
Min. Non tacitus durabis, neque metum demes?
Ulyſ. Ne *voca* per Deos, ſed intus ſatis ſit ut maneat.
Min. Quare *hoc* non fiat? an non et ante hic vir fuit?
Ulyſ. Inimicus quidem huic homini, et nunc etiam amplius.
Min. Riſus ergo dulciſſimus inimicos irridere.
Ulyſ. Mihi quidem ſat eſt illum intus manere.
Min. Furentem manifeſte virum vereris videre?
Ulyſ. Sanum quidem illum non refugerem videre.
Min. Atqui ne nunc quidem te aſtantem prope viderit.
Ulyſ. Quomodo, ſiquidem oculis iiſdem cernit?
Min. Ego caliginem palpebris etiam videntibus offundam,
Ulyſ. Fiant quidem omnia, deo machinante.
Min. Tacitus nunc aſta, et mane quo es in loco.
Ulyſ. Maneo: mallem tamen hinc abeſſe.
Min. Heus tu, Ajax, iterum te huc voco:
Cur tantillum revereris auxiliatricem tuam?
Aja. O ſalve, Minerva, ſalve, Jove genita proles,
Quam opportune affuiſti! et te aureis ego
Ornabo ſpoliis hujus capturæ gratia.
Min. Pulchre dixiſti; at hoc mihi narra,
Tinxiſtin' haſtam probe in Argivorum exercitu?
Aja. Eſt unde glorier; et *factum* nullo modo abnego.
Min. An et adverſus Atridas ferro armatam exercuiſti manum?
Aja. Ita ut non amplius Ajacem hi quidem deſpexerint.
Min. Mortui ſunt viri, quantum tuum verbum intelligo.
Aja. Mortui, jam mea, *ſi libet*, eripiant arma.
Min. Eſto. Quid vero filius ille Laertis?
Quo in ſtatu apud te eſt? Num effugit te?
Aja. De perdita iſta vulpe interrogas me, ubi ſit?
Min. Ego quidem Ulyſſem illum tuum adverſarium dico.
Aja. Jucundiſſimus, o domina, *is* intus captivus
Sedet; mori enim eum nondum equidem volo.

Min. Priuſ.

Min. Priuſquam quid egeris? aut quid ultra lucri feceris?
Aja. Priuſquam alligatus ad columnam atrienſis tecti.
Min. Quid igitur infelici poſt infliges mali?
Aja. Flagris primum terga cruentatus moriatur.
Min. Ne, quæſo, miſerum adeo *graviter* ſaltem verberes.
Aja. Vale, Minerva. Cætera tibi ego permitto;
Ille vero hanc et non aliam pœnam dabit.
Min. Proinde tu, quando ita tibi hoc facere cordi eſt,
Utere manu; omitte nihil eorum, quæ in animo meditaris.
Aja. Abeo ad opus; hoc autem à te peto,
Ut ſemper mihi talis adſis auxiliatrix.
Min. Cernis, Ulyſſe, Deorum potentiam, quantâ ſit?
Hoc viro enim quis tibi erat conſultior,
Aut ad agenda potior repertus eſt quæ ſint ex uſu?
Ulyſ. Neminem equidem novi: miſeret me vero ejus
Infelicis omnino, quantumvis *mihi* malevolus ſit,
Propterea quod noxæ copulatus eſt malæ;
Nihilo magis illius quam meam *vicem* reſpiciens.
" Video enim nos nihil aliud eſſe quam
" Simulachra, quicunque vivimus, et levem umbram.
Min. " Hæc igitur intuens, elatum
" Nullum unquam dixeris ipſe in deos dictum,
" Neque tumore eleveris ullo, ſi quo plus
" Vel manu polles, vel magnarum opum pondere:
" Quippe dies deprimitque et attollit denuo
" Omnia humana: modeſtos vero
" Dii amant, et deteſtantur pravos.

ANAPÆSTI.

Cho. O fili Telamonis, qui tenes circumfluæ
Salaminos ſedem maritimæ:
Quando bene tecum agitur, gaudeo;
Te vero cùm plaga Jovis, aut malevolus
Rumor à Danais maledicus inceſſerit,
Ingenti in metu ſum, et timeo,
Veluti aquilæ oculum columba.
Sicut et hæc præterita nocte
Graves *animi* perturbationes occupant nos
Ob infamiam, te *nimirum* rabie bacchantem,
Pratum ingreſſum, perdidiſſe Græcorum

Pecora,

Pecora, et prædam,
Quæ bello-capta adhuc reliqua erat,
Cædentem lucenti ferro.
Tales clam rumores confingens
In aures omnium inſuſurrat Ulyſſes,
Et admodum perſuadet: de te enim nunc
Credibilia dicit, et quicunque audit
Dicente gaudet magis,
Tuis ærumnis inſultans.
" Nam qui in magnos jaculatur viros
" Haud facile aberraverit: at contra me ſiquis
" Talia dicat, fidem non inveniat.
" Ad potentem enim ſerpit invidia.
" Cæterum tenues potentibus ſine
" Infirmum turris præſidium ſunt:
" Cum magnis enim parvus optime
" Erigat ſe et magnus cum parvis.
" Sed non fieri poteſt, ut ſtupidas mentes
" Hujuſmodi notitias mature doceamus.
Ab hoc hominum genere nunc in te iſte ſurgit tumultus:
Nos autem nihil valemus contra hæc
Opis afferre te ſine, *o Rex noſter*
Nunc enim quia tuum aſpectum effugerunt,
Perſtrepunt, velut avium greges, *abſente vultore:*
Magnum *vero ut hi* vulturem, *ita ille te* reformidantes,
Illico, ex improviſo ſi te in conſpectum dares,
Silentio trepidarent muti.

EPODICA. Strophe.

Certe igitur te, Taurivaga *filia* Jovis Diana,
(O fama ingens,
Dedecoris noſtri mater)
Egit in publicos boum greges,
Vel forte, ob victoriam aliquam ſibi infructuoſam,
Vel ſpoliorum inclytorum
Fraudata donis, vel præda venando capta:
Vel ferreo thorace armatus aliquam Mars
Cauſam querelæ habens ſociis in armis,

Nocturnis machinis
Ultus eſt contumeliam.

ANTISTROPHE.

Nunquam enim *aliter* à *ſana* ſaltem mente ad læva,
O fili Telamonis, *devius* iſſes,
Ita in greges irruendo.
Ingruat quidem fateor morbus divinitus: ſed avertat
Jupiter et Apollo malam Argivorum famam.
Si vero furtim
Falſo ſuggerunt *hos* rumores magni reges,
Aut *ille* nequiſſimi Siſyphidarum generis,
Ne mihi, ne, Rex, amplius
Ita in maritimis tentoriis oculum tenens
Malam famam augeas.

EPODUS.

At ſurge è ſedilibus, ubi longæva
Hæres defixus hac anxia mora,
Noxam cælitus immiſſam incendens.
Inimicorum autem petulantia hic liberrime
Graſſatur, *ut flamma* ventoſis in ſaltibus,
Dum omnes multo cum cachinno linguis
Acerbiſſima *de te* effutiunt: mihi autem dolor hæret ingens.

TECMESSA, AJAX, CHORUS.

ANAPÆSTI.

Tec. O ſocii navium Ajacis,
Genere indigenis ab Athenienſibus,
Datur nobis gemituum cauſa, quicunque curamus
Telamonis longinquam domum.
Nunc enim ille acer, ille ingens, fortiſque humeris
Ajax, turbida
Jacet laborans tempeſtate.
Cho. Quam pro heſterno *ſtatu*
Nox hæc adduxit gravis *infortunii* vicem,

Dic

Dic filia Phrygii Teleutantis;
Quoniam te conjugem bello captam
Amans retinet strenuus Ajax:
Quapropter *hæc* neutiquam *ut* ignara dixeris.
Tec. Qui tandem dicere *justineam* infandum sermonem?
